ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ
ΦΙΛΟΛΟΓΙΚΗ
ΕΙΣ ΤΕΣΣΑΡΑΣ ΤΟΜΟΥΣ ΔΙΗΡΗΜΕΝΗ,

Συναρμοσθεῖσα μέν ποτε παρὰ τοῦ Ἑλλογιμωτάτου

ΙΩΑΝΝΟΥ ΠΑΤΟΥΣΑ
ΤΟΥ ΕΞ ΑΘΗΝΩΝ.

Νῦν δὲ ὀπιμελέστερον μετατυπωθεῖσα, αὐξηνέθη ἐντίσιν ἤπερ τὸ πρῶτον, ἅτε δὴ προσετέθη τὸ ἄχρι νῦν ἀνέκδοτον φιλοπόνημα

ΤΟΥ ΚΥΡΙΟΥ
ΑΝΤΩΝΙΟΥ ΒΥΖΑΝΤΙΟΥ
ΚΑΛΟΥΜΕΝΟΝ ΧΡΗΣΤΟΗΘΕΙΑ,

Πρὸς παραίνεσιν ἠθῶν τοῦ Νέων· ἥτε κατὰ μεθυόντων Ὁμιλία

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ,

Πλείονος ἕνεκα τοῦ τῆς Ἑλληνικῆς Γλώττης φιλομαθῶν ὁπωσδήποτε ὠφελείας.

Μεθ' ὅσης οἷόν τε ἦν τῆς ἀκριβείας διορθωθεῖσα παρὰ Σ. Β.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

10367

ἀψηέ. ΕΝ ΕΤΙΗΣΙΝ, 1795.

Παρὰ Νικολάῳ Γλυκεῖ τοῦ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO

Εἰς τὸν Τόμον τῶν Λογογράφων

ΕΠΙΓΡΑΜΜΑ.

Μηκέτι πολλὰ πόνει, φιλορῆτορ, μηκέτι παύτων
Ῥητήρων δέλτους φοίτας ἱστορέων.
Ἀλλὰ δαηῦαι τὴν δε Λογήων ἦμαρ ἐπ' ἦμαρ
Μὴ κατόκνει βίβλον σύμφορον, ἣν ἀθρέεις.
Δειμώσεις γὰρ ῥητορικῆς, ἰδὺ κάλλεα παύτα
Ἄμμιγα ὧδε πέλει, αὐτὸς ἅπερ ποθέεις.

Εἰς τὸν αὐτὸν, ἕτερον.

Ἔνδικα Νεῖλον καρποδότην ἀρετῶν ἕτερον τὰς
Φαίη τῶν κλειμῶν τὴν δε βίβλον Λογέων.
Καὶ γὰρ ἐκεῖνος ἐπικλύζει Αἰγύπτου ἁπάσης
Κ' ὀλβίζει λιπαροῖς, τήρματα ἐκφορίοις.
Αὕτη δὲ βίβλος ἀρδεύσει νῦν καλλιεπείας
Ἑλλάδα διψῶσαν νάμασιν ἡδυτάτοις.

Εἰς τὸν αὐτὸν, Δίστιχον.

Βίβλοι Θουκιδίδου Δημοσθενεῖ κλέος ἦγον,
Βίβλος νῦν τε Νέοις ἥδε κλέος πορίσει.

Ἀντώνιος Σξατηγὸς Κερκυραῖος.

ΤΟΥ-

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ

ΤΟΥ ΜΕΓΑΛΟΥ

Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, πρὸς τοὺς Νέους,

Ὅπως ἂν ἐκ τῶν Ἑλληνικῶν ὠφελοῖντο λόγων, Παραίνεσις.

ΠΟλλά με τὰ παρακαλοῦντά ὅστι ξυμβουλεῦσαι ὑμῖν, ὦ Παῖδες, ἃ βέλτιστα εἶναι κρίνω, καὶ ἃ ξυνοίσειν ὑμῖν ἑλομένοις πεπίστευκα. τό, τε τῆς ἡλικίας οὕτως ἔχειν, καὶ τὸ διὰ πολλῶν ἤδη γεγυμνᾶσθαι πραγμάτων, καὶ μὴν καὶ τὸ τῆς πάντα παιδευούσης ἐπ' ἄμφω μεταβολῆς ἱκανῶς μεταχεῖν, ἔμπειρόν με εἶναι τῶν ἀνθρωπίνων πεποίηκον· ὥστε τοῖς ἄρτι καθισταμένοις τὸν βίον, ἔχειν ὥσπερ ὁδὸν τὴν ἀσφαλεστάτην ὑποδεικνύναι. τῇ τε παρὰ τῆς φύσεως οἰκειότητι, εὐθὺς μετὰ τοὺς γονέας ὑμῖν τυγχάνω· ὥστε μήτε αὐτὸν ἔλαττόν τι Πατέρων εὐνοίας νέμειν ὑμῖν. ὑμᾶς δὲ νομίζω, εἰ μήτι ὑμῶν διαμαρτάνω τῆς γνώμης, μὴ ποθεῖν τοὺς τεκόντας, πρὸς ἐμὲ βλέποντας. Εἰ μὲν οὖν προθύμως δέχεσθε τὰ λεγόμενα, τῆς

δευτέρας τῆς ἐπαινουμένων ἔστεθε παρ' Ἡσιόδῳ πάξεως· εἰ δὲ μή, ἐγὼ μὲν οὐδὲν αὐ ἄποιμι δυχερές, αὐτοὶ δὲ μέμνησθε τῆς ἐπῶν δηλονότι, ἐν οἷς ἐκεῖνός φησιν· ἄριστον μὲν εἶναι τὸν παρ' ἑαυτῷ τὰ δέοντα ξυμφορώτατα, ἐσθλὸν δὲ κἀκεῖνον, τὸν τοῖς παρ' ἑτέρων ὑποδειχθεῖσιν ἑπόμενον, τὸν δὲ τοῦτο μὲν ἑτέρου δεύτερον, ἀχρεῖον δὲ ἅπαντα τοῦτο ἄνδρα. Μὴ θαυμάζετε δὲ, εἰ καθ' ἑκάστην ἡμέραν εἰς Διδασκάλους φοιτῶντες, καὶ τοῖς ἐλλογίμοις τῶν παλαιῶν ἀνδρῶν, δι' ὧν καταλελοίπασι λόγων, συγγινομένοις ὑμῖν, αὐτοί τι παρ' ἑαυτῶν λυσιτελέστερον ἐξευρηκέναι φημί. τοῦτο μὲν γὰρ αὐτῶν καὶ συμβαλλόσθαι ἥκω, τὸ μὴ δεῖν εἰσάπαξ τοῖς ἀνδράσι πίστιν, ὥσπερ πλοίῳ, καὶ παιδαλίαν τὰς διανοίας ὑμῶν παραδόντας, ὅπερ ἐν ἀγῶσι, παύτῃ ξυνέπεσθαι, ἀλλ' ὅσον δεῖ χρῆσθαι μόνον αὐτῶν δεχομένους, εἰδέναι, τί χρὴ καὶ παραιτεῖν, τίνα δεῖ παῦτα, καὶ ὅπως ἀμεινόμεθα, ταῦτα ἤδη καὶ διδάξω, ἐνθενδὶ ἐλαύνων. Ἡμεῖς, ὦ Παῖδες, οἴδαμεν εἶναι χρῆμα πανταπάσι τὸν ἀνθρώπινον βίον τῶν ὑπολαμβανόμενον, ὑπ' ἀγαθόντινομίζομεν ὅλως, ὑπ' ὀνομάζομεν. ὃ τὴν συμπύλευσιν ἡμῖν ἔχει τύπῳ παρέχεται. ἔστιν ἀφορόντων ἀφθαρσία, καὶ ἰσχὺς σώματος, καὶ κάλλος, καὶ μέγεθος, καὶ τὰς παρὰ πάντων ἀνθρώπων τιμὰς, καὶ βασιλείαν αὐτῶν, καὶ ὅ,τι ἂν εἴποι τις τῶν ἀνθρωπίνων, μέγα, ἀλλ' οὐδὲ ἀρχῆς ἄξιον κρίνομεν, ἢ πᾶς ἔχοντας ἀσφαλέσθαι, ἀλλ' ὅτι μικρότερον τοῦ ἐλπίσαι, καὶ παρὰ ἑτέρου βίου ἀθανασίαν ἅπαντα ἀφαιτούμεθα. εἰ μὲν ἦν ἂν συμπαρὼν τῶν ἡμῖν, ἀγαπᾶν τε καὶ διώκειν πάντ' ἀθανάτου χρῆναι φαμὲν, τὰ δὲ καὶ ἐξαπατήσαντα παρὰ ἐκεῖνον, ὡς οὐδενὸς ἄξια, παραρρεῖν. Τίς δὴ ἂν εἴη ὁ βίος, καὶ ὅπη, καὶ ὅπως αὐτὸν βιωσόμεθα, μακαριώτερον μὲν, ἢ καθ' ἡμᾶς παρῆναι ὁρμᾶν, ὠφελεῖσθαι, μείζονα δὲ, ἢ καθ' ὑμᾶς, ἀκροᾶσθαι ἀκοῦσαι. τοσοῦτόν γε μὲν εἰπὼν, ἱκανῶς ἂν ἴσως ὑμῖν ἐνδείξαιμι, ὅτι πᾶσαν ὁμοῦ τὴν, ἀφ' ἧς γεγόνασιν οἱ ἀν-

ἀνθρωποι, τῷ λόγῳ τὴς συλλαβῶν, καὶ εἰς ἓν ἀθροίσας, δι-
δαιμονίαν. ὑδὲ πολλοστῷ μέρει τῶν ἀγαθῶν ἐκείνων ἀρήσει
παεισαμενίω, ἀλλὰ πλεῖον τὸ ἐν ἐκείνοις ἐλαχίστω, τὰ σύμ-
παντα τῶν τῇδε κακῶν καὶ τῷ ἀξίᾳ ἀφεστηκότα, ἢ καθ' ὅσον
σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται. μᾶλλον δὲ, ἵν' οἰκειο-
τέρῳ χρήσωμαι παραδείγματι, ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέ-
ρα σώματος, τοσοῦτον, καὶ τῶν βίων ἑκατέρων ἔστι τὸ διάφορον.
εἰς δὴ τοῦτον ἄγουσι μὲν ἱεροὶ λόγοι, δι' ἀπορρήτων ἡμᾶς ἐκ-
παιδεύοντες· ἐῶσι γε μὲν ὑπὸ τῆς ἡλικίας ἐπακούειν τῇ βά-
θει τῆς διανοίας αὐτῶν οὐκ οἷόν τε, ἐν ἑτέροις δὲ πάντῃ δι-
ηκόσιν, ὥσπερ ἐν σκιαῖς τισι καὶ κατόπτροις, τῷ τῆς ψυχῆς
ὄμματι τέως προγυμναζόμεθα, τὰς ἐν τοῖς παντικοῖς πάθεσι
πολυμόχθους μιμήμασι· εἶτα ἐν χειρονομίαις καὶ ὀρχήσε-
σι τῷ ἐμπειρίαν κτησάμενοι, δὴ τῶν ἀγωνίων τῶν ἐκ τῆς
παιδιᾶς ἀπολαύσωσι μέρους. καὶ ἡμῖν δὴ ἂν ἀγῶνα πρα-
κτέον, πάντων ἀγώνων μέγιστον, νομίζειν χρεών, ὑπὲρ ἧ
πάντα ποιητέον ἡμῖν, καὶ ποιητέον κατὰ δύναμιν. καὶ δὴ πάντα
σχολὴν καὶ ποιητὰς, καὶ λογοποιοὺς, καὶ ῥήτορσι, καὶ πᾶ-
σιν ἀνθρώποις ὁμιλητέον, ὅθεν ἂν μέλλῃ πρὸς τὴν τῆς ψυ-
χῆς ἐπιμέλειαν ὠφέλειά τις ἕπεσθαι. ὥσπερ γὰρ οἱ δεξιοποιοὶ
σχολάσαντες πρότερον θεραπείαις τισὶν, ὅτι ποτ' ἐστὶ,
τὸ δεξόμενον τὴν βαφὴν, ἵνα τὸ ἄνθος ἐπάγωσιν, εἶτα ἐρ-
γάζονται, οὕτω τοι ἕτερον ἢ τὸν αὐτὸν δὴ καὶ ἡμεῖς ζητοῦμεν,
καὶ μέλλοι ἀνέκπλυτος ἡμῖν ἡ τοῦ καλοῦ ἐγκεῖσθαι δόξα, τοῖς
ἔξω δὴ τούτοις προτελεσθέντες, τοιγαροῦν τῷ ἱερῷ καὶ ἀπορ-
ρήτων ἐπακουσόμεθα παιδευμάτων. καὶ οἷον ἐν ὕδατι τὸν Ἥ-
λιον ὁρᾶν ἐθισθέντες, ἵνα μὴ τῷ φωτὶ τῆς
ὄψεως. οὕτω καὶ ἡ ὀφθεῖσα οἰκειότης πρὸς ἀλλήλους τοῖς λόγοις,
παρέρχεται αὖ ἡμῖν αὐτῶν ἡ γνῶσις ἀφώρητος. εἰ δὲ μὴ, ἀλλ'
ἴσως, ἀφθόνως ἔσται, καταμαθεῖν τὸ διάφορον, καὶ μι-
κρὸν εἰς βεβαίωσιν τοῦ βελτίονος. Τίνι μὲν τοι παρεσκεύασε

τῶν παιδεύσεων ἑκατέραν, τῆς εἰκόνος ἂν τύχοις; ἤπου, καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ, τὸ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον καὶ φύλλα τοῖς κλάδοις περισειόμενα· οὕτω δὴ καὶ ψυχῇ, προηγουμένως μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ ἄχαρί γε μὴν οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλλα σκέπην τε τῷ καρπῷ, καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα; Λέγεται τοίνυν καὶ Μωϋσῆς ἐκεῖνος ὁ πάνυ, οὗ μέγιστον ἔστιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίων μαθήμασιν ἐγγυμνασάμενος τὴν διάνοιαν, οὕτω προσελθεῖν τῇ θεωρίᾳ τοῦ ὄντος. παραπλησίως δὲ τούτῳ, κἀν τοῖς κάτω χρόνοις τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνος φασὶ τὴν σοφίαν Χαλδαίων καταμαθόντα, τότε τῶν θείων ἅψασθαι παιδευμάτων. Ἀλλ' ὅτι μὲν οὐκ ἄχρηστον ψυχαῖς, μαθήματα τὰ ἔξωθεν δὴ ταῦτα, ἱκανῶς εἴρηται, ὅπως γε μὴν αὐτῶν μεθεκτέον ὑμῖν, ἑξῆς ἂν εἴη λέγειν. πρῶτον μὲν οὖν τοῖς παρὰ τῶν Ποιητῶν (ἵν' ἐντεῦθεν ἄρξωμαι, ἐπεὶ παντοδαποί τινές εἰσι) μὴ πᾶσιν ἐφεξῆς προσέχειν τὸν νοῦν, ἀλλ' ὅταν μὲν τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις, ἢ λόγους ὑμῖν διεξίωσιν, ἀγαπᾶν τε καὶ ζηλοῦν, καὶ ὅτι μάλιστα πειρᾶσθαι τοιούτους εἶναι· ὅταν δὲ ἐπὶ μοχθηροὺς ἄνδρας ἔλθωσι, τὴν μίμησιν ταύτην δεῖ φεύγειν, ἐπιφρασσομένους τὰ ὦτα, οὐχ ἧττον, ἢ τὸν Ὀδυσσέα, φασὶν ἐκεῖνοι, τὰ τῶν Σειρήνων μέλη. ἡ γὰρ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδός τις ἐστὶν ἐπὶ τὰ πράγματα· διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. Οὐ τοίνυν ἐπαινεσόμεθα τοὺς Ποιητὰς, οὐ λοιδορομένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας, ἢ μεθύοντας μιμουμένους· οὐχ ὅταν Ταπέζῃ πληθούσῃ, καὶ ᾠδαῖς ἀνειμένοις τὴν εὐδαιμονίαν ὁρίζονται. πάντα δὲ ἥκιστα, περὶ Θεῶν τι διαλεγομένοις προσέξομεν, καὶ μάλιστ' ὅταν ὡς περὶ πολλῶν τε αὐτῶν διεξίω-

σι,

σι, καὶ τούτων οὐδὲ ὁμονοούντων. ἀδελφὸς γὰρ δὴ παρ' ἐκείνοις διαστασιάζει πρὸς ἀδελφὸν, καὶ γονεὺς πρὸς παῖδας, καὶ τούτοις αὖθις πρὸς τοὺς τεκόντας πόλεμός ἐστιν ἀκήρυκτος. μοιχείας δὲ Θεῶν, καὶ ἔρωτας, καὶ μίξεις ἀναφανδὸν, καὶ ταύτας γε μάλιστα τοῦ κορυφαίου πάντων, καὶ ὑπάτου Διὸς, ὡς αὐτοὶ λέγουσιν, ἃ καὶ περὶ βοσκημάτων τις λέγων ἐρυθριάσειε, τοῖς ἐπὶ σκηνῆς καταλείψομεν. Ταῦτα δὴ, ταῦτα λέγειν καὶ περὶ Συγγραφέων ἔχω, καὶ μάλιστ' ὅταν, ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων, λογοποιῶσι. καὶ ῥητόρων δὲ τὴν περὶ τὸ ψεύδεσθαι τέχνην οὐ μιμησόμεθα· οὔτε γὰρ ἐν δικαστηρίοις, οὔτ' ἐν ταῖς ἄλλαις πράξεσιν ἐπιτήδειον ἡμῖν τὸ ψεῦδος, τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου, οἷς τὸ μὴ δικάζεσθαι, νόμῳ προστεταγμένον ἐστίν. ἀλλ' ἐκεῖνα αὐτῶν μᾶλλον ἀποδεξόμεθα, ἐν οἷς ἀρετὴν ἐπήνεσαν, ἢ πονηρίαν διέβαλον. Ὡς γὰρ τῶν ἀνθέων τοῖς μὲν ἀνθρώποις ἄχρι τῆς εὐωδίας, ἢ τῆς χρόας ἐστὶν ἡ ἀπόλαυσις, ταῖς μελίτταις δ' ἄρα καὶ μέλι λαμβάνειν ἀπ' αὐτῶν ὑπάρχει· οὕτω δὴ κἀνταῦθα, τοῖς μὴ τὸ ἡδὺ καὶ ἐπίχαρι μόνον τῶν τοιούτων λόγων διώκουσιν, ἐστί τινα καὶ ὠφέλειαν ἀπ' αὐτῶν εἰς τὴν ψυχὴν ἀποθέσθαι. Κατὰ πᾶσαν δὴ οὖν τῶν μελιττῶν τὴν εἰκόνα, τῶν λόγων ἡμῖν μεθεκτέον· ἐκεῖναί τε γὰρ, οὔτε ἅπασι τοῖς ἄνθεσι παραπλησίως ἐπέρχονται, οὔτε μὴν, οἷς ἐπιπτῶσιν, ὅλα φέρειν ἐπιχειροῦσιν, ἀλλ' ὅσον αὐτῶν ἐπιτήδειον πρὸς τὴν ἐργασίαν λαβοῦσαι, τὸ λοιπὸν χαίρειν ἀφῆκαν. ἡμεῖς τε, ἣν σωφρονῶμεν, ὅσον οἰκεῖον ἡμῖν καὶ συγγενὲς τῇ ἀληθείᾳ, παρ' αὐτῶν κομισάμενοι, ὑπερβησόμεθα τὸ λειπόμενον. καὶ καθάπερ τῆς ῥοδονιᾶς τοῦ ἄνθους δρεψάμενοι, τὰς ἀκάνθας ἐκκλίνομεν, οὕτω καὶ ἐπὶ τῶν τοιούτων λόγων, ὅσον χρήσιμον, καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξόμεθα. Εὐθὺς οὖν ἐξ ἀρχῆς ἐπισκοπεῖν ἕκαστον τῶν μαθημάτων καὶ συναρμόζειν τῷ τέλει προσῆκε, καὶ τὴν Δωρικὴν

πα-

παροιμίαν, τὸν λίθον ποτὶ τὴν σπάρτον ἄγοντας· καὶ ἐπειδήπερ δι' ἀρετῆς ἡμᾶς ἐπὶ τὸν βίον καθεῖναι δεῖ τὸν ἡμέτερον, εἰς ταύτην δὲ πολλὰ μὲν Ποιηταῖς, πολλὰ δὲ Συγγραφεῦσι, πολλῷ δὲ ἔτι πλείω Φιλοσόφοις ἀνδράσιν ὕμνηται, τοῖς τοιούτοις τῶν λόγων μάλιστα προσεκτέον. οὐ μικρὸν γὰρ τὸ ὄφελος, οἰκειότητά τινα καὶ συνήθειαν ταῖς τῶν νέων ψυχαῖς τῆς ἀρετῆς ἐγγενέσθαι. ἐπείπερ ἀμετάστατα πέφυκεν εἶναι τὰ τῶν τοιούτων μαθήματα, δι' ἀπαλότητα τῶν ψυχῶν, εἰς βάθος ἐνσημαινόμενα. Ἢ τίποτε ἄλλο διανοηθέντα τὸν Ἡσίοδον ὑπολάβωμεν ταυτὶ ποιῆσαι τὰ ἔπη, ἃ πάντες ᾄδουσιν; ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπ' ἀρετήν; ὅτι τραχεῖα μὲν πρῶτον καὶ δύσβατος, καὶ ἱδρῶτος συχνοῦ, καὶ πόνου πλήρης ἡ πρὸς ἀρετὴν φέρουσα, καὶ ἀνάντης ὁδός· διόπερ οὐ παντὸς, οὔτε προσβῆναι αὐτῇ διὰ τὸ ὄρθιον, οὔτε προσβάντι ῥᾳδίως ἐπὶ τὸ ἄκρον ἐλθεῖν· ἄνω δὲ γενομένῳ ὁρᾶν ὑπάρχει, ὡς μὲν λεία τε καὶ καλὴ, ὡς δὲ ῥᾳδία τε καὶ εὔπορος, καὶ τῆς ἑτέρας ἡδίων, τῆς ἐπὶ τὴν κακίαν ἀγούσης. ἢν ἀθρόον εἶναι λαβεῖν ἐκ τοῦ σύνεγγυς, ὁ αὐτὸς οὗτος Ποιητὴς ἔφησεν. Ἐμοὶ μὲν γὰρ δοκεῖ οὐδὲν ἕτερον, ἢ προτρέπων ἡμᾶς ἐπ' ἀρετὴν, καὶ προκαλούμενος ἅπαντας ἀγαθοὺς εἶναι, ταῦτα διελθεῖν, καὶ ὥστε μὴ καταμαλακισθέντας πρὸς τοὺς πόνους, προαποστῆναι τοῦ τέλους. Καὶ μέντοι καὶ εἴτις ἕτερος ἐοικότα τούτοις τὴν ἀρετὴν ὕμνησεν, εἰς τοῦτο ἡμῖν συμφέροντας τοὺς λόγους ἀποδεχόμεθα. Ὡς δ' ἐγώ τινος ἤκουσα δεινοῦ καταμαθεῖν ἀνδρὸς Ποιητῆ διάνοιαν, πᾶσα μὲν ἡ ποίησις τῷ Ὁμήρῳ ἀρετῆς ἐστιν ἔπαινος, καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει, ὅ,τι μὴ πάρεργον· οὐχ ἥχιστα δὲ, ἐν οἷς τὸν στρατηγὸν τῶν Κεφαλήνων πεποίηκε γυμνὸν ἐκ τοῦ ναυαγίου περισωθέντα, πρῶτον μὲν αἰδέσαι τὴν Βασιλίδα, φανέντα μόνον. τοσούτου δεῖν αἰσχύνην ὀφλῆσαι, γυμνὸν ὀφθέντα μόνον, ἐπειδήπερ αὐτὸν ἀρετὴ ἀντὶ ἱματίων κεκοσμημένον ἐποίησεν. ἔπειτα μέντοι καὶ τοῖς λοιποῖς

Φαία-

Φαίδξι τοιάτε ἄξιον νομιθλῶαι, ὥστε ἀφενίτες τλὼ ξυφλὼ, ἢ σωιέζων, ἐκεῖνον ἀποβλέπειν, καὶ ζηλῶν ἅπαντας, καὶ μιμεῖσθαι Φαιάκων τὸ τῷ τότε εἶναι, ἄλλοτι δ' ἂν εὔξασθαι μᾶλλον, ἢ Ὀδυσσέα θηιάσθαι, καὶ ταῦτα ἐκ ναυαγίε τοιῶτον ἀναστρωθέντα. Ἐν τούτοις δὲ ἐλεγθῶ ὁ τῆ Ποιητῆ τῆς θεανοίας ἐξηγητής, μονονυχὶ βοῶντα λέγειν τὸν Ὅμηρον, ὅτι ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἥτις καὶ ναυαγήσαντι συνοικνήσεται, καὶ ὅτι τῆς χέρσε θνούμθων γυμνὸν, τιμιώτερον ἀποδύξει τῶν ὁλοκλήρων Φαιάκων. Καὶ δὴ πῶς ἔχει· τὰ μὲν ἄλλα τῶν κτημάτων, καὶ μᾶλλον τῶν ἐχόντων, ἢ καὶ κτησαμένων τῶν ἀκτησάτων ἐστὶν, ὥσπερ ἐν παιδιᾷ κύβων, τῇδε, κἀκεῖσε μεταβαλλόμθα. μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετον, καὶ ζῶντι καὶ τελευτήσαντι ἀβλαβές ἐστα. ὅθεν δὴ καὶ Σόλων μοι δοκεῖ πρὸς τὰς ὀλπόρες εἰπεῖν τὸ

Ἀλλ' ἡμεῖς αὐτοῖς καὶ θαμιζόμθα.

Τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὴ ἔμπεδον αἰεί.

Χρήματα δ' ἀνθρώπων ἄλοτε ἄλλος ἔχει.

Παρκπλήσια δὲ τούτοις καὶ τὰ Θεόγνιδος, ἐν οἷς φησι τὸν Θεὸν, ὃν τινα δὲ καί φησι, τοῖς ἀνθρώποις τὸ παράπαν ἐπιτρέπειν ἄλοτε ἄλλως.

Ἄλοτε μὲν πλουτεῖν, ἄλοτε μηδὲν ἔχειν.

Καὶ μὴν καὶ ὁ Κῷος Σοφιστὴς τῶν ἑαυτῷ συγχρόνων, ἀδελφὰ τούτοις εἰς ἀρετὴν καὶ παιδείαν ἐφιλοσόφησεν. ᾧ δὴ καὶ αὐτῷ τὴν θεανοίαν προσεκτέον, καὶ ὃν λεγόμενος ὁ αὐτός. ἔχει δὲ ὧδέ πως ὁ λόγος αὐτῷ, ὅσα γε ἐγὼ τῇ κοινῇ τῆς θεανοίας μέμνημαι. ἐπεὶ τά γε ῥήματα οὐκ οἶδα, πλὴν γε δὴ ὅτι ἁπλῶς ὧδέ πως εἴρηκε αὐτὰ μᾶλλον. ὅτι, νέῳ ὄντι τῷ Ἡρακλεῖ κομιδῇ, καὶ ἔτι παντελῶς ἀγνοοῦντι τὴν ἡλικίαν, ἐν ᾗ αἱ ὁμοῖαι νικῶσι, βαδιζομένῳ, ποταμὸν ἐμβαίνειν τῶν ὁδῶν, τὴν δὲ τῶν πόνων ἀγαγεῖν πρὸς ἀρετὴν, ἢ τὴν ῥᾳστώνην· προσελθεῖν δύο γυναῖκας· ταύτας δὲ εἶναι ἀρετὴν, καὶ κακίαν. δεῖσθαι μὲν οὖν καὶ σιωπώσας, ἐμφαίνειν δὲ τὰ βήματος τὸ

θε-

διάφορον. εἶναι δὲ τὸν μὲν ὑπὸ πονηρωτάτης διεπιδεικνυμένου εἰς πάλλος, καὶ ὑπὸ ξυφῶν διαρρεῖν, καὶ παντὶ ἐσμοῦ ἡδονῆς ὀξυτατηλίου ἄγειν. πολλάκις δὲ καὶ δεικνύμενον, καὶ ἔτι πλείω πόνων ὑπιχνευμένου, ἕλκειν ὁπηχειρῶν τὸν Ἡρακλέα πρὸς ἑαυτόν. τὸν δ' ἕτερον καταστηκέναι, καὶ ἀυχμεῖν, καὶ σωφρονοῦντα βλέπειν, καὶ λέγειν τοιαῦτα ἕτερα. ὑπιχνεῖσθαι δὲ ὁδὸν ἀνειμένην, καὶ λείαν, ἀλλ' ἱδρῶτος μυρίους, καὶ πόνους, καὶ κινδύνους διὰ πάσης ἠπείρου τε καὶ θαλάττης. ἄθλον δὲ τούτων εἶναι Θεὸν γενέσθαι, ὡς ὁ ἐκείνου λόγος, ἢ γε δὴ καὶ τελοῦντα τὸν Ἡρακλέα ξυνιέντας. Καὶ χαίρων ἕπαντες, ὡς δὴ καὶ λόγος τίς ἐστιν ὅτι σοφία, ἢ μικρὸν, ἢ μεῖζον, εἰς δύναμιν ἕκαστος, ἐν τοῖς ἑαυτῶν συγγράμμασιν, ἀρετῆς ἔπαινον διῆλθον· οἷς πειστέον, καὶ πειρατέον ὅτι τὸν βίον δεικνύναι τοὺς λόγους. Ὡς ὅγε τὰν ἀκροβυμάτων τοῦδε τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν, οἷος πέφυκεν, τοιόδε, σκιαὶ αἰάσιαι. Καί μοι δοκεῖ τὸ τοιοῦτον τοῦδε πλήθιον εἶναι, ὥσπερ ἂν εἰ ζωγράφῳ θαυμαστόν τι, οἷον πάλλος ἀνθρώπου, μιμησάμενόν, ὁ δὲ αὐτὸς εἴη τοιοῦτος ὅτι τῆς ἀληθείας, οἷον ὅτι τῶν πινάκων ἐκεῖνος ἔδειξεν. Ἐπεὶ τόγε λαμπρῶς μὲν ἐπαινέσαι τὸν ἀρετὴν εἰς τὸ μέσον, καὶ μακρὰς ὑπὲρ αὐτῆς διατείνειν λόγους, ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφροσύνης, καὶ τὸ πλέον ἔχειν πρὸ τῆ δικαίᾳ τιμᾷν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ὅτι σκιωδῶς ὑποκειμένοις τὰ δράματα, οἳ ὡς Βασιλεῖς καὶ δυνάσται πολλάκις εἰσέρχονται, ὅτε Βασιλεῖς ὄντες, ὅτε δυνάσαι, ἀδὲ μὲν ἂν τυχὸν ἐλεύθερον τὸ πρόσωπον· εἶτα μικτικὸς μὲν, καὶ οὐκ ἐκὼν δίξαιτο, ἀνάρμοστον αὐτῷ τὸν λύραν εἶναι, καὶ χορῷ κορυφαῖος μὴ ὅτι μέλλοις συγχόρδοπα τὸν χορὸν ἔχειν, αὐτὸς δέ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτὸν, καὶ ἐκ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται; ἀλλ' ἢ γλῶττα μὲν ὁμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος, κατ' Εὐριπίδην, ἐρεῖ; καὶ τὸ δοκεῖν ἀγαθὸς πρὸ τῆ εἶναι

διό-

διώξεται; ἀλλ' οὗτός ἐστιν ὁ ἔσχατος τῆς ἀδικίας ὅρος, εἴτι δεῖ Πλάτωνι πείθεσθαι, τὸ δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα. Τοὺς μὲν οὖν τῶν λόγων, οἳ τὰς τῶν καλῶν ἔχουσιν ὑποθήκας, οὕτως ἀποδεχώμεθα· ἐπειδὴ δὲ καὶ τοράξεις ἀποδαῖαι τῶν παλαιῶν ἀνδρῶν, ἢ μνήμης ἀκολουθία πρὸς ἡμᾶς διασώζονται, ἢ Ποιητῶν, ἢ Συγγραφέων φυλαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπολειπώμεθα. οἷον, ἐλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων, ὁ δὲ οὐ προσεῖχε· καὶ εἰς πᾶσαν διήρκεσε τὴν ἡμέραν ὁ μὲν ἀφειδῶς παίων αὐτὸν τοῖς ὀνείδεσιν, ὁ δὲ οὐ μέλων αὐτῷ. εἶτα ἑσπέρας ἤδη καὶ σκότους, ἀπαλλαττόμενον μόλις, ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρείη τὸ πρὸς φιλοσοφίαν γυμνάσιον. Πάλιν τις Εὐκλείδῃ τῷ Μεγαρόθεν παροξυνθεὶς, θάνατον ἠπείλησε, καὶ ἐπώμοσεν. ὁ δὲ ἀντώμοσεν ἢ μὴν ἱλεώσασθαι αὐτὸν, καὶ παύσειν, χαλεπῶς πρὸς αὐτὸν ἔχοντα. Πόσου ἄξιον, τῶν τοιούτων τι παραδειγμάτων εἰσελθεῖν τὴν μνήμην ἀνδρὸς, ὑπὸ ὀργῆς ἤδη κατεχομένου; τῇ ζαγῳδίᾳ γὰρ οὐ πιστευτέον, ἁπλῶς λεγούσῃ· ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει χέρα· ἀλλὰ μάλιστα μὲν, μηδὲ διανίστασθαι πρὸς θυμὸν τὸ τοιοῦτον· εἰ δὲ μὴ ῥᾴδιον τοῦτο, ἀλλ' ὥσπερ χαλινὸν αὐτῷ τὸν λογισμὸν ἐμβάλλοντας, μὴ ἐᾶν ἐκφέρεσθαι περαιτέρω. Ἐπανάγωμεν δὲ τὸν λόγον αὖθις πρὸς τὰ τῶν σωφρονίσκου πράξεων παραδείγματα· ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην, εἰς αὐτὸ τὸ πρόσωπον ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ παροινοῦντι, τῆς ὀργῆς ἐμφορεῖσθαι. ὥστε ἐξοιδεῖν ἤδη, καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶν εἶναι. ὡς δ' οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγεται, ὥσπερ ἀνδριάντι τὸν δημιουργὸν, ὁ δεῖνα ἐποίει, καὶ τοσοῦτον ἀμυνάσθαι. Ταῦτα σχεδὸν εἰς ταυτὸν τοῖς ἡμετέροις φέροντα, πολλοῦ ἄξιον εἶναι μιμήσασθαι τοὺς τηλικούτους φημί-

τουτί

πστὶ μὲν γὰρ τὸ τῦ Σωκράτες ἀδελφὸν ἐκείνῳ τῷ ἀβιογγέλμωτι, ὅτι τῷ τύπτοντι κ᾽ τῆς σιαγόνος, κ᾽ τὸν ἕτερον παρέχειν προσῆκε· ταῦτα δεῖν ἐπαμυνέσθαι. Τὸ δὲ τῦ Πειθικλέες, ἢ τῦ Εὐκλείδε τῷ, τὰς διώκοντας ὑποφεύγειν, κ᾽ πρᾴως αὐτῷ τῆς ὀργῆς ἀνέχεσθαι, κ᾽ τῷ, τοῖς ἐχθροῖς εὔχεσθαι τ᾽ ἀγαθὰ, ἀλλὰ μὴ ἐπᾴδᾶσθαι· ὡς ὄγε ἐν τούτοις προπαιδευθείς, κ᾽ ἔτ᾽ ἂν ἐκείνοις, ὡς ἀδιωάτοις, ἐμπιστέυειν. Οὐκ ὢν παρέλθοιμι κὰ τὸ τῦ Ἀλεξάνδρε, ὃς τὰς θυγατέρας Δαρείε αἰχμαλώτας λαβὼν, θαυμασόντι, οἷον τὸ κάλλος, παρέχειν μαρτυρομένας, κ᾽ δὲ προσιδεῖν ἠξίωσεν, αἰσχρὸν εἶναι κρίνων, τὰς ἄνδρας ἑλόντας, γυναικῶν ἥττασθαι. πστὶ δὲ εἰς ταυτὸν ἐκείνῳ φέρει, ὅτι, ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικὶ, κ᾽ν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι, οὐκ ἀφίεται τῆς ἐγκλήματος. Τὸ δὲ τῦ Κλεινίε, τῦ Πυθαγόρε γνωρίμων ἑνὸς, χαλεπὸν, πιστεῦσαι ὑπὸ ταυτομάτε συμβῆναι τοῖς ἡμετέροις, ἀλλ᾽ οὐχὶ μιμησαμένε ἀπλῶς. τί δὲ καὶ ἐποίησεν ἐκεῖνος; ὀξὺν δι᾽ ὄρνιθε τελῶν παλαιτῶν ζημίαν ὑποφυγεῖν, ὁ δὲ ἀπέτισε μᾶλλον, ἢ ὤμοσε, κ᾽ ταῦτα διορνεῖν μέλλων, ἀνύσας, ἐμοὶ δοκεῖν, τῦ προσήγματος, τὸν ὅρκον ἡμῖν ἀπαγορεύοντος. Ἀλλ᾽ ὅπερ ἐξ ἀρχῆς ἔλεγον, πάλιν γὰρ εἰς ταυτὸν ἐπανίωμεν, ὑ ταῦτα ἐξῆς παραδεκτέον ἡμῖν, ἀλλ᾽ ὅσα χρήσιμα. κ᾽ γὰρ αἰσχρὸν, τῷ μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι, τῷ δὲ μαθημάτων, ἃ τῷ ψυχῷ ἡμῶν ξυμφέρει, μηδενὸς λόγον ἔχειν, ἀλλ᾽ ὥσπερ χειμάῤῥε παρασύροντος, ἅπαν τὸ προσωχὸν ἐμβάλλεσθαι. Καί τοι τίνα ἔχει λόγον, κυβερνήτῃ μὲν κὲ εἰκῇ τοῖς πνεύμασιν ἐφιέναι, ἀλλὰ πρὸς ὁρμὴν διϊθύειν τὸ σκάφος, κ᾽ τοξότῃ κ᾽ σκοπὸν βάλλειν, κ᾽ μὴ τοι κ᾽ χαλκευτικόν τινα, ἢ πεττευτικὸν ὄντα, τῦ κ᾽ τὸν τέχνῃ ἐφίεσθαι τέλες· ἡμᾶς δὲ καὶ τῷ τοιούτων δημιουργῶν ἀπολείπεσθαι, πρός γε τὸ σωφρονεῖν δυνά-

δύνασθαι τὰ ἡμέτερα; Οὐ γὰρ δὴ τῶν μὲν χειρονακτῶν ἐστί τι πέρας τῆς ἐργασίας, τοῦ δὲ ἀνθρωπίνου βίου σκοπὸς οὐκ ἔστι, πρὸς ὃν ἀφορῶντα πάντα ποιεῖν, καὶ λέγειν χρὴ τόν γε μὴ τοῖς ἀλόγοις προσεοικέναι μέλλοντα. ἢ οὕτως ἂν εἴημεν ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα, οὐδενὸς ἡμῖν νοῦ ὀπὲ τῶν τῆς ψυχῆς οἰάκων καθεζομένου, εἰκῇ κατὰ τὸν βίον ἄνω καὶ κάτω περιφερόμενοι. Ἀλλ' ὥσπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, εἰ δὲ βούλει, τοῖς μουσικοῖς, ἐκείνων εἰσὶ τῶν ἀγώνων αἱ μελέται, ὧν περ οἱ στέφανοι. καὶ οὐδείς γε πάλην ἀσκῶν, ἢ παγκράτιον, εἶτα κιθαρίζειν, ἢ αὐλεῖν μελετᾷ. οὐκοῦν ὁ Πολυδάμας γε, ἀλλ' ἐκεῖνος, πρὸ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιάσι, τὰ ἅρματα ἵστη τρέχοντα, καὶ διὰ τούτων τὴν ἰσχὺν ἐκράτυνε. καὶ ὅγε Μίλων ἀπὸ τῆς ἀληλειμμένης ἀσπίδος οὐκ ἐξωθεῖτο, ἀλλ' ἀντεῖχεν ὠθούμενος, οὐχ ἧττον, ἢ οἱ ἀνδριάντες, οἱ τῷ μολύβδῳ συνδεδεμένοι. καὶ ἁπαξαπλῶς, αἱ μελέται αὐτοῖς παρασκευαὶ τῶν ἄθλων ἦσαν· εἰ δὲ τὰ Μαρσύου, ἢ τὰ Ὀλύμπου τῶν Φρυγῶν περιειργάζοντο κρούματα, καταλιπόντες τὴν κόνιν, καὶ τὰ γυμνάσια, ταχύγ' ἂν στεφάνων, ἢ δόξης ἔτυχον, ἢ διέφυγον τὸ μὴ καταγέλαστοι εἶναι κατὰ τὸ σῶμα. Ἀλλ' οὐ μέντοι, οὐδὲ ὁ Τιμόθεος τὴν μελῳδίαν ἀφεὶς, ἐν ταῖς παλαίστραις διῆγεν. οὐ γὰρ ἂν τοσοῦτον ὑπῆρξεν αὐτῷ διενεγκεῖν ἁπάντων τῇ μουσικῇ, ᾧ γε τοσοῦτον περιῆν τῆς τέχνης, ὥστε καὶ θυμὸν ἐγείρειν διὰ τῆς συντόνου καὶ αὐστηρᾶς ἁρμονίας, καὶ μέντοι καὶ χαλᾶν, καὶ μαλάττειν πάλιν διὰ τῆς ἀνειμένης, ὁπότε βούλοιτο· ταύτῃ τοι, καὶ Ἀλεξάνδρῳ ποτὲ τὸ Φρύγιον ἐπαυλήσαντα, ἐξαναστῆσαι αὐτὸν ὀπὶ τὰ ὅπλα λέγεται μεταξὺ δειπνοῦντα· καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας, τὴν ἁρμονίαν χαλάσαντα· τοσαύτην ἰσχὺν ἔν τε μουσικῇ, καὶ τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὴν τοῦ τέλους κτῆσιν ἡ μελέτη παρέχεται. Ἐπεὶ δὲ στεφάνων καὶ ἀθλητῶν ἐμνήσθην, ἐκεῖνοι μυρία παθόντες ὀπὶ μυρίοις, καὶ πολλα-

χό-

χόθεν τὴν ῥώμην ἑαυτοῖς συναυξήσαντες, πολλὰ μὲν γυμναστικοῖς ἐνιδρώσαντες πόνοις, πολλὰς δὲ πληγὰς ἐκ παιδοτρίβου λαβόντες, δίαιταν δὲ οὐ τὴν ἡδίστην, ἀλλὰ τὴν παρὰ τῶν γυμναστῶν αἱρούμενοι, καὶ τἄλλα, ἵνα μὴ διατρίβω λέγων, οὕτω διάγοντες, ὡς τὸν πρὸ τῆς ἀγωνίας βίον μελέτην εἶναι τῆς ἀγωνίας· τηνικαῦτα ἀποδύονται πρὸς τὸ στάδιον, καὶ πάντα πονοῦσι, καὶ κινδυνεύουσιν, ὥστε κοτίνου λαβεῖν στέφανον, ἢ σελίνου, ἢ ἄλλου τινὸς τῶν τοιούτων, καὶ νικῶντες ἀναῤῥηθῆναι παρὰ τοῦ κήρυκος· ἡμῖν δὲ, οἷς ἆθλα τοῦ βίου πρόκειται οὕτω θαυμαστὰ πλήθει τε καὶ μεγέθει, ὥστε ἀδύνατα εἶναι ῥηθῆναι λόγῳ, ἐπ' ἄμφω καθεύδουσι, καὶ κατὰ πολλὴν διαιτωμένοις ἄδειαν, τῇ ἑτέρᾳ λαβεῖν τῶν χειρῶν ὑπάρξει; Πολλοῦ μέντ' ἂν ἄξιον ἦν ἡ ῥᾳθυμία τῷ βίῳ, καὶ ὅγε Σαρδανάπαλος τὰ πρῶτα πάντων εἰς εὐδαιμονίαν ἐφέρετο, ἢ καὶ ὁ Μαργίτης, εἰ βούλει, ὃν οὔτ' ἀροτῆρα, οὔτε σκαπτῆρα, οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτήδειον εἶναι Ὅμηρος ἔφησεν. εἰ δὲ Ὁμήρου ταῦτα, ἀλλὰ μὴν ἀληθὴς μᾶλλον ὁ τοῦ Πιττακοῦ λόγος, ὃς χαλεπὸν ἔφησεν, ἐσθλὸν ἔμμεναι· διὰ πολλῶν γὰρ δὴ τρόντι πόνων διεξελθοῦσι, μόλις ἂν τῶν ἀγαθῶν ἐκείνων τυχεῖν ἡμῖν περιγένοιτο, ὡς ἐν τοῖς ἄνω λόγοις οὐδὲν εἶναι παράδειγμα τῶν ἀνθρωπίνων ἐλέγομεν. Οὐ δὴ οὖν ῥᾳθυμητέον ἡμῖν, οὐδὲ τῆς ἐν βραχεῖ ῥᾳστώνης, μεγάλας ἐλπίδας ἀνταλλακτέον, εἴπερ μὴ μέλλοιμεν ὀνείδη τε ἕξειν, καὶ τιμωρίας ὑφέξειν, οὔτι παρὰ τοῖς ἀνθρώποις ἐνθάδε, καίτοι καὶ τοῦτο οὐ μικρὸν τῷ γενοῦν ἔχοντι, ἀλλ' ἐν τοῖς, εἴτε ὑπὲ γῆν, εἴτε καὶ ὅπου δὴ τοῦ παντὸς ὄντα τυγχάνει, δικαστηρίοις. ὡς τῷ μὲν ἀκουσίως τοῦ προσήκοντος ἁμαρτῶν τι, κἂν συγγνώμη τις ἴσως παρὰ τοῦ Θεοῦ γένοιτο· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ, οὐδεμία παραίτησις, τὸ μὴ οὐχὶ πολλαπλασίως τὴν κόλασιν ὑποχεῖν. Τί οὖν ποιῶμεν φαίη τις ἄν; τί ἄλλο γε, ἢ τῆς ψυχῆς

ἐπι-

μιμέλειαν ἔχοι, πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγοντας; καὶ δὴ ἐν τῷ σώματι δεκτέον, ὅτι μὴ πᾶσα ἀνάγκη, ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα πορευτέον, ὥσπερ ἐπὶ δορυφορίας, πρὸς τὰ τοῦ σώματος πάθη κοινωνίας, αὐτὴν δὲ φιλοσοφίας λύοντας. ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους, χαίρειν μὲν γε τοῖς ἀναγκαίοις ὑπηρετοῦντας, μηδὲν ἄγαν. ὡς οἴγε ἐπιζοποιούς τινας καὶ μαγείρους φεύγοντες, καὶ ἥκιστα διερωτώμενοι γαστρὸς καὶ θαλάττης, οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες, ἐλεεινοὶ τῆς σχολῆς, τῶν ἐν ᾅδου κολαζομένων ἥδιον πάσχοντες ἀνοητότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες, καὶ κοσκίνῳ φέροντες ὕδωρ, καὶ εἰς τετρημένον ἀντλοῦντες πίθον, κἀπὸ πέρας τῶν πόνων ἔχοντες. Κυρὸς δὲ καὶ ἀμπελόνας, ἔξω τῶν ἀναγκαίων, ἐργάζεσθαι, ἢ δυσυχιῶν ἐστὶ, κατὰ τὸν Διογένους λόγον, ἢ ἀπαιδευσίαν· ὥστε καλλωπισμὸν εἶναι καὶ νομίζεσθαι, ὁμοίως μέγαν ἡγεῖσθαι φημὶ δεῖν τὰς τοιούτους, ὡς τὸ ἑταιρεῖν, ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν. τί δὲ καὶ διαφέρει τῷ γε πᾶν ἔχοντι ξυσίδα ἀναβεβλῆσθαι, ἢ τῶν φακέλων ἱματίαν φέρειν, ἕως μηδὲ ἐνδύεσθαι τὰ παρὸς χειμῶνά τε ἔστιν, καὶ θάλπος ἀλεξιτήριον; Καὶ τἄλλα δὴ τὸν αὐτὸν τρόπον, μὴ περιττότερον τῆς χρείας κατασκευάζεσθαι, μηδὲ περιττὸν τὸ σῶμα ποιεῖν, ἢ ὡς ἄμεινον τῇ ψυχῇ. οὐκ ἔστιν δὲ ἀνάγκη, οὐδὲ τῷ γε ἀληθῶς τῆς παρουσίας ταύτης ἀξίῳ, καλλωπισμοῦ καὶ φιλοσώματον εἶναι, ἢ παρὸς ἄλλοτε τῶν παθῶν ἀρχῆς διακεῖσθαι. τὸ δὲ τὴν πᾶσαν σκευὴν εὐσχήμονα εἶναι, ὅπως ὡς κάλλιστα αὐτῷ τὸ σῶμα ἕξει, καὶ διακονώσκοιτο ἄριστα, καὶ σπουδάσεται τῇ σοφῇ, ἀξιάγαλμα, ὅτι καὶ τὸ ὁρώμενόν ἐστιν ὁ ἀνθρωπος, ἀλλότριος δεῖ εἶναι τρυφερᾶς σοφίας, δι' ἣν ἕκαστος ἡμῶν, ὅς τίς ποτ' ἐστιν, ἑαυτὸν διηγωνίσεται. τῶν δὲ μὴ νεηθρεμμένους τὸν νοῦν, ἀδιαιτοτέρους, ἢ λιμῶντι πρὸς τὸν ἥλιον ἀναβλέψαι. Κάθαρσις δὲ ψυχῆς, ἀφ' ἁπλοῦ τε εἶναι

καὶ ὑμῖν ἱκανῶς, τὰς δὲ τῆς αἰσθήσεως ἡδονὰς ἀτιμάζειν· μὴ ὀφθαλμοὺς ἔσεσθαι τοῖς ἀπόροις τῆς θαυματοποιῶν ἐπιδείξεσιν, ἢ σωμάτων θέας, ἡδονῆς κενῆς ἐναφιεμένους· μὴ δὲ τῆς ὠτων διεφθαρμένω μελῳδίαν τῆς ψυχῶν καταχεῖν, ἀπελαθείας τὸ δὴ καὶ πεπεισμένους ἔχουσα πάθη ἐκ τοιᾶδε τῆς μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν· ἀλλὰ τὸν ἕτερον μεταδιωκτέον ἡμῖν, τὸν ἀμείνω τε, καὶ ἐς ἄμεινον φέρουσαν· ἢ καὶ Δαβὶδ χαίρειος ὁ Ποιητὴς τῆς ἱερῶν ᾀσμάτων, ἐκ τῆς μαθείας, φησὶ, τὸν Βασιλέα παθίστη. Λέγεται δὲ καὶ Πυθαγόραν κωμασταῖς ἐντυχόντα μεθύουσι, κελεῦσαι τὸν αὐλητὴν τὸν τῆς κώμης καταρχόντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαι σφίσι τὸ δώριον· τοὺς δὲ ὥτως ὑπαφρονῆσαι ὑπὸ τῆς μέλους, ὥστε τὰς στεφάνους ῥίψαντας, αἰσχυνομένους ἐπανελθεῖν. ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι, καὶ ἐκβακχεύονται, τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς, ἢ μοχθηρᾶς μελῳδίας ὑπαπτῆναι· ὥστε τῆς κακῶς διακρατούσης ταύτης, ἧττον ἡμῖν μεθικτέον, ἢ κτησομένοις τῆς ἀρίστων. Ἀτιμίας γὰρ μὴ παντοδαπὰς, ἡδονὴν ὀσφρήσεως φέρουσας, τῆς ἀεὶ τὸ καταμιγνυῶαι, ἢ μύροις ἑαυτὰς ὑπαλοίνυσθαι, καὶ ἀπαγορεύειν αἰσχύνομαι. Τί δ' ἄν τις εἴποι περὶ τοῦ μὴ χρῆσθαι τὰς ἐν ἀφῇ; καὶ γνῶσει διώκειν ἡδονὰς, ἢ ὅτι καταναγκάζουσιν αὐτὰς περὶ τὴν ἑαυτῆς θήραν ἐσχολακότας, ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαστέρα, καὶ τὰ ὑπ' αὐτὴν σωφρονικότας ζῆν; ἐπὶ δὲ λόγῳ, πάντως ὑπεροπτέον τοῦ σώματος, τῆς μὴ, ὡς ἐν βορβόρῳ, ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι, ἢ τοσοῦτον ὠθιστέον αὐτοῦ, ὅσον φησὶ Πλάτων ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένους, εἰκότως λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆσθαι τοῦ σώματος φορόιαν ἔχειν, εἰς ἐπιθυμιῶν ἀφορμήν. Ἢ τί διαφέρουσιν, οἱ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιστα ἔχοι, φροντίζουσι, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν, ὡς ἡδονῆς ἀξίαν ὠφελοῦσι, τῆς περὶ τὰ ὄργανα

αὐτ-

ἀπαιδαζόντων, τῆς δὲ δι' αὐτῆς ἐνεργάσης τέχνης καταμελούντων; Παῦ μὴν ἂν παραυτίκα, κολάζειν αὐτὸ, καὶ κατέχειν, ὥσπερ θηρία τὰς ὁρμὰς προσῆκε, καὶ τὰς ἀπ' αὐτῶν θορύβους ἐγγινομένους τῇ ψυχῇ, οἷονεὶ μάστιγι, τῷ λογισμῷ καθιστάμενος κοιμίζειν· ἀλλὰ μὴ πάντα χαλινὸν ἡδονῆς αὐτὰς, περιορᾶν τὸν ἵππον, ὥσπερ λυττόχον ὑπὸ δυσκολίων ἵππων ὑβρει φερόμενον, ἀθυρόμενον ἄγεσθαι. καὶ τὸ Πυθαγόρου μεμνῆσθαι, ὃς τῷ σωζόντων τινὰ καταμαθὼν γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα καταταραχῦναι· ὦ ἵππος, ἔφη, καὶ παύσῃ χαλεπώτερον σεαυτῷ καταστασιάζων τὸ δεσμωτήριον; διὸ δὴ καὶ Πλάτων φησὶ τὸν ἐκ σώματος βλάβην προειδόμενον, τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς, τὸν Ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὸν ἄγαν ἀπάθειαν τοῦ σώματος, οἷον ἀμπέλοις τισὶ εἰς τὰ περιττὰ φορὰ, περικόπτοι. ἐγὼ δὲ καὶ σφάλιρον εἶναι τὸν ἐπ' ἄκρον ἀπειρίαν ἀφῶν πάντα. Οὔτε τοίνυν ἡ ἄγαν αὖτη τοῦ σώματος βλαμίλεια αὐτῆς τε ἀλυσιτελὴς τῷ σώματι, καὶ πρὸς τὸν ψυχὴν ἐμποδίον ὄζη, τό γε ὑπουργεῖσθαι πάντα καὶ θεραπεύειν, μανία σαφὴς. Ἀλλὰ μὴν οὐ τάντα γε ὑπερορᾶν μελετήσαιμι, χολὴ γ' ἂν ἄλλο τι τῷ ἀνθρωπίναν θαυμάσαιμι· τί δὲ ἔτι χρησόμεθα πλάτῳ, τὰς δὲ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες, ἐγὼ μὲν οὐκ ὁρῶ· πλὴν οὐ μὴ τὰς ἐν τοῖς μύθοις δράκοντας, ἡδονήν τινα φέρον θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. Οὔτε μὴν ἀλόγιστος πρὸς τὰ τοιαῦτα δυσκολαίνεσθαι παιδαριώδης, πολλὰ ἂν δέοι, παπεινόν τι, καὶ μικρὸν ἔργον, ἢ λόγου ποτὲ προελέσθαι· τὸ δὲ τῆς χρείας περιττότερον, κἂν λύδιον ἦ φίγμα, κἂν τῷ μυρμήκων ἔργον τῷ χρυσοφύλακι, τοσούτῳ πλέον ἀτιμάσει, ὅσῳ περ ἂν ἧττον προσδέηται· οὕτω δὲ δὴ πως τὸν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις, ἀλλ' ἐκ τῆς ἡδονῆς ὁρισάτω. Ὡς ἔστι τῷ ἀναγκαίων ὅρων ἔξω φρονοῦσι, παραπλησίως τοῖς περὶ τὰ

πρανοῦς φερομένοις, πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ' ὅσῳ περ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται, ἢ καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὅς φησι.

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.

Τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα Διδασκάλῳ χρηστέον λέγοντι.

Οὐκ ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη,

Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν. Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων ὑπεροψίαν, ὅς γε καὶ Βασιλέως τοῦ μεγάλου ἑαυτὸν ἀπέφηνε πλουσιώτερον, τῶν ἐλαττόνων, ἢ ἐκεῖνος, κατὰ τὸν βίον προσδεῖσθαι. ἡμῖν δὲ ἄρα, εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσείη τάλαντα, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ βοσκημάτων ἐσμοὶ πλείους, ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει. Ἀλλ' οἶμαι, προσήκει ἀνάντα τε μὴ ποθεῖν τὸν πλοῦτον, καὶ παρόντος, μὴ, διὰ τὸ κεκτῆσθαι, μᾶλλον φρονεῖν, ἢ τῶν εἰδέναι αὐτὸν διατίθεσθαι. τὸ γὰρ τοῦ Σωκράτους εὖ ἔχει, ὃς μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασιν, οὐ πρότερον αὐτὸν θαυμάσειν, ἔφη, πρὶν ἂν, καὶ ὅτι κεχρῆσθαι τούτοις ἐπίσταται, πειραθῆναι. ἢ Φειδίας μὲν, καὶ Πολύκλειτος, εἰ τῷ χρυσίῳ μέγα ἐφρόνουν, καὶ τῷ ἐλέφαντι, ὧν ὁ μὲν Ἠλείοις τὸν Δία, ὁ δὲ τὴν Ἥραν Ἀργείοις ἐποιησάτην, καταγελάστω ἂν ἤστην, ἀλλοτρίῳ πλούτῳ καλλωπιζόμενοι, ἀφέντες τὴν τέχνην, ὑφ' ἧς καὶ ὁ χρυσὸς ἡδίων, καὶ τιμιώτερος ἀπεδείχθη· ἡμεῖς δὲ τὴν ἀνθρωπείαν ἀρετὴν οὐκ ἐξαρκεῖν καθ' ἑαυτὴν πρὸς κόσμον ὑπολαμβάνοντες, ἐλάττονος αἰσχύνης ἄξια ποιεῖν οἰόμεθα; Ἀλλὰ δὴ τοῦ πλούτου μὲν ὑπεροψόμεθα, καὶ τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάσομεν. κολακείας δὲ καὶ θωπείας διωξόμεθα, καὶ τῆς Ἀρχιλόχου ἀλώπεκος τὸ κερδαλέον τε καὶ ποικίλον ζη-

λώ-

λωσομεν; ἀλλ' οὐκ ἔστιν, ὃ μᾶλλον φυλακτέον τῷ σωφρονοῦντι τὴν παρὰ δόξαν ζῆν, καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα τοξεύσκοπτειν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου. ὥστε κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγειν, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δεῖ, μηδὲν αἱρεῖσθαι τῶν ὀρθῶς ἐγνωσμένων παραμυθεῖν. ἢ τὸν μὴ ὕπως ἔχοντα, τί τοῦ Αἰγυπτίου σοφίσματος φήσομεν ἀπολείπειν, ὃς φυτὸν ἐγίγνετο, καὶ θηρίον, ὁπότε βούλοιτο, καὶ πῦρ, καὶ ὕδωρ, καὶ πάντα χρήματα; εἶτα δὴ καὶ αὐτὸς ἐμοὶ μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι, νοῦν δὲ τοὺς ἐναντίους ἀφήσει λόγους, ὅταν τοῦ ἀδίκου δοκιμήσαν αἴσθηται, ὅτερ δίκης ἐφ' ἑκάτερα. καὶ ὥσπερ φασὶ τὸν πολύποδα τοῦ χρόνου παρὰ τοῦ ἐπομένου γένους, ὅπως αὐτὸς τοῦ διώκοντος παρὰς τὰς τῶν διωκόντων γνώμας μεταβαλεῖται. Ἀλλὰ ταῦτα μὲν τοῖς ἡμετέροις λόγοις ἑλκιόμενον μαθησόμεθα. ὅσον δὲ σημειώσασθαι τινὰ τῆς ἀρετῆς, τό γε νοῦ εἶναι, ἐκ τῶν ἔξωθεν παιδευμάτων ἀφελησόμεθα. τοῖς γὰρ βαθμηδὸν ἐξ ἐκάστου τοῦ ὠφελίμου αὐξομένοις, ὥσπερ τοῖς μεγάλοις τῶν παιδίων πολλὰ γίνεσθαι πολλαχόθεν αἱ παροδοῦσαι τροφαί, τὸ γὰρ καὶ σμικρὸν ὅτι σμικρῷ καταστῆσαι, καὶ μᾶλλον εἰς ἀργυρίου προσθήκην, ἢ καὶ εἰς λύτρων βαθμήν, ὀρθῶς ἡγεῖσθαι ἔχειν τῷ Πομπεῖ παρῳνήσαμεν. Ὁ μὲν γὰρ Βίας τῷ Υἱεῖ παρὰ Αἰγυπτίοις ἀπειροντι, καὶ πυνθανομένῳ, τί αὖ ποιῶν αὐτῷ μάλιστα κεχαρισμένος παρέσται, ἐφόδιον, ἔφη, παρὰ γήρως κτησάμενος· τοῦ δὲ ἐφόδιον λέγων, μικροῖς ὅροις αὐτὸν περιγράφων, ὅς γε ἀνθρωπίνῳ βίῳ, τοῦ ἐπ' αὐτῆς ὠφέλειαν, ἀνήκοντος. ἐγὼ δὲ, κἂν τὸ Τιθωνοῦς γήρως, κἂν τὸ Λογχωνίδος λίμνης, κἂν τὸ τῶν μακροβιωτάτων παρ' ἡμῖν Μαθουσάλα, ὃς χιλίοις ἔτεσι τελέσαντα δίσσων, βιῶναι λέγεται, κἂν σύμπαντα τὸν, ὑφ' ὃν γεγόνασιν ἄνθρωποι, χρόνον

νον ἀναμετρῇ, ὡς ἐπὶ Παίδων διανοίας γελάσομαι, εἰς τὸν μακρὸν ἀποσκοπῶν καὶ ἀγήρω αἰῶνα, οὗ πέρας οὐδὲν ἐστὶ τῇ ἐπινοίᾳ λαβεῖν, οὐ μᾶλλόν γε, ἢ τελευτὴν ὑποθέσθαι τῆς ἀθανάτου ψυχῆς· πρὸς ὅν περ κτᾶσθαι παραινέσαιμι ἂν τὰ ἐφόδια, πάντα λίθον, κατὰ τὴν παροιμίαν, κινοῦντας, ὅθεν ἂν μέλλῃ τις ἡμῖν ἐπ' αὐτὸν ὠφέλεια γενήσεσθαι. Μηδ' ὅτι χαλεπὰ ταῦτα καὶ πόνου δεόμενα, διὰ τοῦτ' ἀποκνήσωμεν, ἀλλ' ἀναμνησθέντες τοῦ παραινέσαντος, ὅτι δέοι βίον μὲν ἄριστον αὐτῶν ἕκαστον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾶν τῇ συνηθείᾳ γενήσεσθαι, ἐγχειρεῖν τοῖς βελτίστοις. αἰσχρὸν γὰρ, τὸν παρόντα καιρὸν προϊεμένους, ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθὸν, ὅτε οὐδὲν ἔσται πλέον ἀνιωμένοις. Ἐγὼ μὲν οὖν, ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν νῦν εἴρηκα, τὰ δὲ πρὸς πάντα τὸν βίον ὑμῖν ξυμβουλεύσω. ὑμεῖς δὲ τριῶν ἀῤῥωστημάτων μὴ τῷ ἀνιάτῳ προσεοικέναι δόξητε, μηδὲ τὴν τῆς γνώμης νόσον παραπλησίαν τῇ τῶν εἰς τὰ σώματα δυστυχησαντῶν δείξητε. οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ πρὸς τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀῤῥωστημάτων, ἐφ' ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας· οἱ δ' εἰς ἀνήκεστον παντελῶς μελαγχολίας παρενεχθέντες, οὐδὲ προσιόντας προσίενται· ὃ μὴ πάθητε νῦν ὑμεῖς, τοὺς ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀποφεύγοντες.

ΤΟΥ ΑΥΤΟΥ

ΟΜΙΛΙΑ

ΔΕΚΑΤΗ ΤΕΤΑΡΤΗ

Κατὰ Μεθυόντων.

Γνεῖ μοί μι πρὸς τὸν λόγον τὸ ἑπόμενον διά-μαπε. κατέχει δέ μι πάλιν τὸν ὄρμον, κὴ ἀπαμβλύνει τὴν προθυμίαν τῶν προλαβόν-των πόνων τὸ ἄπαρπον. ἐπεὶ κὴ γεωργὸς, τῶν πρώτων αὖπὴ σπερμάτων μὴ ἐπιτυχόντων, ὀλιγο-τερόν ὄξη πρὸς τὸ δεύτερον τῆς αὐταῖς ἀρούραις πάλιν ἐγ-καταβάλλειν. εἰ δὲ ὅτι τοσαύταις παραινέσεσιν, ἃς οὔτε τῷ προλαβόντι χρόνῳ παρακαλῶντας ὑμᾶς κ' διελίποιμι, κὴ ἐφεξῆς τῶν ἐπτὰ τούτων τῆς νηστείας ἑβδομάδων πυκτὸς κὴ ἡμέρας διαμαρτυρόμενοι ὑμῖν τὸ Εὐαγγέλιον τῆς χά-ριτος τῷ Θεῷ κὰ ἐπαυσάμεθα, πόθεν γένοιτο ὄφελος, ἐ-πὶ ποίαις ἐλπίσι διαλεχθῶμεν σήμερον; ὦ πόσας νύκ-τας εἰκῇ ἠγρυπνήσατε. πόσας ἡμέρας εἰκῇ σιωπήσαι-τε, εἶτα κὴ εἰκῇ. ὁ δὲ ἐν παροχῇ γεγόμενος ἀγαθῶν ἔρ-γων, εἶτα παλινδρομήσας πρὸς τὴν ἀρχαίαν σιωπήσειεν, κ' μόνον τὸν ὄπὶ τοῖς πεπραγμένοις μισθὸν ἐζημιώθη, ἀλλὰ κὴ βαρυτέρας ἀξιῶται τῆς κατακρίσεως. ὅτι γοῦν καλὸν Θεοῦ ῥῆμα, κὴ γνώσεως μυστηρίων ἀξιωθείς, πάντα

προέδωκεν ἡδονῇ βραχείᾳ δελεασθείς. ὁ μὲν γὰρ ἐλάχιστος, συγγνωστός ἐστιν ἐλέους. δυνατοὶ δὲ, φησὶ, δυνατῶς ἐτασθήσονται. μία ἑσπέρα, καὶ μία προσβολὴ τοῦ ἐχθροῦ πάντα τὸν πόνον ἐκεῖνον διέλυσε καὶ ἠφάνισε. ποία οὖν προθυμία τοῦ νῦν λόγου; ὥστε κἂν ἐσιώπησα, εὖ ἴστε, εἰ μὴ ἐφοβούμην τὸ ὑπόδειγμα τοῦ Γερεμίου, ὃς πρὸς ἀπειθῆ λαὸν φθέγγεσθαι μὴ βουλόμενος, ἔπαθεν ἐκεῖνα ἅπερ αὐτὸς διηγήσατο. ὅτι ἐγένετο αὐτῷ πῦρ ἐν τοῖς ἐγκάτοις, καὶ παρεῖτο πάντοθεν, καὶ οὐκ ἠδύνατο φέρειν. γυναῖκες ἀκόλαστοι, ἐπιλαθόμεναι τοῦ φόβου τοῦ Θεοῦ, τοῦ πυρὸς τοῦ αἰωνίου καταφρονήσασαι, ἐν ἡμέρᾳ τοιαύτῃ, ὅτε αὐτὰς ἐχρῆν διὰ τὴν ἀνάμνησιν τῆς ἀναστάσεως καθῆσθαι ἐν τοῖς οἴκοις, καὶ εὔνοιαν λαμβάνειν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἀνοιγήσονται μὲν οἱ οὐρανοὶ, ἐπιφανήσεται δὲ ἡμῖν ὁ κριτὴς ἐξ οὐρανῶν, καὶ σάλπιγγες Θεοῦ, καὶ ἀνάστασις νεκρῶν, καὶ κρίσις δικαία, καὶ ἀντίδοσις ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ. ἀντὶ τοῦ ταῦτα ἔχειν ἐν τοῖς διαλογισμοῖς, καὶ καθαίρειν μὲν ἑαυτῶν τὰς καρδίας ἀπὸ πονηρῶν ἐνθυμήσεων, ἐξαλείφειν δὲ τοῖς δάκρυσι τὰ προημαρτημένα, ἑτοιμάζεσθαι δὲ πρὸς τὴν ἀπάντησιν τοῦ Χριστοῦ κατὰ τὴν μεγάλην ἡμέραν τῆς ἐπιφανείας αὐτοῦ, ἀποσεισάμεναι τὸν ζυγὸν τῆς δουλείας τοῦ Χριστοῦ, ῥίψασαι ἀπὸ τῶν κεφαλῶν τὰ τῆς εὐσχημοσύνης καλύμματα, καταφρονήσασαι τοῦ Θεοῦ, καταφρονήσασαι τῶν Ἀγγέλων αὐτοῦ, καταναισχυντήσασαι πάσης ἄρρενος ὄψεως, σοβοῦσαι τὰς κόμας, σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, ὀφθαλμῷ ἀσελγεῖ, γέλωτι ἐκκεχυμένῳ πρὸς ὄρχησιν ἐκμανεῖσαι, πᾶσαν νέων ἀκολασίαν ἐφ' ἑαυτὰς προσκαλούμεναι, ἐν τοῖς πρὸ τῆς πόλεως μαρτυρίοις χοροὺς συστησάμεναι, ἐργαστήριον τῆς οἰκείας αὐτῶν ἀσχημοσύνης τοὺς ἡγιασμένους τόπους πεποίηνται. ἐμίαναν μὲν τὸν ἀέρα τοῖς ᾄσμασι τοῖς πορνικοῖς,

ἐμία-

ἐμίαναν δὲ τὴν γῆν τοῖς ἀκαθάρτοις ποσὶν, ἣν ἐν ταῖς ὀρχήσεσι κατεκρότησαν. θέατρον ἑαυταῖς νεανίσκων ὄχλον περιστησάμεναι, σοβάδες ὄντως καὶ πτερόφοροι παντελῶς, μανίας οὐδεμίαν ὑπερβολὴν ἀπολείπουσαι. ταῦτα πῶς μὲν σιωπήσω; πῶς δὲ κατ' ἀξίαν ὀδύρωμαι; οἶνος ἡμῖν τῶν ψυχῶν τούτων τὴν ζημίαν ἐποίησεν. οἶνος, τὸ παρὰ Θεοῦ δῶρον εἰς παραμυθίαν τῆς ἀσθενείας δεδομένον τοῖς σωφρονοῦσιν. ὅπλον δὲ νῦν γενόμενον ἀκολασίας τοῖς ἀσελγαίνουσι.

Μέθη, ὁ αὐθαίρετος δαίμων, ἐξ ἡδονῆς ταῖς ψυχαῖς ἐμβαλλόμενος. μέθη, κακίας μήτηρ, ἀρετῆς ἐναντίωσις, τὸν ἀνδρεῖον δειλὸν ἀποδείκνυσι, τὸν σώφρονα ἀσελγῆ, δικαιοσύνην οὐκ οἶδε, φρόνησιν ἀναιρεῖ. ὥσπερ γὰρ ὕδωρ πολέμιόν ἐστι πυρὶ, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσι. διόπερ ᾤκνουν τι λέγειν κατὰ μέθης, οὐχ ὡς περὶ μικροῦ τινὸς κακοῦ ἢ παροφθῆναι ἀξίου, ἀλλ' ὡς οὐδὲν ὄφελος παρεχομένου τοῦ λόγου. εἰ γὰρ ὁ μεθύων παραφρονεῖ καὶ ἐσκότωται, εἰκῇ ῥαψῳδεῖ ὁ ἐπιπλήττων τῷ μὴ ἀκούοντι. τίσιν οὖν διαλεχθῶμεν, εἴπερ ὁ μὲν χρῄζων τῆς παραινέσεως, οὐκ ἀκούει τῶν λεγομένων. ὁ δὲ σωφρονῶν καὶ νήφων, οὐ δεῖται τῆς ἐκ τοῦ λόγου βοηθείας, καθαρεύων τοῦ πάθους. τί οὖν χρήσομαι τοῖς παροῦσιν, εἰ καὶ ὁ λόγος ἄχρηστος, καὶ ἡ σιωπὴ ἄπορος; παρίδωμεν τὴν ἐπιμέλειαν; ἀλλ' ἐπικίνδυνος ἡ ἀμελεία. ἀλλὰ φθέγξομαί τι κατὰ τῶν μεθυόντων; ἀλλ' εἰς νεκρὰς ἀκοὰς ἐνηχοῦμεν. μήποτε οὖν ὡς ἐπὶ τῶν λοιμικῶν νοσημάτων, οἱ τῶν σωμάτων θεραπευταὶ, τοὺς μὲν ὑγιαίνοντας τοῖς προφυλακτικοῖς βοηθήμασιν ἀσφαλίζονται, τοῖς δὲ κεκρατημένοις ὑπὸ τοῦ πάθους οὐκ ἐγχειροῦσιν. οὕτω καὶ ἡμῖν ἐξημισείας ἔχει ὁ λόγος τὸ χρήσιμον. φυλακὴν ὑποδεικνὺς τοῖς ἀπαθέσιν, οὐκ ἀπαλλαγὴν καὶ ἴασιν τοῖς ὑπὸ τοῦ πάθους κεκρατημένοις.

Τί-

Τίνι διενηνόχας τῶν ἀλόγων, ὦ ἄνθρωπε; οὐ τῇ δωρεᾷ τοῦ λόγου ἣν λαβὼν παρὰ τοῦ κτίσαντός σε, ἄρχων καὶ κύριος ἐγένου πάσης τῆς κτίσεως; ὁ τοίνυν ἀφελόμενος ἑαυτοῦ τὴν φρόνησιν διὰ τῆς μέθης, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. μᾶλλον δὲ καὶ τῶν βοσκημάτων, φαίην ἂν ἔγωγε ἀλογωτέρους εἶναι τοὺς ἐν τῇ μέθῃ, εἴπερ τὰ μὲν τετράποδα πάντα καὶ τὰ θηρία, τεταγμένας ἔχει τὰς πρὸς τὴν μίξιν ὁρμάς. οἱ δὲ ὑπὸ τῆς μέθης τὴν ψυχὴν κατεχόμενοι, καὶ τὸ σῶμα τῆς παρὰ φύσιν θερμότητος ἀναπλήσαντες, πάντα καιρὸν καὶ πᾶσαν ὥραν πρὸς τὰς ἀκαθάρτους καὶ ἀσχήμονας συμπλοκὰς καὶ ἡδονὰς συνελαύνονται. καὶ οὐ τοῦτο μόνον τὴν ἀλογίαν αὐτοῖς ἐμποιεῖ, ἀλλὰ καὶ ἡ τῶν αἰσθήσεων παραστροπὴ, χείρονα παντὸς κτήνους ἀποδείκνυσι τὸν μεθύοντα. ποῖον γὰρ βόσκημα οὕτω παραβλέπει καὶ οὕτω παρακούει ὡς ὁ μεθύων; οὐκ ἀγνοοῦσι μὲν τοὺς οἰκειοτάτους, προστρέχουσι δὲ πολλάκις τοῖς ἀλλοτρίοις ὡς τοῖς συνήθεσιν; οὐ τὰς σκιὰς διαπηδῶσι πολλάκις ὡς ἐχετοὺς ἢ φάραγγας; ἤχων δὲ αὐτοῖς καὶ ψόφων, οἱονεὶ θαλάσσης κυμαινούσης, τὰ ὦτα πεπλήρωται. ἡ δὲ γῆ πρὸς τὸ ὄρθιον διανίστασθαι δοκεῖ, καὶ τὰ ὄρη περιτρέχειν ἐν κύκλῳ. οὗτοι, ποτὲ μὲν γελῶσιν ἄπαυστα. ποτὲ δὲ, ὀδυνῶνται καὶ κλαίουσιν ἀπαρηγόρητα. καὶ νῦν μὲν θρασεῖς εἰσὶ καὶ ἀπτόητοι. νῦν δὲ κατάφοβοι καὶ δειλοί. τούτοις ὕπνοι μὲν βαρεῖς καὶ δυσανάφοροι καὶ πνιγώδεις, καὶ τῷ ὄντι θανάτου γείτονες. αἱ δὲ γρηγορήσεις, τῶν ὕπνων ἀναισθητότεραι. ἐνύπνιον γὰρ αὐτοῖς ἐστὶν ὁ βίος, οἵ γε ἱμάτιον οὐκ ἔχοντες, οὐδέ τι φάγωσιν εἰς τὴν αὔριον, βασιλεύουσι καὶ στρατοπέδων ἄρχουσιν ἐν τῇ μέθῃ, καὶ πόλεις οἰκοδομοῦσι, καὶ χρήματα διανέμουσι. τοιούτων φαντασιῶν καὶ ἀπάτης τοσαύτης περιζέων ὁ οἶνος τὰς καρδίας αὐτῶν πληροῖ. ἕτεροι δὲ εἰς τὰ ἐναντία

τῶν περιάγονται πάθη. δυσέλπιδές εἰσι, καὶ κατηφεῖς, καὶ ὀδυνηροὶ, καὶ δακρυώδεις, καὶ ψοφοδεεῖς, καὶ εὐπτόητοι. ὁ αὐτὸς οἶνος ἐν διαφόροις σωμάτων ἕξεσι, διάφορα τὰ πάθη ταῖς ψυχαῖς ἐργαζόμενος. οἷς μὲν ἂν διάχυσιν τοῦ αἵματος ἐμποιήσας πρὸς τὴν ἐπιφάνειαν ἐξανθήσῃ, φαιδροὺς καὶ ἡδεῖς καὶ γεγανωμένους αὐτοὺς ἀποδείκνυσιν. ὧν δ' ἂν ὑπὸ τοῦ βάρους καταπιλήσῃ τὴν ἕξιν, συστέλλων αὐτῶν καὶ καταπιέζων τὸ αἷμα, πρὸς τὴν ἐναντίαν αὐτοὺς περιάγει διάθεσιν. καὶ τί δεῖ λέγειν τῶν λοιπῶν παθῶν τὸν ὄχλον; τὰς δυσκολίας τοῦ ἤθους; τὸ εὐπαρόξυντον, καὶ μεμψίμοιρον; τὸ ὀξύῤῥοπον τῆς ψυχῆς; τὴν κραυγὴν; τὸν θόρυβον; τὸ πρὸς πᾶσαν ἀπάτην εὐπαράγωγον; τὸ πρὸς τὰς ὀργὰς ἀταμίευτον;

Ἡ δὲ πρὸς τὰς ἡδονὰς ἀκρασία, ἄντικρυς, ὥσπερ ἐκ πηγῆς τοῦ οἴνου φέρεται, καὶ συνεισπίπτει τῷ ἀκράτῳ τῆς ἀσελγείας ἡ νόσος, πᾶσαν βοσκημάτων μανίαν ἐπὶ τὸ θῆλυ, δευτέραν τῆς τῶν μεθυόντων ὕβρεως ἀποφαίνουσα. εἴπερ τὰ μὲν ἄλογα, γνωρίζει τοὺς ὅρους τῆς φύσεως. οἱ δὲ μεθύοντες, ἐν ἄῤῥενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄῤῥεν ἐπιζητοῦσιν. οὐδὲ ἐπεξελθεῖν τῷ λόγῳ ῥᾴδιον, πᾶσι τοῖς ἐκ τῆς μέθης δεινοῖς. αἱ μὲν οὖν ἐκ τοῦ λοιμοῦ βλάβαι χρόνῳ ἐγγίνονται τοῖς ἀνθρώποις, κατὰ μικρὸν τοῦ ἀέρος τὴν παρ' ἑαυτοῦ φθορὰν ἐντιθέντος τοῖς σώμασιν, αἱ δὲ παρὰ τοῦ οἴνου, εὐθὺς συνεισπίπτουσιν. οὕτω γὰρ τὴν ψυχὴν ἀπολωλότες, ὡς ὑπὸ πάσης κηλίδος εἶναι κατεστιγμένοι, ἔτι καὶ αὐτὴν τοῦ σώματος τὴν ἕξιν προσδιαφθείρονται. οὐ μόνον τῇ ὑπερβολῇ τῶν ἡδονῶν ἐξοιστρουσῶν ἐπὶ λαγνείας ἐκτετηκότες καὶ διαῤῥέοντες, ἀλλὰ καὶ αὐτῷ τῷ ὄγκῳ πεπλαδηκὸς καὶ βρυῶδες καὶ τοῦ ζωτικοῦ τόνου λελυμένον τὸ σῶμα φέροντες. τούτων, πελιδνοὶ οἱ ὀφθαλμοί. ὕπωχρος δὲ ἡ ἐπιφάνεια. πνεῦμα προσεστηκός. γλῶσσα

πα-

παρειμένη, καὶ κραυγὴ ἄσημος. ἀκροσφαλεῖς οἱ πόδες καθάπερ οἱ τῶν παίδων. ἐκκρίσεις δὲ τῶν περιττωμάτων αὐτόματοι, ὥσπερ ἀπὸ ἀψύχων ῥέουσαι. ἐλεεινοὶ τῆς τρυφῆς, ἐλεεινότεροι τῶν ἐν πελάγει χειμαζομένων, οὓς ἄλλα ἐξ ἄλλων διαδεχόμενα καὶ ἐπιβαπτίζοντα κύματα ἀναφέρειν οὐκ ἐπιτρέπει τοῦ κλύδωνος. οὕτω δὴ καὶ τούτων αἱ ψυχαὶ ὑποβρύχιοι φέρονται βεβαπτισμέναι τῷ οἴνῳ. διόπερ ὡς τὰ χειμαζόμενα πλοῖα ἐπειδὰν ὑπέραντλα γένηται, ἀναγκαίως τῇ ἐκβολῇ τοῦ φόρτου κουφίζεται. οὕτω καὶ τούτοις ἀναγκαίαι τῶν βαρυνόντων αἱ ὑποθέσεις. ἐμοῦντες γὰρ καὶ ἀποβλύζοντες, μόλις ἐλευθεροῦνται τοῦ βάρους. τοσοῦτον τῶν δυσπλούντων ἐλεεινότεροι, ὅσον οἱ μὲν ἀνέμους καὶ θάλασσαν, καὶ τὰς ἔξωθεν ἀνάγκας ἐπαιτιῶνται. οἱ δὲ αὐθαίρετον ἐπισπῶνται τὸν ἐκ τῆς μέθης χειμῶνα. ὁ δαιμονῶν, ἐλεεινός. ὁ δὲ μεθύων, τὰ αὐτὰ πάσχων οὐδὲ τοῦ ἐλεεῖσθαι ἄξιος, αὐθαιρέτῳ δαίμονι προσπαλαίων. οἳ καὶ μέθης συντιθέασι φάρμακα, οὐχὶ τὸ μὴ παθεῖν τι δεινὸν ἀπὸ τοῦ οἴνου, ἀλλὰ τὸ μὴ διαλείπειν μεθύοντες, μηχανώμενοι. ὀλίγη μὲν γὰρ αὐτοῖς ἡ ἡμέρα. μικρὰ δὲ ἡ νὺξ καὶ ἡ χειμέριος, πρός γε τὸν τοῦ πότου χρόνον. τέλος δὲ οὐκ ἔστι τοῦ κακοῦ. αὐτὸς γὰρ ἑαυτὸν ὁ οἶνος ἐπὶ τὸ πλεῖον προάγει. οὐ γὰρ τὴν χρείαν παραμυθεῖται, ἀλλ' ἑτέρου πότου χρείαν ἀπαραίτητον ἐμποιεῖ, ἐκκαίων τοὺς μεθύοντας, καὶ ἀεὶ πρὸς τὴν τοῦ πλείονος ἔφεσιν προκαλούμενος. ἀπλήρωτον δὲ τοῦ πίνειν τὴν ὄρεξιν ἔχειν ἐπινοοῦντες, τὸ ἐναντίον πάσχουσιν ἢ προῄρηνται. τῷ γὰρ συνεχεῖ τῆς τρυφῆς τὰς αἰσθήσεις ἀπομαραίνουσιν. ὡς γὰρ τὸ ἄγαν λαμπρὸν ἀμαυροῖ τὰς ὄψεις. καὶ ὥσπερ τοῖς μεγάλοις ψόφοις κατακρουόμενοι, τῇ ἀμετρίᾳ τῆς πληγῆς εἰς τὸ μηδὲ ἀκούειν παντελῶς παραλάγονται, οὕτω καὶ οὗτοι λελήθασιν ἑαυτοὺς ὑπὸ τῆς ἄγαν φιληδονίας τὴν ἡδονὴν ἀπολέσαντες. ἄποιος μὲν

γὰρ

γὰρ αὐτοῖς καὶ ὑδατώδης ὁ οἶνος κἂν ἄκρατος ᾖ, χλιαρὰ δὲ τοῦ νεαροῦ ἡ ἀντίληψις κἂν τὸ ἀκραιφνέστατον ᾖ, κἂν αὐτὴ χιὼν κατασβέσαι τὴν ἔνδον ἐν αὐτοῖς ἐκ τῆς ἀμετρίας τοῦ οἴνου καιομένην φλόγα μὴ δυναμένη. τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι ἀηδίαι καὶ λέχαι; τίνι συντρίμματα διακενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνῳ, καὶ κατασκοπούντων ποῦ πότοι γίνονται; τὸ οὐαὶ, θρηνῶδες ἐστὶν ἐπίφθεγμα. θρήνου δὲ ἄξιοι οἱ μεθύοντες, διόσι μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. θόρυβος δὲ, διὰ τὴν ἐκ τοῦ οἴνου ταραχὴν ἐγγινομένην τοῖς λογισμοῖς. καὶ ἀηδίαι, διὰ τὰς πικρὰς ἐκ τοῦ πίνειν ἡδονῆς ἀναδόσεις· τούτων γὰρ δεσμοῦνται μὲν οἱ πόδες· δεσμοῦνται δὲ χεῖρες ἐκ τῶν ἐπιπεμπομένων αὐτοῖς παρὰ τῆς μέθης ῥευμάτων. καί τοι καὶ πρὸ τούτων τῶν παθῶν, παρ' αὐτὸν τὸν καιρὸν τοῦ πίνειν, τὰ τῶν φρονιτικῶν αὐτοῖς συμπίπτει πάθη. ὅταν γὰρ πλήρεις αἱ μήνιγγες γένωνται τῆς αἰθάλης, ἡ ὁ οἶνος ἐξατμιζόμενος ἀναφέρει, βάλλεται μὲν ὀδυνάις ἀφορήτοις ἡ κεφαλή. μένειν δὲ ὀρθὴ ἐπὶ τῶν ὤμων μὴ δυναμένη, ἄλλο τε ἐπ' ἄλλα καταπίπτει τοῖς ἀπονδύλοις ἐνολισθαίνουσα. λέχην δὲ λέγει, τὴν ἄμετρον ἐν τοῖς συμποσίοις καὶ ἐμφιλόνεικα ὁμιλίαν. καὶ συντρίμματα διακενῆς γίνεται τοῖς οἰνόφλυξιν, οὐ δυναμένοις ὀρθοῦσθαι ὑπὸ τῆς μέθης. ἀνατρέπονται γὰρ εἰς παντοῖα πτωμάτων σχήματα, ὥστε ἀναγκαῖον αὐτοὺς ἐπὶ τοῦ σώματος συντρίμματα ἔχειν διακενῆς.

Ἀλλὰ τὶς εἴπῃ ταῦτα τοῖς οἰνοπλήκτοις; καρηβαροῦσι γὰρ ἐκ τῆς κραιπάλης, νυστάζουσι, χασμῶνται, ἀχλὺν βλέπουσι, ναυτιῶσι, διὰ τοῦτο οὐκ ἀκούουσι τῶν διδασκάλων πολλαχόθεν αὐτοῖς ἐμβοώντων. μὴ μεθύσκετε οἴνῳ, ἐν ᾧ ἐστὶν ἀσωτία. καὶ πάλιν. ἀκόλαστον οἶνος, καὶ ὑβριστικὸν

κὸν μέθη, ὧν παρακούοντες, αὐτόθεν ἔχουσι τὰς ἐπικαρπίας τῆς μέθης. οἰδαίνει μὲν γὰρ ὁ ὄγκος, ὀφθαλμοὶ δίυγροι, στόμα ξηρὸν καὶ διακαές. ὥσπερ γὰρ αἱ χαράδραι, ἕως μὲν ἂν αὐταῖς ἐπιῤῥέωσιν οἱ χείμαῤῥοι, πλήρεις εἶναι δοκοῦσι. παρελθούσης δὲ τῆς πλημμύρας, ξηραὶ καταλιμπάνονται. οὕτω καὶ τοῖς οἰνόφλυξι τὸ στόμα, ἐλλιμνάζοντος μὲν τοῦ οἴνου, πλῆρες ἐστίπως καὶ δίυγρον, μικρὸν δὲ παραδραμόντος, ξηρὸν καὶ ἄνικμον ἀπελέγχεται. παρασυρόμενον δὲ ἀεὶ καὶ κατακλυζόμενον τῇ ἀμετρίᾳ τοῦ οἴνου, καὶ τὴν ζωτικὴν ἰκμάδα προσαποβάλλει. ποία γὰρ κατασκευὴ ἀνθρώπου οὕτως ἰσχυρὰ, ὥστε τοῖς ἐκ τῆς μέθης κακοῖς ἀντισχεῖν; τίς γὰρ μηχανὴ τὸ ἀεὶ θερμαινόμενον καὶ ἀεὶ διάβροχον τῷ οἴνῳ γινόμενον σῶμα, μὴ οὐχὶ ἔκπλυτον καὶ ἐξίτηλον καὶ διεῤῥυηκὸς γενέσθαι; ἐντεῦθεν οἱ τρόμοι καὶ αἱ ἀσθένειαι. κοπτομένου γὰρ αὐτοῖς τοῦ πνεύματος ὑπὸ τῆς ἀμετρίας τοῦ οἴνου, καὶ τῶν νεύρων λυομένων τῆς συντονίας, ὁ κλόνος τῷ σύμπαντι ὄγκῳ τοῦ σώματος ἐπιγίνεται. τὶ τὴν κατάραν τοῦ Κάϊν ἐφ' ἑαυτὸν ἐπισπᾶσαι, τρέμων καὶ περιφερόμενος διὰ παντὸς τοῦ βίου; οὐ γὰρ ἔχον τὸ σῶμα τὸν ἐκ τῆς φύσεως στηριγμὸν, ἀναγκαίως περιδονεῖται καὶ κατασείεται.

Μέχρι πότε οἶνος; μέχρι τίνος μέθη; κινδυνεύεις λοιπὸν βόρβορος εἶναι ἀντὶ ἀνθρώπου. οὕτως ὅλος ἀνεμίχθης τῷ οἴνῳ, καὶ συγκατεσάπης αὐτῷ, ἐκ τῆς καθημερινῆς κραιπάλης οἴνου ἀπόζων καὶ τούτου διεφθαρμένου, ὥσπερ τῶν ἀγγείων τὰ ἀχρηστότατα. τούτους Ἡσαΐας ὀδύρεται. οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωὶ καὶ τὰ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. μετὰ γὰρ κιθάρας καὶ αὐλῶν, τὸν οἶνον πίνουσι. τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ

κα-

κατασοῦσι. σίκερα, παῤ τὸ δυνάμενον μέθυ ἐμποιῆσαι πόμα τοῖς Ἑβραίοις ὀνομάζειν σωήθες. οἱ δὲν ἀρχομένης ἡμέρας ἀναστυπῶντες πᾶ πότοι γίνονται, καὶ οἰνοποσίαι καὶ κατηλεῖα ἀναθρεῦντες, καὶ ἀλλήλους ἔωθι τὸ πίνειν ἀναλαμβανόντες, καὶ πᾶσαν τῆς ψυχῆς τὴν μέθυσιν ἀφ' ἡ τῆ τοιούτων φροντίδα καταναλίσκοντες, ἅτοι ὑπὸ τῆ παροφθῆναι καταθρωῦνται, εἰς καιρὸν ἑδενὸς ἑαυτοῖς παρὸς τὴν τῆ θαυμασίου τῆ Θεῆ καταυόησιν ἀπολείποντες. ἃ γὰρ ἄγιοι χολὴν οἱ ὀφθαλμοὶ αὐτῆ καταπεῦσαι παρὸς ὑρανὸν, καὶ τὰ ἐν αὐτῆ καλὰ καταμαθεῖν, καὶ πᾶσαν τὴν ἐν τοῖς κόσμοις διακόσμησιν θαυμάσαι, ὥστε ἐκ τῆς τῶν ἔργων ἀξίας τὸν δημιουργὸν ἐννοῆσαι. ἀλλ' ἑτοῖς ἀρχομένης ἡμέρας, κοσμοῦσιν ἑαυτῆ τὰ συμπόσια πάσαις ποικίλοις καὶ ἀνθίνοις ἀναπεπάσμασι, στεφανοῦντε καὶ ὑπαλείφοντες εἰς τὸν τῆ ἐκπωμάτων ἀναλογίσμον ἀναθήκαις ὑπαλείφουσι, φιάλας καὶ κρατῆρας καὶ φιάλας, ὥσπερ ἐν πομπῆ τινὶ καὶ πανηγύρει, διατιθέντες, ὡς ἂν τὸ τῆ ἀγγείων διάφορον τὸν κόρον αὐτοῖς ἐποκλίπτῃ, καὶ ἡ τῆ ἐκπωμάτων ὑπαλλαγὴ καὶ μετάβασις ἡσυχὴν αὐτοῖς εἰς τὸ πίνειν διατριβὴν ἐμποιῇ. συμποσίαρχοι δὲ τινες ὑπὸ τοῖς καὶ ἀρχιοινοχόοι, καὶ ἀρχιτρίκλινοι. καὶ πάξις ἐν ἀταξίᾳ, καὶ διάθεσις ἐν ἀκόσμῳ παράγματι ἐπινοῦνται, ἵν' ὥσπερ ταῖς ἀρχαῖς ταῖς ἔξωθεν ἐκ τῆ δορυφορίντων ἡ σεμνότης σωαύξεται, οὕτω καὶ τῇ μέθῃ οἷόν βασιλίδι τινὶ θεραπείαν ἀναπάσαντες, τὸ ἐπονείδιστον αὐτῆς πᾶ ἐκβάλλοντι τῆς πόλεως ἀπελάσωσι. σέφανοι δὲ τοῖς καὶ ὥθη καὶ μύρα καὶ θυμιάματα, καὶ μυρεῖαι τινὲς ἔξωθεν θυμιδίαι, πλείονα τὴν ἀχολίαν τῆς ἀπολυμβύοις ἀναπαύουσιν. ἐπὶ πόρρω προϊόντος τὸ πότε, ἅμιλλαι ἀπὸ τὸ πλείονος, φιλονεικίαι καὶ ἀθωτίσματα, ἀλλήλως ὑπερβάλλεσθαι φιλοτιμουμένων ἐπὶ τὴν μέ-

μέ-

μάχω. ἢ ὁ ἀγωνοθετῶν αὐτοῖς ὁ διάβολος, καὶ ἆθλον τῆς νίκης ἡ ἁμαρτία. ὁ γὰρ πλείονα τὸν ἄκρατον ἐμεθύσθη, ὅτος φέρεται καὶ ἀπὸ ἄλλων τὸ νικητήριον. ὄντως ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. φιλονεικοῦσι μὲν γὰρ ἀλλήλοις, ἀπωλλύονται δὲ ἑαυτούς. ποῖος λόγος ἐφικέσθαι τῆς ἀκρότητος τῶν γινομένων δύναται; πάντα ἀλογίας γέμει, πάντα συγχύσεως. οἱ πτηνοὶ μεθύουσιν, οἱ γεωργοὶ μεθύουσιν, οἱ ὑπηρέται καταγελῶσιν. ἡ χεὶρ ἀπείρηκε, τὸ στόμα οὐ δέχεται, καὶ γαστὴρ διαρρήγνυται, καὶ τὸ κακὸν οὐ φίησι. τὸ ἄθλιον σῶμα τῇ φυσικῇ τάξει πληθύεται, ἀπορρύτου ἕξεως πανταχόθεν, πλὴν ἐκ τῆς ἀκμαζούσης βίας μὴ ὑπομενόν.

Ἕλκεσιν θάνατος χειμαιρῶν ὀφθαλμοῖς. ἀνὴρ ἀκμάζων καθ' ἡλικίαν, σφεγγῶν τῷ σώματι, στρατιωτικοῖς παιγνίοις ἐμπρέπων, φαρέτρᾳ εἰκαδὶ κομιζόμενος, μὴ δυνάμενος ὀρθοῦσθαι, μηδὲ τοῖς ἰδίοις ποσὶν ἐπιστῆναι. ἀνὴρ φοβερὸς εἶναι ὀφείλων τοῖς πολεμίοις, γέλωτος ὄφλημα τοῖς κατ' ἀγορὰν παίδοις, ὠδὴ σκώμμα καταβάλλεται, ὠδὴ πολεμίων πεφόνδυται. ὠνὴρ ὁπλίτης, αὐτὸ τῆς ἡλικίας ἄγων τὸ ἄνθος, οἶνε γέγονε πλημμέλημα, ἕτοιμος παθεῖν τοῖς ἐχθροῖς ὅσα βούλονται. μέθη, λογισμῶν ὄλεθρος, ἰσχύος διαφθορά, γήρως ἄωρον, ὀλιγοχρόνιος θανάτου. Τί γὰρ ἄλλο εἰσὶν οἱ μεθύοντες, ἢ τὰ εἴδωλα τῶν ἐθνῶν; ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπουσιν. ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσι. χεῖρες πλημμέλουσι, οἱ πόδες ἀπενεκρώθησαν. τίς ὁ παῦτα διαβουλεύσας; τίς ὁ τῶν κακῶν τούτων αἴτιος; τίς ὁ τῆς μανίας ἡμῖν φάρμακον ἐγχειράσας; ἄνθρωπε, πλημμέλειν ἐποίησας τὸ συμπόσιον. ἐκβάλλεις τὰς νεανίσκας χειραγωγημένους, ὡς ξαυμαχίας ὑπὸ πολέμου. ἐνέκρωσας τῷ ἀκμῇ τῆς νεότητος ὑπὸ οἴνου. καὶ καλεῖς μὲν ὡς φίλον ὑπὸ τὸ δεῖπνον,

ἐκ-

ἐμβάλλεις δὲ νεκρὸν, οἶνῳ τὸν ζωντανὸν αὐτῷ καταβάπτοντας. ὅταν δὲ νομισθῶσι ἀρκούντως εἶναι τὸ οἶνον, τότε τοῦ πίνειν ἄρχονται, καὶ πίνουσι τὸν τῶν κτηνῶν τρόπον, ὡς ἀπὸ κρηνῶν αὐτοχύδην, ἰσαρίθμως τοῖς ἀναπιμπλῶσι τὰς κρήνας ἀφιεῖσης. προϊόντος δὲ ἤδη τοῦ πότου, ἐπεισέρχεταί τις αὐτοῖς νεφέλη, γενναῖος τὰς ὠμίους, ὥστε μεθύειν, φιάλην φέρων ἑκάστῃ χεῖρα κατεφυγμένην. ὃς τὸν οἰνοχόον αὐτῷ παραπαίοντος, κατασὰς εἰς τὸ μέσον, καὶ σκολιῶν σκολιῶν, ἴσην τοῖς συμπόταις διανέμει τὴν μέθην. καινὸν τοῦτο τῆς ἀμπελίας τὸ μέγεθος, ὥστε καὶ ἰσομοιρίαν ἀλλήλοις σπουδαζόντως, μηδένα ὑπερβάλλειν ἐν τῷ πίνειν τὸν ἕτερον. διελόμενοι γὰρ τὰς ὑδρορρόας, καὶ τὸν παρὰ ἑαυτὸν ἕκαστος τεθραμμένον ὑποδεξάμενοι, ὥσπερ λοπάδινος δεξαμενῆς ἅπασι πίνουσιν ὡς οἱ βόες, τοσοῦτον ὠφέλειαν ἐπεσπάσαντο τοῖς λαιμοῖς, ὅσον αὐτοῖς σπόνδυλον ὁ ὑμνῳδὸς διὰ τοῦ ἀργυρέου ὀχετοῦ ἐπαρύσιον. καταπίνουσι παρὰ τὴν ἀθλίαν γαστέρα. καταμάθε τοῦ ἐπιδεχομένου ἀγγείου τὸ μέγεθος. ὅτι μιᾶς κοτύλης ἔχει κοιλότητα. μὴ παρὰ τὴν οἰνοχόον ἀφορᾷ, πόσε κυφώσεις, ἀλλ' εἰς τὴν σαυτοῦ κοιλίαν, ὅτι πάλαι πεπλήρωται. διὰ τοῦτο καὶ οἱ ἐμπαρόμενοι τὸ σαρκὶ, καὶ τὸ στέαρ διώκοντες, οἱ μυόπται τὸ ὀφὲ, καὶ δημιοῦργοι τὸ τῇ μέθῃ. ὡς μηδὲν καιρὸν ἑαυτοῖς παρέχειν εἰς τὸ τὰ ἔργα Κυρίου ἐμβλέπειν, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ κατανοεῖν. ὁ γὰρ οἶνος αὐτοὺς συγκαίουσι. διότι τὸ ἐκ τοῦ οἴνου θερμὸν, ἐγγινόμενον τῇ σαρκὶ, ἕξαμμα γίνεται τοῦ πεπυρωμένου βελοῦς τοῦ ἐχθροῦ. τὸν μὲν γὰρ λογισμὸν καὶ τὸν νοῦν ὁ οἶνος καταβαπτίζει. τὰ δὲ πάθη καὶ τὰς ἡδονὰς, ὥσπερτι σμιλίου μιλιαρῶν ἐπεγείρει. ποῖον γὰρ ἅρμα πώλων, ἵππος ἀτάκτως φέρεται λυτοβολοῦν τὸν ἡνίοχον; ποῖον δὲ πλοῖον ἀκυβέρνητον, ὑπὸ τῶν κυμά-

νόν, ὡς ἀν τύχῃ, φερόμενον, οὐκ ἀσφαλέστερόν ἐστι τῆ μεθύσης;

Ἀπὸ τοιούτων κακῶν, ἄνδρες ὁμοῦ καὶ γυναῖκες κοινὰς συνεστάμενοι χορὰς, δαίμονι οἰνηρῷ τὰς ψυχὰς ἀφιδρύνετε, ἀλλήλοις ταῖς ἀκίσι τῆς παθῶν ὑπεστέγασκον. γέλωτες παρ' ἀμφοτέρων, ᾄσματα αἰσχρὰ, χύματα πορνικὰ, ἐραθίζοντα πρὸς ἀσέλγειαν. γελᾷς, εὐπάτριδος, καὶ πέρην πέρυσιν ἀπόλαστον; δακρύειν δέον καὶ σώφρονα δεῖν τοῖς φθάσασιν. ᾄσματα πόρνης φθέγγῃ, ἐκβαλὼν τὰς ψαλμῳδὰς καὶ τὰς ὕμνους, ὃς ἐδιδάχθης; κινεῖς πόδας καὶ ἐξάλλῃ ἐμμανῶς, καὶ χορδύεις ἀχόρδυτα, δέον τὰ γόνατα κάμπτειν εἰς τὸν προσκυνοῦντα; τίνας ἐδύρομαι; τὰς κόρας τὰς ἀπειρογάμους, ἢ τὰς ἐν τῷ ζυγῷ τὸ γάμου καταχομένας; αἱ μὲν γὰρ ἐπαινῶ τὸν παρθενίαν καὶ ἔχουσαι. αἱ δὲ τὸν σωφροσύνην τῆς ἀνδρὸς οὐκ ἐπανήγαγον. εἰ γόρπα τινὲς καὶ τῷ σώματι τὸν ἁμαρτίαν διέφυγον, ἀλλά πώπως γε τῆς ψυχῆς τὸν φθορὰν ὑπεδέξαντο. παῦσαί μοι καὶ περὶ τῆς αἱρέσεων εἰρήθω. εἶδε κακῶς; ἐθεάθη κακῶς. ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν. εἰ δὲ δακτυλιάτην συντυχίαν τοῖς θεμέρνως κατασκοπεῖσι ποσὸν ἔχουσι κίνδυνον, εἰ καὶ ἐπιπόδυσιν ἀπωτέρεις, ὥστε ἰδεῖν γυναῖκας ἀχημοτέσας ὑπὸ τῆς μέθης, καὶ παραχηματιζομένας πρὸς ἔκλυσιν, καὶ μέλη τεθρυμμένα ἀδάσας, δυνάμενα καὶ μόνον ἀκροθιάτην πάντα οἶστρον ἡδονῆς ἐμποιῆσαι τοῖς ἀκολάστοις, τί ἐρεῖσιν, ἢ τί ἀπολογήσονται, ἐκ τοιούτων θεαμάτων μυρίον ἐσμὸν τῶν κακῶν συνελξάμενοι; οὐχ ὡς δεῖ τὸ ἐμβλέψαντες, ἵνα τὰς ἐπιθυμίας ἐγείρωσιν; ἀκοὴ ὑπόδικοι εἰσι, καὶ τὸν ἀπαραίτητον ἀπόφασιν τὸ Κυρίου, τῷ ῥεύματι τῆς μοιχείας. πῶς ὑμᾶς ἡ πνευματικὴ ὑποδέξεται, ἔτω τὸ πάχα καθυβριθέντος;

ἢ πεν-

ἡ πεντηκοστὴ, τοῦ Πνεύματος ἔσχε τοῦ ἁγίου τὴν ἐναργῆ καὶ πᾶσι γνωρίμην ἐπιδημίαν. σὺ δὲ προλαβὼν, σεαυτὸν οἰκητήριον τοῦ ἀντικειμένου ἐποίησας πνεύματος. καὶ ἐγένου ναὸς εἰδώλων, ἀντὶ τοῦ γενέσθαι ναὸς Θεοῦ διὰ τῆς ἐνοικήσεως τοῦ Πνεύματος τοῦ ἁγίου. ἐπεσπάσω τὴν ἀρὰν τοῦ προφήτου εἰπόντος ἐκ προσώπου τοῦ Θεοῦ. ὅτι στρέψω τὰς ἑορτὰς αὐτῶν εἰς πένθος. πῶς τῶν οἰκείων ἄρξετε, αὐτοὶ δουλεύοντες ἐπιθυμίαις ἀνοήτοις καὶ βλαβεραῖς ὡς ἀνδράποδα; πῶς τὰς παῖδας νουθετήσετε, ἀνουθέτητον ζωὴν καὶ ἀδιάτακτον ζῶντες; τί οὖν, ἐν τούτοις ὑμᾶς καταλείπω; ἀλλὰ φοβοῦμαι, μήπως ὁ μὲν ἀνυπότακτος, σταγότερος γείνηται, ὁ δὲ κατανενυγμένος, τῇ σοφιανοτέρᾳ λύπῃ καταποθῇ. Ἴαμα γάρ, φησι, καταπαύσει ἁμαρτίας μεγάλας. ἡ νηστεία, τὴν μέθην θεραπευσάτω. ψαλμὸς, τὴν αἰσχρὰν μελῳδίαν. δάκρυον γενέσθω τοῦ γέλωτος ἴαμα. ἀντὶ τῆς ὀρχήσεως, τὸ γόνυ κλινέσθω. ἀντὶ τοῦ κρότου τῶν χειρῶν, τὸ στῆθος τυπτέσθω. ἀντὶ τοῦ κόσμου τῆς ἐσθῆτος, ἡ ταπείνωσις. ἐπὶ πᾶσιν ἡ ἐλεημοσύνη ἐξαγοραζέτωσε ἀπὸ τῆς ἁμαρτίας. λύτρον γὰρ ἀνδρὸς, ὁ ἴδιος αὐτοῦ πλοῦτος. πολλοὺς ἐργάσεσον τῶν θλιβομένων εἰς τὴν κοινωνίαν τῆς προσευχῆς, εἰ ἄρα σοι ἀφεθήσεται ἡ ἐπίνοια τῆς κακίας. ὅτε ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν, ἡ δὲ παιδιὰ αὐτῶν εἰδωλολατρεία ἦν, τότε οἱ Λευῖται κατὰ τῶν ἀδελφῶν ἑαυτοὺς ἐξοπλίσαντες, εἰς Ἱερωσύνην τὰς χεῖρας ἑαυτῶν ἐτελείωσαν. καὶ ὑμῖν τοίνυν τοῖς φοβουμένοις τὸν κύριον, ὅσοι νῦν ἐπεσυγνάσατε ἐπὶ τῇ ἀσχημοσύνῃ τῶν καταγνωσθέντων, ἐκεῖνο διαστελλόμεθα. ἐὰν μὲν ἴδητε μετανοοῦντας ἐπὶ τῇ ἀτοπίᾳ τῶν πεπραγμένων, συμπαθήσατε ὡς οἰκείοις μέλεσι νενοσηκόσιν. ἐὰν δὲ ἀπαυθαδιαζομένους καὶ καταφρονοῦντας τῆς ὑμετέρας ἐπ' αὐτοῖς λύ-

στης, ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, ἵνα ἔτως οἱ μετὰ ἐνεργείας εἰς ὑπήγησιν ἔλθωσι τῆς οἰκείας κακίας, ὑμεῖς δὲ τοῦ ζήλου τοῦ Φινεὲς τὸν μισθὸν ὑποδέξησθε διὰ τῆς διακονείας τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΤΕΛΟΣ.

ΙΣΟΚΡΑΤΟΥΣ
ΠΡΟΣ
ΔΗΜΟΝΙΚΟΝ
ΠΑΡΑΙΝΕΣΙΣ.

Ἐν πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας. πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε. τὰς δὲ τῶν σπουδαίων φιλίας, οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. Ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους, καὶ παιδείας ἀντιποιουμένους, τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητὰς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. πρέπει γὰρ τοὺς Παῖδας ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. Ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ. καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. Ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν· οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν. ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως

τὰ τῶν τρόπων ἤθη ἀπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν, οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι. Διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἐδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι. Κάλλος μὲν γὰρ, ἢ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε. πλοῦτος δὲ, κακίας μᾶλλον, ἢ καλοκἀγαθίας ὑπηρέτης ἐστὶν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. ῥώμη δὲ, μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε. καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. Ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει· πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί. τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστῶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα. καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη. Ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστιν ἔκτε τῶν Ἡρακλέους ἄθλων καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλον, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων. οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ Πατρὸς προαιρέσεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ' ἐμοῦ λεγομένων· οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς, οὐδὲ ῥᾳθυμῶν διετέλεσε τὸν βίον. ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα· ἀλλ' ἀπήλαυε μὲν τῶν παρόντων ἀγαθῶν

ὡς

ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθανάτου. κ' δὲ ταπεινῶς διῴκει τὸν ἑαυτῦ βίον, ἀλλὰ φιλόκαλός τε ἦν, κ' μεγαλοπρεπὴς, κ' τοῖς φίλοις κοινός· κ' μᾶλλον ἐθαύμαζε τὶς αὐτὸν ἀπαδάζοντας, ἢ τὶς τῷ χρυσῷ προσκόπτοντας. ἡγεῖτο γὰρ εἶναι πρὸς ἐπιείκειαν πολλῷ κρείττω φύσιν τόμον, κ' ἔρωτον χρυσοῦ, κ' προαίρεσιν ἀνάγκης. ἐπιλίποι δ' ἂν ἡμᾶς ἅπας χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις κατακερδησόμεθα. ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτοῦ ἐν ἑτέροις καιροῖς διηλώσομεν. δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενέγκωμεν· πρὸς ὃ δεῖ ζῆν σε, ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκείνου ἔρωτον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς παιδείας ἀρίστης χρόμενον. Αἰσχρὸν γὰρ τὶς μὲν γεωργὸς ἀγωνιᾷζειν τὰ καλὰ τῶν ζώων, τὶς δὲ παῖδας μὴ μιμεῖσθαι τὰς σπουδὰς τῶν γονέων. ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν ἧττον προσκόπειν ὅτι τὰς ἀγωνιστὰς ἀσκεῖν, ὡς τοι σκοπεῖν, ὅταν ἐφάμιλλος χρήσῃ τοῖς τῆς Παιδὸς ἐπιδείγμασιν· ὅτι δὲ τῶν χρόμενον ἀδιάλειπτον χρὴ τὸν μὴ πολλῶν κ' καλῶν ἀκροσμάτων πεπληρωμένον· τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς ἀκινδύνοις λόγοις αὔξεσθαι πέφυκε. Διόπερ ἐγώ σοι πειράσομαι συμπόρευσις γενέσθαι, δι' ὧν ἂν μοι δοκοῦσι βέλτιστον πρὸς ἀρετὴν βαδίζειν, κ' πρὸς τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι. Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τὰς Θεὰς, μὴ μόνον θύων, ἀλλὰ κ' τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν ἔρωτων καλοκἀγαθίας τεκμήριον. τίμα τὸ δαιμόνιον ἀεὶ μᾶλλον, μάλιστα δὲ μὴ πόλεως· ἅπαν γὰρ δόξεις ἅμα τε τοῖς Θεοῖς θύειν, κ' τοῖς νόμοις ἐμμένειν. Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους αὖ εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτῷ παῖδας. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὸν ῥώμην, ἀλλὰ τὰ πρὸς τὸν εὐχρωΐαν συμφέροντα. τέτε δ' ἂν δυστυχεῖς, εἰ λύπαις τῷ

πόνων ἔτι πονεῖν δυνάμενος· Μήτε γέλωτα προπετῆ στέργε, μὴ τὸ λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. Ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. Εἴθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύνουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος. Μηδέ ποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις. τὸν μὲν Θεὸν φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου. Τὰς ἡδονὰς θήρευε, τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου, κάκιστον. Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ, τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων. καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ. Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης. Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ καὶ πολυμαθής. Ἃ μὲν ἐστίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας προσλάμβανε ταῖς ἐπιστήμαις. ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. Κατανάλισκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν. οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ, πολλῶν εἶναι χρημάτων κρείττω. τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει. σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους πηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας

ὑπο-

ὑπομένειν, ἐπὶ τῷ βελτίῳ καταστῆσαι τὴν ἑαυτοῦ διάνοιαν. Τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. Ἡ ἕως μὲν ἔχε πρὸς ἅπαντας, χρῷ δὲ τοῖς βελτίστοις. οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. Τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης· ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις· τῇ δὲ ὀργῇ ἂν παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σεαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας. ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν. Ὅρκον ἐπακτὸν προσδέχου, διὰ δύω προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων. ἕνεκα δὲ χρημάτων μηδένα Θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. Μηδένα φίλον ποιοῦ πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς προτέροις φίλοις. Ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν.

νειν. ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε· τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ. Περὶ τῶν ῥητῶν, ὡς ἀπορρήτων ἀνακοίνου· μὴ τυχὼν μὲν γὰρ, οὐδὲν βλαβήσῃ, τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. Δοκίμαζε τοὺς φίλους ἔκτε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. Οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς. Ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἀποδέχου τῶν ἑταίρων, μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθονται· καλῶς δὲ πράττουσι φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής· ἔστι γὰρ φιλοκάλου μὲν τὸ μεγαλοπρεπὲς, καλλωπιστοῦ δὲ τὸ περίεργον. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων. περιαπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴτις ἵππον κτίσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν· ἔστι δὲ χρήματα μὲν, τοῖς ἀπολαύειν ἐπισταμένοις· κτήματα δὲ, τοῖς χρῆσθαι δυναμένοις. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦτε ζημίαν μεγάλην ἐκτίσαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα. Στέργε μὲν τὰ παρόντα,

ζήτει

ζήτει δὲ τὰ βελτίω. Μηδενὶ συμφορὰν ὀνειδίσῃς. κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. Τοὺς ἀγαθοὺς εὖ ποίει. καλὸς γὰρ θησαυρὸς παρὰ ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. κακοὺς εὐποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κυνὰς σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν, οἵτε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν. Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Γίνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός. τῶν μὲν γὰρ τὸν ὑπεροπτικὸν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν· τῶν δὲ τὸν ὁμιλητικὸν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. Ὁμιλητικὸς δὲ ἔσῃ μὴ δύσερις ὤν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντας φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μήδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων, μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· (τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν.) μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος. ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες. μηδὲ φιλαίτιος ὤν, βαρὺ γάρ· μὴ δὲ φιλεπιτιμητὴς, παροξυντικὸν γάρ. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας. ἂν δὲ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι, τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν. ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διαμαρτάνοντα τῶν εὐθυνόντων, ἥτε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας. Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖ-

ζον

ζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν· αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας. πολλάκις γὰρ ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν· Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας· ἀρχὴ μὲν γὰρ φιλίας ἔπαινος, ἔχθρας δὲ ψόγος. Βουλευόμενος, παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν Θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν. Περὶ ὧν ἂν αἰσχύνῃ παρρησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀλλοτρίου πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις. Ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον πῶς ὑπὲρ τῶν αὐτοῦ διῴκησεν. ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, οὐδέ ποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας. καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀρρωστίας ἀναμνησθῶμεν. Μιμοῦ τὰ τῶν Βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα. δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν· ὥς τε συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. Πείθου μὲν καὶ τοῖς νόμοις ὑπὸ τῶν Βασιλέων κειμένοις. ἰσχυρότατον μέν τοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν Μοναρχίᾳ κατοικοῦντα, τὸν Βασιλέα προσήκει θαυμάζειν. Εἰς ἀρχὴν καταστάθεις, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις. ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτοι, σοὶ τῆς αἰτίας ἀναθήσουσιν. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλου-

σιώ-

σιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος. Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷά περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσον ἔχειν· ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνους ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει· κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσιγε σπουδαίαις ὑπερέχουσι. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει. μέγιστον γὰρ ἐν ἐλαχίστῳ, νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος· ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾷν ἐπίστῃ τὰ συμφέροντα. Πᾶν ὅ, τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος. Δύω ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν· ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾷν, ἢ λέγειν. Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν· γίνου δὲ τοῖς ἄλλοις, ἐν μηδετέροις ὢν κατάδηλος. ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διανοίαν φανερὰν ἔχοντα περιπατεῖν. Μᾶλλον εὐλαβοῦ ψόγον, ἢ κίνδυνον· δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευ-

τὴν

τὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν. Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν. ἐὰν δὲ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης· τὸ μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινε, τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε. Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν· οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις. ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρου ζητῆς, ἀλλ' ἐντεῦθεν ὥσπερ ἐκ ταμιείου προφέρῃς, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν, ὧν ἂν ἔχω σοι συμβουλεύειν. Πολλὴν δ' ἂν τῷ Θεῷ χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἣν ἔχων περὶ σοῦ τυγχάνω. τῶν μὲν γὰρ ἄλλων τὰς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ. τὸν γὰρ αὐτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι. Μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τούτων, μάλιστα γνησίως ἔχομεν· ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν καὶ τοὺς πλησμονὰς ἀγαπᾷν, εὐθὺς αἱ λύπαι ταῖς ἡδοναῖς παραπεπήγασι. τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι· κἀκεῖ μὲν πρῶτον ἡσθέντες, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. ἐν ἅπασι δὲ τοῖς ἔργοις

οὐχ

οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν· τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν. Ἐνθυμοῦ δὲ, διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν. εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν, τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας, εἰκότως· ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἦπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσομεν; δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας. ἡ μὲν γὰρ αὐτοῖς χρήματα, καὶ δόξαν, καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. Εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν Θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν. οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκἀγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴτι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. μόλις γὰρ ἄντις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

ΤΟΥ

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ

Περὶ Βασιλείας.

Οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, ὑμῖν τοῖς βασιλεῦσιν ἐσθῆτας ἄγειν, ἢ χαλκὸν, ἢ χρυσὸν εἰργασμένον, ἢ ἄλλο τι τῶν τοιούτων χρημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσιν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς, οὐ δόσιν, ἀλλ' ἐμπορίαν ποιούμενοι· καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν ὁμολογούντων καπηλεύειν. Ἐγὼ δ' ἡγησαίμην ἂν ταύτην καλλίστην γενέσθαι δωρεὰν, καὶ χρησιμωτάτην, καὶ μάλιστα πρέπουσαν, ἐμοί τε δοῦναι, καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι, ποίων ἐπιτηδευμάτων ὀρεγόμενος, καὶ τίνων ἔργων ἀπεχόμενος, ἄριστ' ἂν καὶ τὴν Πόλιν καὶ τὴν Βασιλείαν διοικοίης. Τοὺς μὲν γὰρ ἰδιώτας ἔστι πολλὰ τὰ παιδεύοντα, καὶ μάλιστα μὲν τὸ μὴ τρυφᾶν, ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν· ἔπειθ' οἱ νόμοι, καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν· ἔτι δ' ἡ παῤῥησία, καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι, καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις. πρὸς δὲ τούτοις, τινὲς καὶ τῶν Ποιητῶν τῶν προγεγενημένων ὑποθήκας, ὡς χρὴ ζῆν, καταλελοίπασιν, ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίνεσθαι. Τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον· ἀλλ' οὓς μᾶλλον ἔδει τῶν ἄλλων παιδεύεσθαι, ἐπειδὰν εἰς τὴν ἀρχὴν καταστάθωσιν, ἀνουθέτητοι διατελοῦσιν· οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν, οἱ δὲ συνόντες, πρὸς χάριν ὁμιλοῦσιν. Τοιγάρτοι Κύριοι γενόμενοι καὶ χρημάτων πλείστων, καὶ πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς ἀφορμαῖς, πεποιήκασιν, ὥς τε πολλοὺς ἀμφισβη-

τεῖν,

τεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον, τὸν τῶν ἰδιωτευόντων μὲν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων. ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς τιμὰς, καὶ τοὺς πλούτους, καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντας νομίζουσι τοὺς ἐν ταῖς Μοναρχίαις ὄντας. ἐπειδὰν δὲ ἐνθυμηθῶσι τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ διεξιόντες εὕρωσι, τοὺς μὲν ὑφ' ὧν ἥκιστα ἐχρῆν διεφθαρμένους, τοὺς δὲ εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους, τοῖς δὲ ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν μᾶλλον, ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν. Ταύτης δὲ τῆς ἀνωμαλίας καὶ τῆς ταραχῆς αἴτιόν ἐστιν, ὅτι τὴν Βασιλείαν, ὥσπερ ἱερωσύνην παντὸς ἀνδρὸς εἶναι νομίζουσιν, ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι, καὶ πλείονος προνοίας δεόμενον. Καθ' ἑκάστην μὲν οὖν πρᾶξιν, ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ συμφορὰς διαφεύγειν, τῶν ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν. καθόλου δὲ τῶν ἐπιτηδευμάτων, ὧν χρὴ στοχάζεσθαι, καὶ περὶ ἃ δεῖ διατρίβειν, ἐγὼ πειράσομαι διελθεῖν. Εἰ μὲν οὖν ἔσται τὸ δῶρον ἐξεργασθὲν ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν· πολλὰ γὰρ καὶ τῶν ἐμμέτρων ποιημάτων, καὶ τῶν καταλογάδην συγγραμμάτων, ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα τῶν συντιθέντων, μεγάλας τὰς προσδοκίας παρέσχεν· ἐπιτελεσθέντα δὲ, καὶ τοῖς ἄλλοις ὑποδειχθέντα, πολὺ καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν. Οὐ μὴν ἀλλὰ καὶ τόγε ἐγχείρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ παραλελειμμένα, καὶ νομοθετεῖν ταῖς Μοναρχίαις. οἱ μὲν γὰρ τοὺς ἰδιώτας παιδεύοντες, ἐκείνους μόνους ὠφελοῦσιν· οἱ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς τὰς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ' αὐταῖς ὄντας· τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πρᾳοτέρας ποιήσειε. Πρῶτον μὲν οὖν σκε-

πτέον, τί τῶν Βασιλευόντων ἔργον ἐστίν· ἐὰν γὰρ τὸ κεφάλαιον, καὶ τὴν δύναμιν ὅλου τοῦ πράγματος καλῶς παραλάβωμεν, ἐνταῦθα ἀποβλέποντες, ἄμεινον καὶ περὶ τῶν ἄλλων μερῶν ἐροῦμεν· Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι, προσήκειν αὐτοῖς, πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι. τὰ γὰρ ἄλλα τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, τούτων ἕνεκα πρακτέον ἐστί. Καὶ μὴν ἐκεῖνό γε φανερὸν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους, καὶ περὶ τούτων βουλευσομένους, μὴ ῥᾳθυμεῖν, ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσονται τῶν ἄλλων. δέδεικται γὰρ ὅτι τοιαύτας ἕξουσι τὰς Βασιλείας, οἵας περ ἂν τὰς αὑτῶν γνώμας παρασκευάσωσιν. ὥστε οὐδενὶ τῶν ἀθλητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς Βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν. ἅπασαι γὰρ αἱ πανηγύρεις, οὐθὲν μέρος τιθέασι τούτων τῶν ἄθλων, ὑπὲρ ὧν ὑμεῖς καθ' ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν· ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς, καὶ φρονιμωτέρους γίνεσθαι, μηδεμίαν ἔχειν δύναμιν. μηδὲ κατειγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς δ' αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν. ἀλλ' ὡς καὶ τῆς παιδεύσεως, καὶ τῆς ἐπιμελείας δυναμένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην· καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν ἄλλων, οὓς ἂν δύνῃ, μεταπέμπου. καὶ μήτε τῶν Ποιητῶν τῶν εὐδοκιμούντων, μήτε τῶν σοφιστῶν μηδενὸς οἵου δεῖν ἀπείρως ἔχειν· ἀλλὰ τῶν μὲν ἀκροατὴς γίνου, τῶν δὲ μαθητής. καὶ παρασκεύαζε σαυτὸν, τῶν μὲν ἐλασσόνων κριτὴν, τῶν δὲ μειζόνων ἀνταγω-

νι-

νιστήν· διὰ γὰρ τούτων τῶν γυμνασίων τάχιστ' ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς βασιλεύσοντα, καὶ τὴν πόλιν, ὡς χρὴ, διοικήσοντα. Μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο, τοὺς χείρους τῶν βελτιόνων ἄρχειν, καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν. ὅσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν σεαυτοῦ διάνοιαν ἀσκήσεις. Ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι ποιήσειν τῶν δεόντων. πρὸς δὲ τούτοις φιλάνθρωπον εἶναι δεῖ, καὶ φιλόπολιν· οὔτε γὰρ ἵππων, οὔτε κυνῶν, οὔτε ἀνδρῶν, οὔτε ἄλλου πράγματος οὐδενὸς οἷόν τε καλῶς ἄρχειν, ἢν μήτις χαίρῃ τούτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. Μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γινώσκων, ὅτι καὶ τῶν ὀλιγαρχιῶν, καὶ τῶν ἄλλων πολιτειῶν, αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύσωσι. Καλῶς δὲ δημαγωγήσεις ἐὰν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον περιορᾷς· ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικηθήσονται. ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστί. Τῶν προσταγμάτων, καὶ τῶν ἐπιτηδευμάτων κίνει, καὶ μετατίθει τὰ μὴ καλῶς καθιστῶτα· καὶ μάλιστα μὲν εὑρετὴς γίνου τῶν βελτίστων· εἰ δὲ μὴ, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις καλῶς ἔχοντα. Ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους, καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους· πρὸς δὲ τούτοις, οἵτινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις, ὡς οἷόν τε ταχίστας τοῖς πολίταις ποιήσουσι. ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις. Τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς δὲ πραγματείας ἐπιζημίους· ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθύμως ἔχωσι. Τὰς κρίσεις ποιοῦ, περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν, μηδὲ ἐναντίας

ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ, καὶ περὶ τῶν αὐτῶν γίνωσκε· καὶ γὰρ πρέπει, καὶ συμφέρει τὴν τῶν Βασιλέων γνώμην ἀμετακινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσπερ τοὺς νόμους τοὺς καλῶς κειμένους. Διοίκει τὴν πόλιν ὁμοίως, ὥσπερ τὸν πατρῷον οἶκον· ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν, ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα καὶ διαρκῇς. Τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο ἐν μηδεμιᾷ τῶν πολυτελειῶν τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν τε τοῖς προειρημένοις, καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ ταῖς τῶν φίλων εὐεργεσίαις. τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τέ σοι παραμενεῖ, καὶ τοῖς ἐπιγινομένοις πλείονος ἄξια τῶν διδαπανημένων καταλείψεις. Τὰ περὶ τοὺς Θεοὺς ποίει μὲν, ὡς οἱ πρόγονοι κατέδειξαν· ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλλιστον, καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σεαυτὸν παρέχῃς. μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους, ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας, πράξειν τι παρὰ τῶν Θεῶν ἀγαθόν. Τίμα ταῖς μὲν ἀρχαῖς τῶν τιμῶν τοὺς οἰκειοτάτους, ταῖς δὲ ἀληθεστάταις τοὺς εὐνουστάτους. Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν. διὰ γὰρ τούτων καὶ κτᾶσθαι καὶ διασώζειν τὰς τυραννίδας, μάλιστ' ἄν τις δύναιτο. Κήδου τῶν οἴκων τῶν ἰδιωτῶν, καὶ νόμιζε τοὺς δαπανωμένους ἀπὸ τῶν σῶν ἀναλίσκειν, καὶ τοὺς ἐργαζομένους τὰ σὰ πλείω ποιεῖν· ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν, οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί. Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥς τε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους, ἢ τοὺς τῶν ἄλλων ὅρκους. Ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε, καὶ πρὸς τὰ συμβόλαια νόμιμον. περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων, μὴ τοὺς σοὶ δωρεὰς εἰσάγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας· τιμῶν γὰρ τοὺς τοιούτους, μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις. Τοὺς φόβους ἐξαιροῦ τῶν πολιτῶν,

καὶ μὴ βούλου περιδεὴς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν· ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σεαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις. Ποίει μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοὶ καιρὸς ᾖ. Δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων· πρᾷος δὲ, τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι. Πολεμικὸς γίνου ταῖς ἐπιστήμαις, καὶ ταῖς παρασκευαῖς· εἰρηνικὸς δὲ, τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν. Οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσειας. Φιλονείκει μὴ περὶ ἁπάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλῃ συνοίσειν. Φαύλους ἡγοῦ, μὴ τοὺς συμφερόντως ἡττωμένους, ἀλλὰ τοὺς μετὰ βλάβης περιγινομένους. Μεγαλόφρονας εἶναι νόμιζε, μὴ τοὺς μείζω περιβαλλομένους, ὧν οἷοί τε εἰσὶ καταχεῖν, ἀλλὰ τοὺς μετρίων μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους, οἷς ἂν ἐπιχειρῶσι. Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους, καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων ἄρχῃς, ἀλλ' ἐὰν τοιοῦτος ὢν, οἷον χρὴ, καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι, μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς. Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας. μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις. Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς, ὅτι πάντες οἱ μή σοι πλησιάζοντες, ὅμοιόν σε τοῖς χρωμένοις νομιοῦσι. Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γινομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἔξων, ὧν ἂν ἐκεῖνοι πράξωσι. Πιστοὺς ἡγοῦ, μὴ τοὺς πᾶν, ὅ,τι ἂν λέγῃς, ἢ ποιῇς, ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

ίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας. Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα τοὺς λέγοντας, ὁποῖοι καὶ τίνες εἰσιν, καὶ περὶ ὧν ἂν λέγωσι. Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, αἷς περ ἂν τοὺς ἐξαμαρτάνοντας. Ἄρχε σεαυτοῦ μηδὲν ἧττον, ἢ καὶ τῶν ἄλλων, καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον, ἢ τῶν πολιτῶν. Μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου, μηδὲ ἀλογίστως, ἀλλ' ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τε ἐπιδώσεις, καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι. Νόμιζε τιμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γινομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὑτοῖς ὄντες, μᾶλλόν σου τὴν γνώμην, ἢ τὴν τύχην θαυμάζωσι. Λαύθανε μὲν ἐὰν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν, ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ Βασιλέας ἀτάκτως, ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων, ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι. Σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους, καὶ σωφρονεστέρους γιγνομένους, διὰ τὴν σὴν ἐπιμέλειαν. Περὶ πλείονος ποιοῦ δόξαν καλὴν, ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητὸς, ἡ δὲ ἀθάνατος· καὶ δόξῃ μὲν χρήματα κτητὰ, δόξα δὲ χρημάτων οὐκ ὠνητή. καὶ τοὶ μὲν καὶ τοῖς φαύλοις παραγίγνεται, τὴν δὲ οὐχ οἷόν τε, ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι. Τρόφα μὲν ταῖς ἐσθῆσι, καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις,

σμοις, καρτέρει δὲ, ὡς χρὴ τοὺς Βασιλέας ἐν τοῖς ἄλλοις, ἐπιτηδεύμασιν· ἵνα οἱ μὲν ὁρῶντες διὰ τὴν ὄψιν ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόντες διὰ τὴν τῆς ψυχῆς ῥώμην, τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν. Ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ, καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς. Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν· ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ καὶ μὴ πλεονάζειν. αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ ταῖς ὑπερβολαῖς ἰσχύουσιν. Ἀστεῖος εἶναι πειρῶ, καὶ σεμνός· τὸ μὲν γὰρ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. χαλεπώτατον δὲ τοῦτο πάντων ἐστὶ πραγμάτων· εὑρήσεις γὰρ ὡς ἐπὶ πολὺ τοὺς μὲν σεμνυνομένους ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι, ταπεινοὺς φαινομένους. δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέραις προσοῦσαν διαφεύγειν. Ὅ, τι ἂν ἀκριβῶς εἰδέναι βούλει, ὧν ἐπίστασθαι προσήκει τοὺς Βασιλέας, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δὲ ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι, δυνάσθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. Θεώρει τὰ γιγνόμενα, καὶ τὰ συμπίπτοντα, καὶ τοῖς ἰδιώταις, καὶ τοῖς τυράννοις· ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ. Δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν ἐθέλειν τινὰς ἀποθνήσκειν, ἵνα τελευτήσαντες ἐπαινεθῶσι· τοὺς δὲ Βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσι. Βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος καταλιπεῖν· μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σεαυτῷ καὶ τῇ πόλει διαφυλάττειν, ἢν δὲ ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς. Ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς Βασιλείας· καὶ φρόντιζε, ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσῃς. Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅμα

πάσων δηλυθείσαν, ἀλλ' ἐπειδὴ θνητῶ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθανάτου μνήμην καταλιπεῖν. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα σωφρονεστέρως ὅμοια τοῖς εἰρημένοις φρονεῖν. ἃ δ' ἂν σοι λογίζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. δόξας ζήλου, μιμοῦ τὰς πράξεις. ἃ τοῖς παισὶ τοῖς σεαυτοῦ ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων. σοφὸς νόμιζε, μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας· μηδὲ τοὺς τοῖς μὲν ἄλλοις δυσμενείας ἐπιχειροῦντας, αὐτοὺς δὲ ἐν πολλαῖς ἀπορίαις ὄντας· ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὐτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαπαρατρεπομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως, καὶ τὰς συμφορὰς, καὶ τὰς δυστυχίας φέρειν ἐπισταμένους· καὶ μὴ θαύμαζε, εἰ πολλὰ τῶν εἰρημένων ἐστὶν, ἃ καὶ σὺ γιγνώσκεις· οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλ' ἠπιστάμην, ὅτι τοσούτων ὄντων τὸ πλῆθος, καὶ τῶν ἰδιωτῶν, καὶ τῶν ἀρχόντων, οἱ μέν τι τούτων εἰρήκασιν, οἱ δὲ ἀκηκόασιν, οἱ δὲ ἕτερος ποιοῦντας ἑωράκασιν, εἰκὸς δὲ αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες· ἀλλὰ γὰρ καὶ τοῖς λόγοις καὶ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καινότητας, ἐν οἷς ἔστε περιόδοις, ἔστε ἄπιστον, οὔτ' ἐξῶ τῶν νομιζομένων οὐδὲν ὅσιον εἰρεῖν· ἀλλ' ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ, καὶ φράσαι κάλλιστα περὶ αὐτῶν· ἐπεὶ καὶκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύσειν καὶ τῶν ποιημάτων, καὶ τῶν συγγραμμάτων, ἅπαντα μὲν ἂν οὐκ ἔφασαν νομίζειν· ἃ μέν γε ἂν ἡδίστ' αὐτοὶ ἀκούσειν· ἀλλὰ πάντα πεπόνθασιν, ὅπερ πρὸς τοὺς ῥαθυμοῦντας· καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες, πλησιάζειν δ' οὐ βούλονται, ἀλλὰ μᾶλλον αἱροῦνται σωθῆναι τοῖς ἁμαρτάνουσιν, ἢ

ἀλλ'

ἀλλ' οὐ τοῖς ἀποτρέπουσι. Σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου, καὶ Θεόγνιδος, καὶ Φωκυλλίδου ποίησιν. καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγενῆσθαι τῷ βίῳ τῷ τῶν ἀνθρώπων. ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον, ἢ ταῖς ἐκείνων ὑποθήκαις. ἔτι δ' εἴ τις ἐκλέξειε καὶ τῶν προεχόντων Ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστα ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν· ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης, ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν. Καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν; ὅλως γὰρ εἰ ἐθέλοιμεν σκοπεῖν τὰς φύσεις τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν, οὔτε τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις, οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις, οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις, οὔτε τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις· ἀλλὰ παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας καρτερικοὺς εἶναι καὶ φιλοπόνους τοὺς τῶν δεόντων τι μὴ ποιοῦντας. ὥστε πῶς ἄν τις τοιούτοις, ἢ παραινῶν, ἢ διδάσκων, ἢ χρήσιμόν τι λέγων ἀρέσειεν; οἳ πρὸς τοῖς εἰρημένοις, φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δὲ ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας. οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥστε οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασιν· ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι. βούλοιντο δ' ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον, ἢ τῇ ψυχῇ πονῆσαι, καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων. εὕροι δ' ἄν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις λοιδοροῦντας, ἢ λοιδορουμένους· ἐν δὲ ταῖς ἐρημίαις οὐ βουλευομένους, ἀλλ' εὐχομένους. Λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων. ἐκεῖνο δ' οὖν φανερὸν, ὅτι δεῖ τοὺς βουλομένους, ἢ ποιεῖν, ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς, μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους. ἀκούον-

τες

τες μὲν τῶν τοιούτων χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας ἄχθονται. διὸ καὶ τὴν Ὁμήρου ποίησιν, καὶ τοὺς πρώτως εὑρόντας τραγῳδίαν ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἀμφοτέραις ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. ὁ μὲν γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν· ὥστε μὴ μόνον ἀκουστοὺς ἡμῖν, ἀλλὰ καὶ θεατοὺς γεγενῆσθαι. τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, ἐκεῖνα δὲ γραπτέον καὶ λεκτέον, οἷς ὁρῶσι τοὺς ὄχλους χαίροντας. Ταῦτα δὲ διῆλθον, ἡγούμενός σε δεῖν οὐχ ἕνα τῶν πολλῶν, ἀλλὰ πολλῶν ὄντα τύραννον, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων, μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων ταῖς ἡδοναῖς ἀνακρίνειν, ἀλλ' ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν. ἄλλως τε ἐπειδὴ περὶ τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες· καί φασιν, οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας. ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον, ἐξ ἑκάστου τούτων γενέσθαι συμβουλεύεσθαι δυνάμενον. Χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων ἐπὶ τὸ ὁμολογούμενον ἐλθόντα λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν τοὺς συμβουλεύοντας· εἰ δὲ μὴ, τοὺς καθόλου τῶν πραγμάτων λέγοντας, καὶ τοὺς μηδὲν γινώσκοντας τῶν δεόντων ἀποδοκιμάζειν. δῆλον γὰρ ὡς ὁ μηδὲν ὢν αὐτῷ χρήσιμος, οὐδ' ἂν ἄλλον φρόνιμον ποιήσειεν. Τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾷν πλέον τι τῶν ἄλλων, περὶ πολλοῦ ποιοῦ, καὶ θεράπευε, γινώσκων, ὅτι σύμβουλος ἀγαθὸς, χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων κτημάτων ἐστίν. ἡγοῦ δὲ τούτους σοι μεγίστην ποιήσειν τὴν βασιλείαν,

λείαν, οἵτινες ὧν τῶν διώκειν τῶν σῶν πλεῖστα ὠφελῆσαι δυνηθῶσιν. Ἐγὼ μὲν ὃν ἅπαν γυμάσιον παρῆκα, καὶ τιμῶσι τόποις, οἷς τυγχάνω διωκόμενος. Βάλλε δὲ καὶ τὰς ἄλλας, ὅπερ εἶπον ἀρχόμενος, καὶ τὰς εἰθισμένας ἄγειν σοι δωρεάς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε τοῦ διδόντων, ἢ τοῦ πωλούντων. ἀλλὰ τοιαύτας, αἷς ἂν σφόδρα χαίρῃς, καὶ μηδεμίαν ἡμέραν ἀχαλίπῃς, ἀ παρῴχηκας, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας ὅσας αὐτὸς ποιήσῃς.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΕΥΑΓΟΡΑΝ

Ἐγκώμιον.

ΟΡᾷς, ὦ Νικόκλεις, τιμῶντάς σε τὸν πάππον οὐ μόνον τοῦ πλήθους καὶ τοῦ καλλει τοῦ ὑπαρχόντων, ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ, καὶ γυμνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ ἡνιόχων ἀμίλλαις, καὶ λείπουσα ἀδεμίαν τοῦ τοιούτων ὑπερβολήν, ἡγησάμενον Εὐαγόραν, εἴ τις ἔχει αἴσθησις τοῖς τετελευτηκόσι περὶ τοῦ ἐνθάδε γιγνομένων, ἡδέως μὲν ἀπολέχεσθαι καὶ τούτου, καὶ χαίρειν ὁρῶντα τιμώμενον τε περὶ αὐτοῦ ὑπὸ μέλεσιν, καὶ τοῦ σοῦ μεγαλοπρέπειαν· πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν, ἢ τοῖς ἄλλοις ἅπασιν, εἴτις δυνατὸν περὶ τῶν ὑπαδυομένων αὐτῷ, καὶ τῶν κινδύνων ἀξίως διελθεῖν τῶν ἐκείνῳ παραγενομένων. Εὑρήσομεν γὰρ τὸν φιλοτίμως, καὶ μεγαλοψύχως τῶν ἀνδρῶν, ὃ μόνον πλέον τῶν τοιούτων ἐπαινεῖσθαι βουλόμενος, ἀλλ' αὐτὶ τοῦ ζῆν, ἀποθνήσκειν διὰ λεῶς αἱρούμενος, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου κινδυνεύοντας, καὶ πάντα ποιοῦντας ὅπως ἀθανάτου τοῦ περὶ αὐτῶν μνήμου καταλείψουσιν. Αἱ μὲν ὃν διαφοραὶ τῶν μεν τοιούτων ἰδέαι ἐξεργάζονται, τὸ δὲ πλοῦτος σημεῖόν ἐστιν· οἱ δὲ περὶ τοῦ μουσικοῦ, καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μεν

τὰς ;

τὰς δυνάμεις αὐτῶν, οἱ δὲ τὰς τέχνας ὑπεδειξάμην, σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν. ὁ δὲ λόγος, εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀείμνηστον ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν. Ἐγὼ μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' ἑαυτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵνα οἵτε δυνάμενοι τὰ τῶν παλαιῶν ἔργα κοσμεῖν, ἐν εἰδόσι ποιῶνται τοὺς λόγους, ταῖς ἀληθείαις ἐπιῶντο περὶ αὐτῶν. οἵτε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετὴν, εἰδότες ὅτι τῶν οὐ λογισθήσονται μᾶλλον, ὧν ἂν ἐκείνους σφᾶς αὐτοὺς παράσχωσι. Νυνὶ δέ τις ἂν αὖ ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ, τοὺς τ' ἐκείνα γεγενημένους, ὑμνουμένους, καὶ θαυμαζομένους, ἑαυτὸν δὲ φοβούμενον, μὴ δι' ἂν ὑπερβάλληται τοὺς ἐκείνων ἀρετὰς, μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον; Τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ πέφυκεν ἡδὺ μόνον καρπὸν ἀγαθὸν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. ὅπου γάρ τινες δυσκόλως πεφύκασιν, ὥσθ' ἥδιον διαλυμαινόμενον ἀκούειν ἢ ὡς ἔστιν; εἰ γεγόνασιν, ἤ τι τούτων, ὑφ' ὧν εὖ πεπονθότες αὐτοὶ τυγχάνουσιν, ἀποδίχεσθαι. Οὐ μὴν δυσλυτέον τούς γε νῦν ἔχοντας τοῖς ὅπου κακῶς φρονοῦσιν. ἀλλὰ τῶν μὲν τοιούτων ἀμελητέον, τοὺς δὲ ἄλλους ἐθιστέον ἀκούειν περὶ ὧν καὶ λέγειν διαφερόντως ἐστίν. ἄλλως τ' ἐπειδὴ καὶ τὰς ὑποδόσεις ὁρῶμεν γιγνομένας καὶ τῶν τεχνῶν, καὶ τῶν ἄλλων ἁπάντων, οὐ δεῖ τοὺς ἐπιμελουμένους τοῖς παθήμασιν, ἀλλ' οὐδὲ τοὺς ἐπανορθοῦντας, καὶ πολεμοῦντας ἀεί τι πονηρὸν τῶν μὴ καλῶς ἐχόντων. Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν, ἀνθρώπους ἀρετὴν καὶ λόγων ἐγκωμιάζειν. σημεῖον δὲ μέγιστον· πρὸς μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν πολλοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες· περὶ δὲ τούτων οὐδείς πώποτε αὐτῶν συγγράφειν ἐπεχείρησε. καὶ πολλοῦ αὐτοῖς ἔχω συγγνώμην. τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι· καὶ γὰρ πλησιάζοντες τοῖς ἀνθρώποις τοῖς θεοῖς οἷόν τ' αὐτοῖς

ἐστι ποιῆσαι, καὶ διαλεγομένους, καὶ συναγωνιζομένους οἷς ἂν βουληθῶσι. καὶ περὶ τούτων δηλῶσαι μὴ μόνον τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς· καὶ μηδὲν παραλιπεῖν, ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικίλαι τὴν ποίησιν. Τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων· ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς, καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς τοράξεις ἀναγκαῖόν ἐστι χρῆσθαι. Πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν, οἱ δ' οὐδενὸς τούτων κοινωνοῦσιν. ἃ τοσαύτην ἔχει χάριν, ὥστ' ἂν καὶ τῇ λέξει, καὶ τοῖς ἐνθυμήμασιν ἔχει κακῶς, ὅμως ταῖς γε εὐρυθμίαις, καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας. Καταμάθοι δ' ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν. ἢν γάρ τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα τῆς δόξης, ἧς νῦν ἔχομεν περὶ αὐτῶν. Ὅμως δὲ καί περ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον, ἀλλ' ἀποπειρατέον ἐστὶ τῶν λόγων, εἰ καὶ οὗτοι δυνήσονται τοὺς ἀγαθοὺς ἄνδρας εὖ λέγειν μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων. Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τῆς Εὐαγόρου, καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται, δοκεῖ μοι πρέπειν καὶ ἐμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν περὶ αὐτῶν· ἵνα πάντες εἰδῶσιν ὅτι καλλίστων αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων, οὐδὲν καταδεέστερον ἑαυτὸν ἐκείνων παρέσχεν. Ὁμολογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι. τούτων δ' αὐτῶν οὐκ ἔστιν ὅς τις οὐκ ἂν Αἰακίδας προκρίνειεν. ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ καταδεεστέρους ὄντας. οὗτοι δὲ ἅπαντες, ὀνομαστότατοι τῶν καθ' ἑαυτοὺς γεγόνασι. Τούτων μὲν γὰρ Αἰακὸς ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τοῦ Τευκριδῶν πρόγονος τοσοῦτον διήνεγκεν, ὥστε γενομένων αὐχμῶν ἐν τοῖς

Ἕλ-

Ἕλλησι, καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτὸν, νομίζοντες διὰ τῆς εὐγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν Θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. σωθέντες δὲ καὶ τυχόντες ἁπάντων ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων, ὅπερ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν. Καὶ κατ' ἐκεῖνον μὲν τὸν χρόνον, ἕως ἦν μετ' ἀνθρώπων μετὰ καλλίστης δόξης ὢν διετέλεσεν. ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι καὶ Κόρῃ, τιμὰς μεγίστας ἔχων, παρεδρεύειν ἐκείνοις. Τούτου δὲ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεὺς, ὧν ὁ μὲν ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα στρατευσάμενος, τῶν ἀριστείων ἔτυχε. Πηλεὺς δ' ἐν τῇ μάχῃ τῇ πρὸς Κενταύρους ἀριστεύσας, καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας, Θέτιδι τῇ Νηρέως, θνητὸς ὢν, ἀθανάτῳ συνῴκησε· καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων ὑπὸ Θεῶν ἐν τοῖς γάμοις Ὑμέναιον ἀσθῆναι. Τούτοιν δ' ἑκατέροιν Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγενήθη, Πηλέως δ' Ἀχιλλεύς· οἳ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς. οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσιν ἐστράτευσαν μόνον, οὐδὲ ἐν τοῖς τόποις ἐν οἷς κατῴκουν. ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς βαρβάρους γινομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν ἀθροισθέντων, οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, Αἴας δὲ μετ' ἐκεῖνον ἠρίστευσε. Τεῦκρος δὲ τῆς τε τούτων συγγενείας ἄξιος, καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ Τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον, Σαλαμῖνά τε κατῴκισεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπε. Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προγόνων ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστι. τοῦτον δὲ

τὸν

τὸν τρόπον τῆς πόλεως οἰκισθείσης, καὶ μὲν ἀρχὰς οἱ γεγονότες ἀπὸ Τεύκρου, τὴν βασιλείαν εἶχον· χρόνῳ δὲ ὕστερον ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ φυγὰς, καὶ πιστευθεὶς ὑπὸ τοῦ βασιλεύοντος τότε, καὶ δυναστείας μεγάλας λαβὼν, οὐ χάριν ἔσχε τούτων. ἀλλὰ κακὸς μὲν γινόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν. ἀπιστῶν δὲ τοῖς πεπραγμένοις, καὶ βουλόμενος ἀσφαλῶς καταθέσθαι τὰ περὶ αὐτὸν, τήν τε πόλιν ἐξεβαρβάρωσε, καὶ τὴν νῆσον ὅλην Βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν. Οὕτω δὲ τῶν πραγμάτων καθεστώτων, Εὐαγόρας γίνεται, περὶ οὗ τὰς μὲν φήμας, καὶ τὰς μαντείας, καὶ τὰς ὄψεις, τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν μείζων ἂν φανείη γεγονὼς ἢ καὶ ἄνθρωπον, αἱροῦμαι καταλιπεῖν, οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ' ἵνα πᾶσι ποιήσω φανερὸν, ὅτι τοσούτου δέω πλασάμενος εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα, περὶ ὧν ὀλίγοι τινὲς ἐπίστανται, καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν. Ἄρξομαι δὲ ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ αὐτοῦ. Παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστί. καὶ τούτων ἄν τις μάρτυρας ποιήσαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν πολιτῶν, τοῦ δὲ κάλλους, ἅπαντας τοὺς ἰδόντας, τῆς δὲ ῥώμης τοὺς ἀγῶνας, ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. Ἀνδρὶ δὲ γενομένῳ ταῦτά τε πάντα συνηυξήθη, καὶ πρὸς τούτοις ἀνδρεία προσεγένετο, καὶ σοφία, καὶ δικαιοσύνη, καὶ ταῦτα οὐ μέσως, οὐδὲ ὥσπερ ἐν ἑτέροις τισὶν, ἀλλ' ἕκαστον αὐτῶν πρὸς ὑπερβολήν. τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος, καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διηνέγκεν, ὥσθ' ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ' εἶναι τὸν τοιοῦτον τὴν φύ-

σιν

σιν ἐν ἰδιώτου μέρει διαγαγεῖν. ὁπότε δ' εἰς τοὺς τρόπους ἀποβλέψαιεν, οὕτω σφόδρα πιστεύειν, ὥστε καὶ εἴτις ἄλλος τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθόν· Καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης, οὐδετέρου τούτων ἐψεύσθησαν· οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν, οὔτε περὶ ἐκείνους ἐξήμαρτεν. ἀλλὰ τοσαύτην ὁ Δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψηται τὴν βασιλείαν, ὥστ' ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι' ἀσεβείας, ταῦτα μὲν ἕτερος ἔπραξεν, ἐξ ὧν δ' οἷόν τ' ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν ἀρχὴν, Εὐαγόραν διεφύλαξεν. Εἷς γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας, τόν τε τύραννον ἀπέκτεινε, καὶ συλλαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχὴν, εἰ μὴ κἀκεῖνον ἐκ ποδῶν ποιήσειε. Διαφυγὼν δὲ τὸν κίνδυνον, καὶ σωθεὶς εἰς Σόλους τῆς Κιλικίας, οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσιν· οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας, ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δὲ εἰς τοσοῦτο μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὢν, ἐπειδὴ φυγεῖν ἠναγκάσθη, τυραννεῖν ᾠήθη δεῖν. καὶ τοὺς μὲν πλάνους τοὺς φυγαδικοὺς, καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον καὶ θεραπεύειν τοὺς αὐτοῦ χείρους, ὑπερεῖδε. Λαβὼν δὲ ταύτην τὴν ἀφορμὴν, καθ' ἣν περ χρὴ τοὺς εὐσεβεῖν βουλομένους ἀμύνεσθαι, καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος, ἢ κατορθώσας τυραννεῖν, ἢ διαμαρτὼν ἀποθανεῖν, παρακαλέσας ἀνθρώπους, ὡς οἱ πλεῖστοι λέγουσι, περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι τὴν κάθοδον. Ὅθεν καὶ μάλιστ' ἄν τις τὴν φύσιν τὴν ἐκείνου, καὶ τὴν δόξαν, ἣν εἶχε παρὰ τοῖς ἄλλοις, θεωρήσειε. μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν τὸ μέγεθος, καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων, οὔτ' ἐκεῖνος ἠθύμησεν, οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν. ἀλλ' οἱ

μὲν

μὲν ὥσπερ Θεῷ συνεπολαθήσαντες ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις· ὁ δὲ, ὥσπερ εἰ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων, ἢ προειδὼς τὸ συμβησόμενον, οὕτω διέκειτο τὴν γνώμην. Δῆλον δ' ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ εἰς τὴν νῆσον, οὐχ ἡγήσατο δεῖν χωρίον ὀχυρὸν καταλαβὼν, καὶ τὸ σῶμα ἐπ' ἀσφαλείᾳ καταστήσας, περιϊδεῖν, εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν. ἀλλ' εὐθὺς, ὥσπερ εἶχε, ταύτης τῆς νυκτὸς, διελὼν τοῦ τείχους πυλίδα, καὶ ταύτῃ τοὺς μεθ' ἑαυτοῦ διαγαγὼν, προσέβαλε πρὸς τὸ Βασίλειον. καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς συμβαίνοντας, καὶ τοὺς φόβους τῶν ἄλλων, καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου, τί δεῖ λέγοντα διατρίβειν; Γενομένων δ' αὐτῷ, τῶν μὲν περὶ τὴν τύραννον ἀνταγωνιστῶν, τῶν δ' ἄλλων πολιτῶν θεατῶν, (δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχὴν, τοῦ δὲ τὴν ἀρετὴν, ἡσυχίαν ἦγον) οὐ πρότερον ἐπαύσατο μαχόμενος, καὶ μόνος πρὸς πολλοὺς, καὶ μετ' ὀλίγων πρὸς ἅπαντας τοὺς ἐχθροὺς, πρὶν ἑλεῖν τὸ Βασίλειον. καὶ τοὺς ἐχθροὺς ἐτιμωρήσατο, καὶ τοῖς φίλοις ἐβοήθησεν. ἔτι δὲ τῷ γένει τὰς τιμὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως κατέστησεν. Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνησθείην, ἀλλ' ἐνταῦθα καταλίποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι τήν τε ἀρετὴν τὴν Εὐαγόρου, καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγμένων. Οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων οἶμαι δηλώσειν. τοσούτων γὰρ τυραννίων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων, οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου κτησάμενος. Εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρου παραβάλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως τοῖς ἀκούουσιν ἀρέσειεν, οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν· ἐὰν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους, ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον ἕξομεν, πολὺ δὲ σαυτομώτερον ἐπιλεχθησόμεθα περὶ αὐτῶν. Τῶν μὲν οὖν τὰς πατρικὰς Βα-

σιλείας παραλαβόντων, τίς οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προκρίνειεν; οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον, ἢ κτησάμενος ὁσίως ὥσπερ ἐκεῖνος, τοῖς παισὶ τοῖς ἑαυτοῦ καταλιπεῖν. Καὶ μὴν τῶν γε παλαιῶν καθόδων, αὗται μάλιστα εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν Ποιητῶν ἀκούομεν. οὗτοι γὰρ οὐ μόνον τῶν προγεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὐτῶν καινὰ συντιθέασιν· ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ φοβεροὺς ποησάμενος κινδύνους εἰς τὴν ἑαυτοῦ κατῆλθεν. ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς Βασιλείας. οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν. Ἀλλὰ μὴν τῶν γε ἔπειτα γεγενημένων ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον τῶν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχὴν, Πέρσαις δὲ κτησάμενον, οἱ πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν. ἀλλ' ὁ μὲν τῶν Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν, ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ῥᾳδίως ἂν ποιήσειαν· ὁ δὲ διὰ τῆς ψυχῆς τῆς ἑαυτοῦ, καὶ τοῦ σώματος, τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξάμενος. Ἔπειτα, ἐκ μὲν τῆς Κύρου στρατείας οὔπω δῆλον, ὅτι καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν· ἐκ δὲ τῶν τούτῳ πεπραγμένων, ἅπασι φανερὸν, ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησε. πρὸς δὲ τούτοις τῷ μὲν ὁσίως καὶ δικαίως πέπρακται ἅπαντα, τῷ δὲ οὐκ εὐσεβῶς ἔνια συμβέβηκεν. ὁ μὲν γὰρ τοὺς ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τῆς μητρὸς ἀπέκτεινεν. ὥστ' εἴ τινες βούλοιντο μὴ τὸ μέγεθος τῶν συμβάντων, ἀλλὰ τὴν ἀρετὴν ἑκατέρου κρίνειν, δικαίως ἂν Εὐαγόραν καὶ τούτου μᾶλλον ἐπαινέσειαν. Εἰ δὲ δεῖ σαυτόμως, καὶ μηδὲν ὑποστειλάμενον, μηδὲ δείσαντα τὸν φθόνον, ἀλλὰ παρρησίᾳ χρησάμενον εἰπεῖν, οὐδεὶς οὔτε θνητὸς, οὔτε ἡμίθεος, οὔτε ἀθάνατος εὑρεθήσεται κάλλιον, οὐδὲ λαμπρότερον, οὐδὲ εὐσεβέστερον λαβὼν ἐκείνου τὴν

Βα-

Βασιλέαν. Καὶ τότις ἐκείνως μάλις' ἄν τις πιςδύσειεν, αἰ μὴ σφόδρα τοῖς νεῶ λεγομένοις ἀπιςήσας, ἐξεπίζειν ἐπιχειρήσειεν, ὅπως ἕκασος ἐτυραίνηται. φανήσομαι γὰρ οὐκ ἐκ παντὸς τρόπυ μεγάλα λέγειν προθυμούμενος, ἀλλὰ δι' αὐτῶ τὸ πράγματος ἀλήθειαν, ὅπω τοῦτ' αὐτὸ θρασέως εἰρηκώς. Εἰ μὲν γὰρ ἦν ὅτι μικροῖς διαλέγομαι, τοιούτων ἂν ἦ τῶν λόγων αὐτὸν προσῆκεν ἐπ' αὐτοῖς ἄξιόν ἐστι. νεῶ δὲ πάντες ἂν ὁμολογήσειεν, τυραννίδα, ἦ τῶν θείων ἀγαθῶν ἦ τῶν ἀνθρωπίνων μέγιστον ἦ σεμνότατον ἦ τοῦ μακαριώτατον εἶναι. τὸν δὴ τὸ κάλλιστον τῶν ὄντων κάλλιστα κτησάμενον, τίς ἂν ἢ ῥήτωρ, ἢ ποιητὴς, ἢ λόγων ἀρετὴς ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν; Οὐ τοίνυν ἐν τότοις ὑπερβαλλόμενος, ἐν τοῖς ἄλλοις δι' ἐλάττονος καταδεέστερος γενοίμην. ἀλλὰ πρῶτον μὲν δικαίως ἂν τῶν γνώμων, ἦ πλείστα καταρθῶν δυναίμην, ὅμως οὐκ οἶδ' ὁπῶς δεῖν ὀλιγαρκεῖν, δ' αὐτοχειρίζειν τοῦτ' τῶν πραγμάτων, ἀλλ' ἐν τῷ ζητεῖν, ἦ φροντίζειν, ἦ βουλεύεσθαι, τὸν πλεῖστον χρόνον διέτριβεν· ἡγούμενος μὲν εἰ καλῶς τῶν ἑαυτῶ φρόνησιν παιδεύσειε, καλῶς αὐτῷ ἦ τῶν Βασιλέαν ἕξειν· θαυμάζων δ' ὅτοι τῆς μὲν ψυχῆς, οὕνεκα τῶν ἄλλων ποιοῦνται τῶν ἐπιμέλειαν, αὐτῆς δὲ μηδεὶ τυγχάνοι φροντίζοντες. Ἔπειτα ἦ τοῦτ' τῶν πραγμάτων τῶν αὐτῶν διάνοιαν εἶχεν. ὁρῶν γὰρ τὰς ἄλλα τῶν ὅπων ἐπιμελημένως ἐλάχιστα λυπουμένως, ἦ τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν οὐκ ἐν ταῖς ἀργίαις, ἀλλ' ἐν ταῖς δικαιοπραγίαις ἦ ταῖς καρτερίαις ἐνοῦσας, οὐδὲν ἀνεξέτασον παρέλιπεν, ἀλλ' ὅπως ἀκριβῶς ἦ τὰς πράξεις ᾔδει, ἦ τῶν πολιτῶν ἕκασον ἐγίνωσκεν, ὡς τε μήτε τὰς ἐπιβουλεύοντας αὐτῷ φθάνειν, μήτε τὰς ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ πάντας τυγχάνειν τῶν προσηκόντων· ἦ γὰρ ἐξ ὧν ἑτέρων ἤκουεν, ἤτε ἐκόλαζεν, ἤτε ἐπετίμα τοῖς πολίταις· ἀλλ' ἐξ ὧν αὐτὸς σκοπῶν, τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν. Ἐν ταῖς τοιαύταις δ' ἐπιμελείαις ἑαυτὸν καταστήσας,

οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων, οὐδὲ περὶ ἐν πεπλανημένως εἶχεν· ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διώκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους τῆς ὑπ' ἐκείνου Βασιλείας. Ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν, καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτάνοντας κολάζων, οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος. πολλὰ μὲν τῶν ὁμιλούντων ἑταίρων ἡττώμενος, ἅπαντα δὲ τῶν ἐχθρῶν περιγενόμενος. σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς, οὐδὲ πρὸς ἐν ἀτάκτως, οὐδ' ἀνωμάλως διακείμενος, ἀλλ' ὁμοίως τὰς ἐν τοῖς λόγοις ὁμολογίας, ὥσπερ τὰς ἐν τοῖς ὅρκοις διαφυλάττων. μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ' ἐπὶ τοῖς δι' αὐτὸν γιγνομένοις ἀγαθοῖς. τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ' αὑτῷ ποιούμενος, τοὺς δ' ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος. φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τὴν φύσιν τῶν ἄλλων ὑπερβάλλειν. ἡγούμενος τῶν ἡδονῶν, ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν. ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος, ἀλλ' οὐ διὰ μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος. ὅλως δ' οὐδὲν παραλιπὼν ὧν προσεῖναι τοῖς Βασιλεῦσι πρέπει, ἀλλ' ἐξ ἑκάστης πολιτείας ἐκλεγόμενος τὸ βέλτιστον. καὶ δημοτικὸς μὲν ὢν ἐν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως διοικήσει, στρατηγικὸς δὲ τῇ πρὸς κινδύνους εὐβουλίᾳ, τυραννικὸς δὲ τῷ πᾶσι τούτοις διαφέρειν. Καὶ ταῦτα ὅτι προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔργων ῥᾴδιον καταμαθεῖν· παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην, καὶ διὰ τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχομένην, οὔτε τέχνας ἐπισταμένην, οὔτ' ἐμπορίῳ χρωμένην, οὔτε λιμένας κεκτημένην, ταῦτά τε πάντα διώρθωσε, καὶ πρὸς τούτοις καὶ χώραν πολλὴν προσεκτήσατο, καὶ τείχη προσ-

περιε-

μεβάλετο, ἡ τελίρεις ἐναυπηγήσατο, καὶ ταῖς ἄλλαις παρασκευαῖς ὅπως ηὔξησε τὴν πόλιν, ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων πόλεων ἀπολελεῖφθαι, καὶ δυνάμιν τοσαύτην ἐνεποίησεν; ὥστε φοβεῖσθαι πολλὰς τῶν τυράννων καταφρονούντων αὐτῆς. Καίτοι πλικαύτας δυνάμεις τὰς πόλεις λαμβάνειν οὐχ οἷόν τ' ἦν, ὧν μήτις αὐτὰς διοικῇ τοιούτοις ἤθεσιν, οἷοις Εὐαγόρας μετὰ εἶχεν, ἐγὼ δὲ ὀλίγῳ πρότερον ἐπειράθην διελθεῖν. ὡς δ' ἐδόκουν μὴ φανῶ μείζω λέγων τῶν ἐκείνῳ προσόντων, ἀλλὰ μὴ πολὺ λείπω ἀπολείφθω τῶν πεπραγμένων αὐτῷ· τίς γὰρ ἂν ἐφίκοιτο τοιαύτης φύσεως, ὃς μόνον τὴν αὑτοῦ πόλιν πλείστου ἀξίαν ἐποίησεν, ἀλλὰ καὶ τὸν πε-ρίχοντα τόπον τὴν νῆσον ὅλην προάστιον καὶ μετεώπιον προῄ-γαγε; πρὶν μὲν γὰρ λαβεῖν Εὐαγόραν τὴν ἀρχὴν ὅπως ἀπρα-κτοίησε καὶ χαλεπῶς εἶχον, ὥστε καὶ τῶν Ἀρχόντων τὴν ἀπό-μιζαν εἶναι βελτίστην, οἵτινες ὑπὸ τοῦτον προὸς τοὺς Ἕλληνας διαπεμψοι τριηχθέντες· νυνὶ δὲ τοσοῦτον μετατεθείκασιν, ὥσθ' ἁμιλλᾶσθαι μὲν οἵτινες αὐτῶν δόξουσι φιλέλληνες μᾶλ-λον εἶναι· παιδεύεσθαι δὲ τοὺς πλείστους αὐτῶν, γυναῖκας λαμβάνοντας παρ' ἡμῶν· χαίρειν δὲ καὶ τοῖς κτήμασι, καὶ τοῖς ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον, ἢ τοῖς αὐθαδεστέ-ροις αὐτοῖς· πλείστης δὲ καὶ τῆς περὶ τὴν μουσικὴν καὶ τῆς περὶ τὴν ἄλλην παίδευσιν ἐν τούτοις τοῖς τόποις ἄσκησιν, ἢ παρ' οἷς πρότερον εἰωθότες ἦσαν· καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι ὁμολογήσειε, μέγιστον δὲ τεκμήριον καὶ τῷ τρόπῳ καὶ τῇ ὁσιότητι τῇ ἐμοί. τῶν γὰρ Ἑλλήνων πολ-λοὶ, καὶ καλοὶ, καὶ ἀγαθοὶ, τὰς ἐμαυτοῦ πατρίδας ἀπολι-πόντες, ἦλθον εἰς Κύπρον οἰκήσοντες, ἡγεμόνι καινοτέρῳ ἐπιόντες καὶ νομιμωτέρων τὴν Εὐαγόρᾳ Βασιλείαν τῶν οἴκοι πολι-τειῶν. ὧν τοὺς μὲν ἄλλους φθονοῦσι διελθεῖν πολὺ ἂν ἔργον εἴη· Κόνωνα δὲ, τὸν καὶ πλείστας ἀρετὰς πραξάντων τῶν Ἑλλήνων, τίς οὐκ οἶδεν ὅτι, δυσχωρίσας τῆς πόλεως,

ἐξ ἁπάντων ἐκλεξάμενος, ὡς Εὐαγόραν ἦλθε, νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν παρ' ἐκείνου καταφυγὴν, καὶ τῇ πόλει τάχιστ' ἂν αὐτὸν γενέσθαι βοηθόν. πολλὰ δὲ πρότερον ἤδη κατωρθωκὼς, οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον, ἢ περὶ τούτων βεβουλεῦσθαι. Συνέβη γὰρ αὐτῷ διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον, καὶ ποιῆσαι καὶ παθεῖν πλεῖστα ἀγαθά· πρῶτον μὲν γὰρ οὐκ ἔφθησαν ἀλλήλοις πλησιάσαντες, καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς, ἢ τοὺς πρότερον οἰκείους ὄντας. ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέλεσαν, καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην ἔσχον. Ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν καὶ μεγάλῃ μεταβολῇ κεχρημένην, λυπηρῶς καὶ βαρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες· τῷ μὲν γὰρ ἦν φύσει πατρὶς, τὸν δὲ διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο. Σκοπουμένοις δ' αὐτοῖς ὅπως τῶν συμφορῶν αὐτὴν ἀπαλλάξωσι, ταχὺ τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν. Ἄρχοντες γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστε καὶ τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν. λαβόντες δ' ἐκεῖνοι τοῦτον τὸν καιρὸν, καὶ τῶν στρατηγῶν τοῦ Βασιλέως ἀπορούντων ὅ, τι χρήσονται τοῖς παροῦσιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν, ἀλλὰ κατὰ θάλατταν, τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους ποιεῖσθαι· νομίζοντες εἰ μὲν πεζὸν στρατόπεδον καταστήσαιντο, καὶ τούτῳ περιγένοιντο, τὸ περὶ τὴν ἤπειρον μόνην καλῶς ἕξειν· εἰ δὲ μετὰ θάλατταν κρατήσειαν, πᾶσαν τὴν Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν· ὅπερ συνέβη. πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν, καὶ ναυτικοῦ συλλεγέντος, Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν, καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν· οἱ δ' Ἕλληνες ἠλευθερώθησαν, ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀπέλαβε, καὶ τῶν συμμάχων Ἡγεμὼν κατέστη. Καὶ ταῦτ' ἐπράχθη Κόνωνος μὲν στρατηγοῦντος, Εὐαγόρου

χόρου δ' αὐτόν τε παρασχόντος, καὶ τῆς δυνάμεως τὴν πλείστην παρασκευάσαντος. ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις τιμαῖς, καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν, οὗπερ τὸ τοῦ Διὸς ἄγαλμα τοῦ Σωτῆρος πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν ἀμφοτέρων, ὑπόμνημα καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους. Βασιλεὺς δὲ οὐ τὴν αὐτὴν γνώμην ἔσχε περὶ αὐτῶν, ἀλλ' ὅσῳ μείζω, καὶ πλείονος ἄξια κατειργάσαντο, τοσούτῳ μᾶλλον ἔδεισεν αὐτούς. περὶ μὲν οὖν Κόνωνος ἄλλως ἡμῖν ἔσται λόγος· ὅτι δὲ πρὸς Εὐαγόραν οὕτως ἔσχεν, οὐδ' αὐτὸς λαθεῖν ἐζήτησε. φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρῳ πόλεμον, ἢ περὶ τοὺς ἄλλους ἅπαντας. μείζω δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας, ἢ Κῦρον τὸν περὶ τῆς Βασιλείας ἀμφισβητήσαντα. Καὶ τούτου μέγιστον τεκμήριον. τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς, τοσοῦτον κατεφρόνησεν, ὥς τε διὰ τὸ μὴ φροντίζειν, μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ Βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥς τε μεταξὺ πάσχων εὖ, πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ μὴν παντάπασιν ἀλόγως βουλευσάμενος. Ἠπίστατο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους· ᾐσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν, καὶ τὰς ἐπιδόσεις αὐτῶν, καὶ τὰς δόξας τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα, καὶ τὴν τύχην αὐτῶν συναγωνιζομένην, ὥστ' οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος, ἀλλὰ περὶ τῶν μελλόντων φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιὼς, ἀλλὰ πολὺ περὶ μειζόνων, ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν. Οὕτω δ' οὖν ὥρμησεν, ὥστ' εἰς τὴν στρατιὰν ταύτην πλέον, ἢ πεντάκις μύρια τάλαντα κατηνάλωσεν· ἀλλ' ὅμως Εὐαγόρας πάσαις ἀπολελειμμένος ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν ἑαυτοῦ γνώμην πρὸς τὰς οὕτως ὑπερ-

μεγέθεις παρασκευὰς, ἐπέδειξεν αὐτὸν ἐν τούτοις πολὺ θαυμαστότερον, ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. Ὅτε μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν, τὴν ἑαυτοῦ μόνην πόλιν εἶχεν· ἐπειδὴ δ' ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν, καὶ τοιοῦτον εἶχε Πρωταγόραν τὸν υἱὸν τὸν ἑαυτοῦ συναγωνιστὴν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν, Φοινίκην δὲ ἐπόρθησε, Τύρον δὲ καὶ κράτος εἷλε, Κιλικίαν δὲ Βασιλέως ἀπέστησε. τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν, ὥς τε πολλοὺς τῶν Περσῶν πενθοῦντας τοὺς ἑαυτῶν συμφορὰς, μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου. τελευτῶν δ' οὕτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν, ὥστ' εἰθισμένων τὸν ἄλλον χρόνον τῶν Βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι, πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο· λύσαντες μὲν τὸν νόμον τοῦτον, οὐδὲν δὲ κινήσαντες τῆς Εὐαγόρου τυραννίδος· καὶ Λακεδαιμονίων μὲν τῶν καὶ δόξαν καὶ δύναμιν μεγίστην ἐχόντων κατ' ἐκεῖνον τὸν καιρὸν, ἐντὸς τριῶν ἐτῶν ἀφείλετο τὴν ἀρχήν. Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα, τῶν αὐτῶν κύριον κατέλιπεν, ὧν περ ἦν καὶ πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. ὃ δὴ πάντων θαυμαστότατον. τὴν γὰρ πόλιν ἣν Εὐαγόρας ἑτέρου τυραννεύοντος μετὰ πεντήκοντα ἀνδρῶν εἷλε, ταύτην Βασιλεὺς ὁ μέγας, τοσαύτην δύναμιν ἔχων, οὐχ οἷός τ' ἐγένετο χειρώσασθαι. Καίτοι πῶς ἄν τις τὴν ἀνδρείαν, ἢ τὴν φρόνησιν, ἢ σύμπασαν τὴν ἀρετὴν τὴν Εὐαγόρου φανερώτερον ἐπιδείξειεν, ἢ διὰ τοιούτων ἔργων καὶ κινδύνων; οὐ γὰρ μόνον φανεῖται τοὺς ἄλλους πολέμους, ἀλλὰ καὶ τὸν τῶν ἡρώων ὑπερβαλλόμενος, τὸν ὑπὸ πάντων ἀνθρώπων ὑμνούμενον· οἱ μὲν γὰρ μετὰ πάσης Ἑλλάδος Τροίαν μόνην εἷλον, ὁ δὲ μίαν πόλιν ἔχων, πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν. ὥστ' εἰ τοσοῦτοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἠβουλήθησαν, ὅσοι περ ἐκείνους, πολὺ μεῖζον ἂν καὶ τὴν δόξαν αὐτῶν ἔλαβε. Τίνα γὰρ ἂν εὑρήσομεν τῶν τότε γενομένων, εἰ τοὺς μύθους νῦν

ἀφεν-

τοφέντες, τὴν ἀλήθειαν σκοπῶμεν, τοιαῦτα διαπεπραγμένον; ἢ τίνα τοσούτων μεταβολῶν ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον; ὃς ἑαυτὸν μὲν ἐξ ἰδιώτου τύραννον κατέστησε· τὸ δὲ γένος ἀπεληλαμένον ἅπαν τῆς πολιτείας, εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε· τοὺς δὲ πολίτας, ἐκ βαρβάρων μὲν, Ἕλληνας ἐποίησεν, ἐξ ἀνάνδρων δὲ, πολεμικοὺς, ἐξ ἀδόξων δὲ, ὀνομαστούς· τὸν δὲ τόπον ἄμικτον ὅλον παραλαβὼν, καὶ παντάπασιν ἐξηγριωμένον, ἡμερώτερον, καὶ πραότερον κατέστησεν. ἔτι δὲ πρὸς τούτοις, εἰς ἔχθραν μὲν Βασιλεῖ καταστὰς, οὕτως αὐτὸν ἠμύνατο καλῶς, ὥστ' ἀείμνηστον γενέσθαι τὸν πόλεμον τὸν περὶ Κύπρον. ὅτε δὲ ἦν αὐτῷ σύμμαχος, τοσούτῳ χρησιμώτερον ἑαυτὸν παρέχε τῶν ἄλλων, ὥσθ' ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν, εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον· ἧς γενομένης, Βασιλεὺς μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέστη· Λακεδαιμόνιοι δ' ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν, περὶ τῆς ἑαυτῶν κινδυνεύειν ἠναγκάσθησαν· οἱ δ' Ἕλληνες ἀντὶ δουλείας αὐτονομίαν ἔσχον· Ἀθηναῖοι δὲ τοσοῦτον ἐπέδοσαν, ὥστε τοὺς πρότερον αὐτῶν Ἄρχοντας, ἐλθεῖν ὡς αὐτοὺς τὴν ἀρχὴν παραδώσοντας. Ὥς τ' εἴτις ἔροιτό με, τί νομίζω μέγιστον εἶναι τῶν Εὐαγόρᾳ πεπραγμένων, πότερον τὰς ἐπιμελείας, καὶ τὰς παρασκευὰς τὰς πρὸς Λακεδαιμονίους, δι' ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν κατάληψιν τῆς Βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν; εἰς πολλὴν ἀπορίαν ἂν καταστάιην. Τοῦτο γάρ μοι δοκεῖ μέγιστον εἶναι, καὶ θαυμαστότατον, καθ' ὅ, τι ἂν αὐτῶν ἐπιστήσω τὴν γνώμην, ὥστ' εἴ τινες τῶν προγεγενημένων δι' ἀρετὴν ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς δωρεᾶς, σημείοις χρώμενος, ὅτι καὶ τὸν ἐνθάδε βίον εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκείνων διαβεβίωκε. τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλείστους καὶ ὀνομαστοτάτους εὑρήσομεν, ταῖς μεγίσταις συμφο-

φοραῖς περιπεσόντας· Εὐαγόρας δὲ, οὐ μόνον θαυμαστότατος ἐξ ἀρχῆς ὢν διετέλεσεν, ἀλλὰ καὶ μακαριώτατος. Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας, ὃς τοιούτων μὲν προγόνων ἔτυχεν, οἵων οὐδεὶς ἄλλος, πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνῳ γέγονε. τοσοῦτον δὲ καὶ τῷ σώματι τῶν ἄλλων, καὶ τῇ ῥώμῃ διήνεγκεν, ὥστε μὴ μόνον Σαλαμῖνος, ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν. κάλλιστα δὲ κτησάμενος τὴν Βασιλείαν, ἐν ταύτῃ τὸν βίον διετέλεσε. θνητὸς δὲ γενόμενος, ἀθάνατον τὴν περὶ αὐτοῦ μνήμην κατέλιπε. τοσοῦτον δ' ἐβίω χρόνον, ὥστε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι, μήτε τῶν νοσημάτων μετασχεῖν τῶν ἐν ταύτην τὴν ἡλικίαν γινομένων. Πρὸς δὲ τούτοις, ὃ δοκεῖ ἀσανιώτατον εἶναι καὶ χαλεπώτατον, εὐπαιδείας τυχεῖν ἅμα καὶ πολυπαιδίας, οὐδὲ τούτου διήμαρτον, ἀλλὰ καὶ τοῦτ' αὐτῷ συνέπεσε. καὶ τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γενομένων, οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον· ἀλλὰ τὸν μὲν Βασιλέα καλούμενον, τοὺς δ' Ἄνακτας, τὰς δ' Ἀνάσσας· ὥστ' εἴ τινες τῶν Ποιητῶν περί τινος τῶν προγεγενημένων ὑπερβολαῖς κέχρηνται λέγοντες, ὡς ἦν Θεὸς ἐν ἀνθρώποις, ἢ δαίμων, ἀλλ' οὐ θνητὸς, ἅπαντα τὰ τοιαῦτα περὶ τὴν ἐκείνου ῥηθῆναι φύσιν μάλιστ' ἂν ἁρμόσειε. Τῶν μὲν οὖν εἰς Εὐαγόραν πολλὰ μὲν οἴομαι παραλιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, μεθ' ἧς ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν τὸν ἔπαινον τοῦτον. οὐ μὴν ἀλλὰ καὶ νῦν, ὅσον ἦν κατὰ τὴν ἐμὴν δύναμιν, οὐκ ἀνεγκωμίαστός ἐστιν. ἐγὼ δ' ὦ Νικόκλεις, ἡγοῦμαι καλὰ μὲν εἶναι μνημεῖα, καὶ τὰς τῶν σωμάτων εἰκόνας. πολὺ μέντοι πλείονος ἀξίας τὰς τῶν πράξεων, καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειε. προκρίνῳ δὲ ταύτας, πρῶτον μὲν εἰδὼς τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀνδρῶν, οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους, ὡς ἐπὶ τοῖς ἔργοις, καὶ τῇ μνήμῃ φιλοτιμουμένους. ἔπειθ' ὅτι τοὺς μὲν τύπους ἀναγκαῖον παρὰ τούτοις εἶναι μόνον, παρ'

εἰς

ὃς αὖ ἐνθαῦτα, τὰς δὲ λόγους ἐξενεχθῆναι, οἵόντ' ὄξιν εἰς τὴν Ἑλλάδα ἀφιδομένους ἐν ταῖς τῶν εὖ φρονέντων ἀκοαῖς ἀγαπᾶσθαι. παρ' οἷς κρεῖττόν ὄξιν, ἢ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν. πρὸς δὲ τύτοις, ὅτι τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμμένοις, ἁδεὶς αὖ τὸν τῦ σώματος φύσιν ὁμοιῶσαι, τὰς δὲ ψυχὰς τὰς αὐτῶν, καὶ τὰς διανοίας τὰς ἐν τοῖς λεγομένοις ἐνιδύσας, ἐκ τύτων ῥᾴδιόν ὄξι μιμεῖσθαι τοῖς μὴ ῥᾳθυμεῖν αἱρεμένοις, ἀλλὰ χρησοῖς εἶναι βυλομένοις. Ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τὸν λόγον, ἵνα ἐμοὶ, καὶ σοὶ, καὶ τοῖς σοῖς παισὶ, καὶ τοῖς ἄλλοις τοῖς ἀπ' Εὐαγόρα γεγονόσι πολὺ κάλλιστον αὖ δόξαι ταύτην τὴν παράκλησιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνυ, καὶ τῷ λόγῳ κοσμήσας, ἅπασιν διαρρεῖν ὑμῖν, καὶ συνδιαβιβάζειν αὐταῖς. Τὰς μὲν γὰρ ἄλλας προβέπομαι ὅτι τὴν φιλοσοφίαν, ἕτερος ἐπαινῶντες, ἵνα ζηλῶντες ἐκ τύτων τὰς εὐλογημένας, τῶν αὐτῶν ἐκείνοις ὀπηδυμάτων ὀπιθυμῶσιν. Ἐμὲ δέ σε, καὶ τὰς σὰς, καὶ ἀλλοτρίοις παραδείγμασι χρώμενος, ἀλλ' οἰκείοις, παραινῶ, καὶ συμβυλεύω προσέχειν τὸν νῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσῃ τῶν Ἑλλήνων. Καὶ μή νόμιζέ με καταγινώσκειν ὡς νεῦ ἀμελεῖς, ὅτι πολλάκις σοι παραινῶ περὶ τῆς αὐτῆς· ἐπιγὰρ ὅτε ἐμὲ λέληθεν, ὅτε τὰ ἄλλα, ὅτι καὶ μόνος καὶ πρῶτος τῶν ἐν τυραννίδι καὶ πλύτῳ καὶ ἁβρύταις ὄντων, φιλοσοφεῖν καὶ φιλοπονεῖν ἐπεχείρησας. διὰ ὅτι πολλὰς τῶν Βασιλέων ποιήσεις, ζηλώσαντας τὸν σὸν παίδευσιν, τῶν τῆς ἀρετῆς ἐπιθυμεῖν, ἀφελίμους ἐφ' οἷς νεῦ λίαν χαίρυσιν. Ἀλλ' ὅμως ἐγὼ ταῦτα εἰδὼς, διὰ τὸν ἧττον καὶ ποιῶν καὶ ποιήσω ταυτὸν, ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί. Καὶ γὰρ ἐκεῖνοι παραμένυσι τῶν δρομέων καὶ τοῖς ὑπολελειμμένοις, ἀλλὰ τοῖς περὶ τὸν νῖκην ἀγωνιζομένοις. Ἐμὲ μὲν ὖν δεῖ, καὶ τῶν ἄλλων φίλων ἁπάντων καὶ λέγειν καὶ γράφειν, ὅς ἂν μάλιστά σε παροξύνειν ὀρέ-

ὀρίγεσθαι τύπων, ὧν περ νῦν τυγχάνεις ἐπιθυμῶν. σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν, ἀλλ' ὥσπερ ἐν τῷ παρόντι τὸν ἄλλον χρόνον ἐπιμελοῖσθαι, καὶ τοῖς ψυχοῖς ἀσκεῖν, ὅπως ἄξιος ἔσῃ καὶ τῆς πατρίδος, καὶ τῶν ἄλλων προγόνων. Ὡς ἅπασι μὲν προσήκει πολλῆς ποιεῖσθαι τὴν φρόνησιν· μάλιστα δ' ὑμῖν τῶν πλείστων κυρίοις ἐστί. καὶ δ' ἔγωγε πᾶν εἰ τῶν παρόντων τυγχάνεις ὧν ἐδεήθης πρείττων, ἀλλ' ἀγαθὸν ἔσῃ, εἰ τοιοῦτος μὲν αὐτὸς ὢν τὴν φύσιν, ἐγγενὲς δὲ τὸ μὲν παλαιὸν ἀπὸ Διός, τὸ δ' ἐπογγώτατον, ἐξ ἀνδρὸς ποιοῦ τὴν ἀρετὴν, εἰ μὴ πολὺ διοίσεις καὶ τῶν ἄλλων καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων. Ἔστι δ' ὅτι σοὶ μὴ δοκεῖ περὶ τούτων· ἐγὼ δὲ ἐμμένω τῇ φιλοσοφίᾳ, καὶ πιστεύω ἐπιδήλως ὅσον περ νῦν, πολὺ μείζω φανῆναι τοῦτον, οἷον σε προσήκει.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΠΛΑΤΑΪΚΟΣ.

Εἰδότες ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εὐθυμουμένους, καὶ τοῖς ἐργάταις μεγίστην χάριν ἀποδιδόντας, ἥκομεν ἱκετεύοντες, μὴ περιιδεῖν ἡμᾶς, εἰρήνης οὔσης, ἀπολλυμένους ὑπὸ Θηβαίων ἀδικουμένους. Πολλῶν δὲ ἤδη πρὸς ὑμᾶς καταφυγόντων, καὶ δεομένων παρεξαιρεῖσθαι ἅπαντ' ὅσων ἐστέρηντο, πολλοὶ μὲν ἔγωμαι μάλιστα προσήκειν ὑμῖν περὶ τῆς ἡμετέρας πόλεως ποιεῖσθαι πρόνοιαν. ἅτε γὰρ ἀδικωτέρους, οὐδενὸς ὧν ἡμῶν εὕροιτε πλημμελήσαντας συμφορᾶς περιπεπτωκότας, ἢ τὴν ἐκ πλείστου χρόνου πρὸς τὴν ὑμετέραν πόλιν οἰκειοτέρους δεδιημένους. Ἔτι δὲ περὶ τούτων δεησόμενοι παρέσομαι, ἐν οἷς κίνδυνος μὲν οὐδεὶς ἔσται, πιστεῖς δ' ἄνθρωποι πεισθησόμενοι νομισθῆναι ὑμῖν ὁσιώτατοι καὶ δικαιότατοι εἶναι τῶν Ἑλλήνων. Εἰ μὲν οὖν Θηβαίους ἐρωτῶμεν ἐκ ποίας ἕξεως πεπραγμένους πείθειν

ὑμᾶς

ὑμᾶς, ὡς οὐδὲν εἰς ἡμᾶς ἐξημαρτήκασι, διὰ βραχέων ἂν ἐποιησάμεθα τοὺς λόγους. ἐπειδὴ δὲ εἰς τοῦθ' ἥκομεν ἀτυχίας, ὥστε μὴ μόνον ἡμῖν εἶναι τὸν ἀγῶνα πρὸς τούτους, ἀλλὰ καὶ τῶν ῥητόρων τοὺς ἱκανωτάτους, οὓς ἀπὸ τῶν ἡμετέρων αὐτοῖς οὗτοι παρεσκευάσαντο συνηγόρους, ἀναγκαῖον διὰ μακροτέρων δηλῶσαι περὶ αὐτῶν. Χαλεπὸν μὲν οὖν μηδὲν καταδείστερον εἰπεῖν, ὧν πεπόνθαμεν. ποῖος γὰρ ἂν λόγος ἐξισωθείη ταῖς ἡμετέραις δυσπραξίαις; ἢ τίς ἂν ῥήτωρ ἱκανὸς γένοιτο κατηγορῆσαι τῶν Θηβαίοις εἰς ἡμᾶς ἡμαρτημένων; ὅμως δὲ πειρατέον οὕτως, ὅπως ἂν δυνώμεθα, φαιερὰν καταστῆσαι τὴν τούτων παρανομίαν. πολὺ δὲ μάλιστα ἀγανακτοῦμεν, ὅτι τοσούτου δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις Ἕλλησιν, ὥστε εἰρήνης οὔσης, καὶ συνθηκῶν γεγενημένων, οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν, ἀλλ' οὐδὲ δουλείας μετρίας ἠξιώθημεν τυχεῖν. Δεόμεθα οὖν ὑμῶν, ἄνδρες Ἀθηναῖοι, μετ' εὐνοίας ἀκροάσασθαι τῶν λεγομένων, ἐνθυμηθέντες, ὅτι πάντων ἂν ἡμῖν ἀλογώτατον εἴη συμβεβηκὸς, εἰ Θηβαίοις μὲν τοῖς ἅπαντα τὸν χρόνον δυσμενῶς πρὸς τὴν πόλιν ὑμῶν διακειμένοις, αἴτιοι γεγένησθε τῆς ἐλευθερίας, ἡμεῖς δὲ μηδ' ἱκετεύοντες ὑμᾶς, τῶν αὐτῶν τοῖς ἐχθίστοις τύχοιμεν. Περὶ μὲν οὖν τῶν γεγενημένων οὐκ οἶδ' ὅ,τι δεῖ μακρολογεῖν. τίς γὰρ οὐκ οἶδεν, ὅτι καὶ τὴν χώραν ἡμῶν κατανενέμηνται, καὶ τὴν πόλιν κατεσκάφασιν; ἃ δὲ λέγοντες ἐλπίζουσιν ἐξαπατήσειν, περὶ τούτων ὑμᾶς πειρασόμεθα διδάσκειν. Ἔνιοί τε μὲν γὰρ τολμῶσι λέγειν, ὡς διὰ τοῦτο πρὸς ἡμᾶς οὕτω προσηνέχθησαν, ὅτι συντελεῖν αὐτοῖς οὐκ ἐθέλομεν. Ὑμεῖς δ' ἐνθυμεῖσθε, πρῶτον μὲν, εἰ δίκαιόν ἐστιν, ὑπὲρ τηλικούτων ἐγκλημάτων οὕτως ἀνόμους καὶ δεινὰς ποιεῖσθαι τὰς τιμωρίας· ἔπειτ', εἰ προσήκειν ὑμῖν δοκεῖ, μὴ πεισθεῖσαν τὴν Πλαταιέων πόλιν, ἀλλὰ βιασθεῖσαν Θηβαίοις συντελεῖν. Ἐγὼ μὲν γὰρ οὐδένας ἡγοῦμαι τολμητέρους

εἶναι

εἶναι τούτων, οἵ τινες τὰς μὲν ἰδίας ἡμῶν ἑκάστων πόλεις ἀφανίζουσι, τῆς δὲ σφετέρας αὐτῶν πολιτείας οὐδὲν δεομένους κοινωνεῖν ἀναγκάζουσι. Πρὸς δὲ τούτοις οὐδ' ὁμολογούμενα φαίνονται διαπραττόμενοι πρός τε τοὺς ἄλλους, καὶ πρὸς ἡμᾶς. ἐχρῆν γὰρ αὐτοὺς, ἐπειδὴ πείθειν ἡμῶν τὴν πόλιν οὐχ οἷοί τε ἦσαν, ὥσπερ τοὺς Θεσσιέας, καὶ τοὺς Ταναγραίους συντελεῖν μόνον εἰς τὰς Θήβας ἀναγκάζειν. οὐδὲν γὰρ ἂν τῶν ἀνηκέστων κακῶν ἦμεν πεπονθότες. Νῦν δὲ δὲ φανεροὶ γεγόνασιν, οὐ τοῦτο διαπράξασθαι βουληθέντες, ἀλλὰ τῆς χώρας ἡμῶν ἐπιθυμήσαντες. Θαυμάζω δὲ πρὸς τί τῶν γεγενημένων ἀφορῶντες, καὶ πῶς τὸ δίκαιον κρίνοντες, ταῦτα φήσουσι προστάττειν ἡμῖν. Εἰ μὲν γὰρ τὰ πάτρια σκοποῦσιν, οὐ τῶν ἄλλων, αὐτοῖς ἀρκτέον, ἀλλὰ πολὺ μᾶλλον Ὀρχομενίοις φόρον οἰστέον. οὕτω γὰρ εἶχε τὸ παλαιόν. εἰ δὲ τὰς συνθήκας ἀξιοῦσιν εἶναι κυρίας, ὅπερ ἐστὶ δίκαιον, πῶς οὐχ ὁμολογήσουσιν ἀδικεῖν καὶ παραβαίνειν αὐτάς; ὁμοίως γὰρ τάς τε μικρὰς τῶν πόλεων καὶ τὰς μεγάλους αὐτονόμους εἶναι κελεύουσιν. Οἶμαι δὲ περὶ μὲν τούτων οὐ τολμήσειν αὐτοὺς ἀναισχυντεῖν· ἐπ' ἐκεῖνον δὲ τρέψεσθαι τὸν λόγον, ὡς μετὰ Λακεδαιμονίων ἐπολεμοῦμεν, καὶ πάσῃ τῇ συμμαχίᾳ διαφθείραντες ἡμᾶς, τὰ συμφέροντα πεποιήκασιν. Ἐγὼ δ' ἡγοῦμαι μὲν χρῆναι μηδεμίαν μήτε αἰτίαν, μήτε κατηγορίαν μείζω δύνασθαι τῶν ὅρκων καὶ συνθηκῶν. οὐ μὴν ἀλλ' εἰ δεῖ τινας κακῶς παθεῖν διὰ τὴν Λακεδαιμονίων συμμαχίαν, οὐκ ἂν Πλαταιεῖς ἐξ ἁπάντων τῶν Ἑλλήνων προεκρίθησαν δικαίως. Οὐ γὰρ ἑκόντες, ἀλλ' ἀναγκασθέντες τοῖς αὐτοῖς ἐδουλεύομεν. τίς γὰρ ἂν πιστεύσειεν, εἰς τοῦθ' ἡμᾶς ἀνοίας ἐλθεῖν, ὥστε περὶ πλείονος ποιεῖσθαι τοὺς ἐξανδραποδισαμένους ἡμῶν τὴν πόλιν μᾶλλον, ἢ τοὺς τῆς πόλεως τῆς αὐτῶν μεταδόντας; ἀλλὰ γὰρ, οἶμαι, χαλεπὸν ἦν νεωτερίζειν, αὐτοὺς μὲν μικρὰν πόλιν οἰκοῦντας· ἐκείνων δὲ οὕτω μεγάλην δύναμιν κεκτημέ-

μένων. Ἔτι δὲ πρὸς τούτοις ἁρμοστοῦ καθεστῶτος καὶ φρουρᾶς ἐνούσης, καὶ τηλικούτου στρατεύματος ὄντος Θεσσιᾶσιν, ὑφ' ὧν οὐ μόνον οὐκ ἂν ἔλαττον, ἢ ὑπὸ Θηβαίων διεφθάρημεν, ἀλλὰ καὶ δικαιότερον. Τούτοις μὲν γὰρ εἰρήνης οὔσης, οὐ προσῆκε μνησικακεῖν περὶ τῶν τότε γενομένων· ἐκεῖνοι δὲ ἐν τῷ πολέμῳ προδοθέντες, εἰκότως ἂν παρ' ἡμῶν τὴν μεγίστην δίκην ἐλάμβανον. Ἡγοῦμαι δ' ὑμᾶς οὐδὲ τοῦτο ἀγνοεῖν, ὅτι πολλοὶ καὶ τῶν ἄλλων Ἑλλήνων, τοῖς μὲν σώμασι μετ' ἐκείνων ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δὲ εὐνοίαις μεθ' ὑμῶν ἦσαν. οὓς τίνα χρὴ προσδοκᾶν γνώμην ἕξειν, ἂν ἀκούσωσιν. ὅτι Θηβαῖοι τὸν δῆμον τῶν Ἀθηναίων πεπείκασιν, ὡς οὐδενός ἐστι φειστέον τῶν ὑπὸ Λακεδαιμονίοις γενομένων; ὁ γὰρ τούτων λόγος οὐδὲν ἀλλ' ἢ τοῦτο φανήσεται δυνάμενος. οὐδὲ γὰρ ἰδίαν κατηγορίαν ποιούμενοι, κατὰ τῆς ἡμετέρας πόλεως, ἀπολωλέκασιν αὐτήν. ἀλλ' ἢν ὁμοίως καὶ κατ' ἐκείνων ἕξωσιν εἰπεῖν. ὑπὲρ ὧν βουλεύεσθαι χρὴ, καὶ σκοπεῖν, ὅπως μὴ τοὺς πρότερον μισοῦντας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων, ἡ τούτων ὕβρις διαλλάξῃ, καὶ ποιήσῃ, τὴν ἐκείνων συμμαχίαν, αὐτῶν νομίζειν σωτηρίαν εἶναι. Ἐνθυμεῖσθε δὲ, ὅτι τὸν πόλεμον ἀνείλεσθε τὸν ὑπογυώτατον, οὐχ ὑπὲρ τῆς ὑμετέρας, οὐδὲ ὑπὲρ τῆς τῶν συμμάχων ἐλευθερίας (ἅπασι γὰρ ὑπῆρχεν ὑμῖν) ἀλλ' ὑπὲρ τῶν παρὰ τοὺς ὅρκους καὶ τὰς σπονδήκας τῆς αὐτονομίας ἀποστερουμένων. ὃ δὴ καὶ πάντων χεγλιώτατον, εἰ τὰς πόλεις ἃς οὐκ οἴεσθε δεῖν Λακεδαιμονίοις δουλεύειν, ταύτας περιόψεσθε νῦν ὑπὸ Θηβαίων ἀπολλυμένας. οἳ τοσούτου δέουσι μιμεῖσθαι τὴν πραότητα τὴν ὑμετέραν, ὥστ' ὃ δοκεῖ πάντων δεινότατον εἶναι, δορυαλώτους γενέσθαι, τοῦτο κρεῖττον ἦν ἡμῖν παθεῖν ὑπὸ ταύτης τῆς πόλεως, ἢ τούτων τυχεῖν ὁμόρους ὄντας. Οἱ μὲν γὰρ ὑφ' ὑμῶν κατὰ κράτος ἁλόντες, εὐθὺς μὲν ἁρμοστοῦ καὶ δουλείας ἀπηλλάγησαν· νῦν δὲ τοῦ συνεδρίου καὶ τῆς ἐλευθερίας μετέχουσιν. οἱ δὲ τούτων πλησίον οἰκοῦν-

τες,

τες, οἱ μὲν ἥδιον ἢ τὸν ἀργυρωνήτων δουλεύσι· τὰς δὲ πρότερον παύσονται κακῶς ποιοῦντες, πρὶν ἂν ὅπως ἀμείνους ἡμᾶς ἔχθωσι. Καὶ Λακεδαιμονίων μὲν κατηγορεῖσιν, ὅτι τὴν Καδμείαν κατέλαβον, καὶ φρουρὰς εἰς τὰς πόλεις κατέστησαν· αὐτοὶ δ' ἐφ' φύλακας εἰσπέμποντες, ἀλλὰ τὴν μὲν περιτείχη κατασκάπτοντες, τὰς δὲ ἄρδην ἀπολλύντες, ἡδέως οἴονται δεινὸν ποιεῖν, ἀλλ' εἰς τὸ ἀναισχυντίας καὶ πονηρίας ἐλήλυθασιν, ὥστε τῆς μὲν ἀνοσίας καὶ ἀσεβείας τὰς συμμάχους ἅπαντας ἀξιοῦσιν ἐπιμελεῖσθαι, τῆς δὲ τῶν ἄλλων δικαίας αὐτὰς κυρίους καθίσασι. Καίτοι τίς ἂν ἀνθρώπων τοῦτον μισήσειε τὸν πάντων πλεονεξίαν; οἱ τὴν μὲν ἀσθενεστέρων ἄρχειν ζητοῦσι, τοῖς δὲ κρείττοσιν ἴσον ἔχειν οἴονται δεῖν; Καὶ τὴν μὲν ὑμετέραν πόλιν τῆς γῆς τῆς ὑπὸ Ὠρωπίων δεδομένης φθονοῦσιν, αὐτοὶ δὲ βίᾳ τὴν ἀλλοτρίαν χώραν κατανέμονται. καὶ πρὸς τοῖς ἄλλοις κακοῖς λέγουσιν, ὡς ὑπὲρ τοῦ κοινοῦ τῶν συμμάχων ταῦτ' ἔπραξαν. Καίτοι ἐγὼ αὐτὸς, ὄντος ἐνθάδε συνεδρίου, καὶ τῆς ὑμετέρας πόλεως ἀμείνους βουλεύεσθαι δυναμένης, ἢ τῶν Θηβαίων, οὐχ ὑπὲρ τῶν παραγεγραμμένων ἥκειν ἀπολογησομένους, ἀλλὰ περὶ ποιήσαί τι τούτων, ἐλθεῖν ὡς ἡμᾶς βουλευσομένους. Νυνὶ δὲ, τὰς μὲν οὐσίας τὰς ὑμετέρας ἰδίᾳ διηρπάκασι, τῆς δὲ ἀβουλίας ἅπασι τοῖς συμμάχοις ἅπασι μεταδώσοντες, ἵν' ὑμεῖς, ἵν' σωφρονῆτε, φυλάξεσθε πολὺ μᾶλλον τούτους ἀναγκάσαι μιμήσασθαι τὴν οὐσίαν τὴν ὑμετέραν, ἢ τούτων εὐβουλίας αὐτοὺς πεισθῆναι μετασχεῖν, οἳ μηδὲν τῆς αὐτῆς τοῖς ἄλλοις γνώσεσθαι. Οἶμαι δὲ ἅπασι φανερὸν εἶναι, ὅτι προσήκει τοὺς εὐ φρονοῦντας, τὸ μὲν τῶν πολεμίων σκοπεῖν, ὅπως ἐκ παντὸς τρόπου πλέον ἕξουσι τῶν ἐχθρῶν, ἐπειδὰν δὲ εἰρήνη γένηται, μηδὲν τοῦτο πλέονος ποιεῖσθαι τὴν ὅρκων καὶ τὴν συνθηκῶν. Οὗτοι δὲ τότε μὲν ἐν ἀπάσαις ταῖς πρεσβείαις, ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας ἐποιοῦντο τοὺς λόγους. ἐπειδὴ δὲ νομίζουσιν αὐτοῖς

ἄδειαν

ἄδειαν εἶναι ποιεῖν ὅ,τι ἂν βουληθῶσιν, ἁπάντων τῶν ἄλλων ἀμελήσαντες, ὑπὲρ τῶν ἰδίων κερδῶν καὶ τῆς αὐτῶν βίας λέγειν τολμῶσι, καίφασι, τὸ Θηβαίους ἔχειν τὴν ἡμετέραν, τοῦτο συμφέρον εἶναι τοῖς συμμάχοις, κακῶς εἰδότες, ὡς οὐδ' αὐτοῖς τοῖς περὶ τὸ δίκαιον πλεονεκτοῦσιν, οὐδὲν πώποτε συνηνέγκεν, ἀλλὰ πολλοὶ τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσαντες, περὶ τῆς ἑαυτῶν εἰς τοὺς μεγίστους κινδύνους δικαίως κατέστησαν. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνό γε ἔξουσι λέγειν, ὡς αὐτοὶ μὲν μεθ' ὧν ἂν γένωνται, πιστοὶ διατελοῦσιν ὄντες, ἡμᾶς δ' ἄξιον φοβεῖσθαι, μὴ κομισάμενοι τὴν χώραν, πρὸς Λακεδαιμονίους ἀποστῶμεν. εὑρήσετε γὰρ ἡμᾶς μὲν δὶς ἐκπεπολιορκημένους, ὑπὲρ τῆς φιλίας τῆς ὑμετέρας· τούτους δὲ πολλάκις εἰς ταυτηνὶ τὴν πόλιν ἐξημαρτηκότας. Καὶ τὰς μὲν παλαιὰς προδοσίας, πολὺ ἂν ἔργον εἴη λέγειν. γενομένου δὲ τοῦ Κορινθιακοῦ πολέμου διὰ τὴν ὕβριν τὴν τούτων, καὶ Λακεδαιμονίων μὲν ἐπ' αὐτοὺς στρατευσάντων, δι' ὑμᾶς δὲ σωθέντες, οὐχ ὅπως τούτων χάριν ἀπέδοσαν. ἀλλ' ἐπειδὴ διελύσασθε τὸν πόλεμον, ἀπολιπόντες ὑμᾶς, εἰς τὴν Λακεδαιμονίων συμμαχίαν εἰσῆλθον. καὶ Χῖοι μὲν καὶ Μιτυληναῖοι, καὶ Βυζάντιοι συμπαρέμειναν. οὗτοι δὲ τηλικαύτην πόλιν οἰκοῦντες, οὐδὲ κοινοὺς σφᾶς αὐτοὺς παραχεῖν ἐτόλμησαν. ἀλλ' εἰς τοῦτο ἀνανδρίας καὶ πονηρίας καὶ ἀφροσύνης ἦλθον, ὥστε ὤμοσαν, ἢ μὴν ἀκολουθήσειν μετ' ἐκείνων ἐφ' ὑμᾶς τοὺς διασώσαντας τὴν πόλιν αὐτῶν. ὑπὲρ ὧν δόντες τοῖς Θεοῖς δίκας, τῆς Καδμείας καταλειφθείσης, ἠναγκάσθησαν ἐνθάδε καταφυγεῖν, ὅθεν καὶ μάλιστα ἐπεδείξαντο τὴν αὐτῶν ἀπιστίαν. Σωθέντες γὰρ πάλιν διὰ τῆς ὑμετέρας δυνάμεως, καὶ κατελθόντες εἰς τὴν αὐτῶν, οὐδένα χρόνον ἐνέμειναν· ἀλλ' εὐθὺς εἰς Λακεδαίμονα πρέσβεις ἀπέστελλον, ἕτοιμοι δουλεύειν ὄντες, καὶ μηδὲν κινεῖν τῶν πρότερον πρὸς αὐτοὺς ὡμολογημένων. Καὶ τί δεῖ μα-

κρολογεῖν; εἰ γὰρ μὴ προσέταττον ἐκεῖνοι τοὺς φεύγοντας μὴ καταδέχεσθαι, καὶ τοὺς αὐτόχειρας ἐξείργειν, οὐδὲν ἂν ἐκώλυεν αὐτοὺς μετὰ τῶν ἠδικηκότων ἐφ' ὑμᾶς τοὺς εὐεργέτας στρατεύεσθαι. Καὶ τοιοῦτοι μὲν νεωστὶ περὶ τὴν πόλιν τήνδε γεγενημένοι, τὸ δὲ παλαιὸν ἁπάσης τῆς Ἑλλάδος προδόται καταστάντες, αὐτοὶ μὲν ὑπὲρ οὕτως ἑκουσίων καὶ μεγάλων ἀδικημάτων συγγνώμης τυχεῖν ἠξιώθησαν, ἡμᾶς δ' ὑπὲρ ὧν ἠναγκάσθημεν, οὐδεμίαν ἔχειν οἴονται δεῖν. ἀλλὰ τολμῶσιν, ὄντες Θηβαῖοι, Λακωνισμὸν ἑτέροις ὀνειδίζειν· οὓς πάντες ἴσμεν πλεῖστον χρόνον Λακεδαιμονίοις δεδουλευκότας, καὶ προθυμότερον ὑπὲρ τῆς ἐκείνων ἀρχῆς, ἢ τῆς ἑαυτῶν σωτηρίας πεπολεμηκότας. Ποίας γὰρ εἰσβολῆς ἀπελείφθησαν τῶν εἰς ταύτην τὴν χώραν γεγενημένων; ἢ τίνων οὐκ ἐχθίους ὑμῖν, καὶ δυσμενέστεροι διετέλεσαν ὄντες; οὐκ ἐν τῷ Δεκελικῷ πολέμῳ πλειόνων αἴτιοι κακῶν ἐγένοντο τῶν ἄλλων τῶν εἰσβαλόντων; οὐ δυστυχησάντων ὑμῶν, μόνοι τῶν συμμάχων ἔθεντο τὴν ψῆφον ὡς χρὴ τήν τε πόλιν ἐξανδραποδισθῆναι, καὶ τὴν χώραν ἀνεῖναι μηλόβοτον, ὥσπερ τὸ Κρισαῖον πεδίον; ὥς τ' εἰ Λακεδαιμόνιοι τὴν αὐτὴν ἔσχον γνώμην Θηβαίοις, οὐδὲν ἂν ἐκώλυεν ὑμᾶς ἅπασι τοῖς Ἕλλησιν αἰτίους τῆς σωτηρίας γενομένους, αὐτοὺς ὑπὸ τῶν Ἑλλήνων ἐξανδραποδισθῆναι, καὶ ταῖς μεγίσταις συμφοραῖς περιπεσεῖν, καίτοι τίνα τηλικαύτην εὐεργεσίαν ἔχοιεν ἂν εἰπεῖν; ἡ τιμωρία τίς ἱκανὴ γενήσεται διαλῦσαι τὴν ἔχθραν, τὴν ἐκ τούτων δικαίως ἂν ὑπάρχουσαν πρὸς αὐτούς; Τούτοις μὲν οὖν οὐδεὶς λόγος ὑπολείπεται τηλικαῦτα τὸ μέγεθος ἐξημαρτηκόσι. τοῖς δὲ συνηγορεῖν βουλομένοις, ἐκεῖνος μόνος, ὡς νῦν μὲν ἡ Βοιωτία προπολεμεῖ τῆς ὑμετέρας χώρας. ἢν δὲ διαλύσησθε τὴν πρὸς τούτους φιλίαν, ἀσύμφορα τοῖς συμμάχοις διαπράξεσθε· μεγάλην γὰρ ἔσεσθαι τὴν ῥοπὴν, εἰ μετὰ Λακεδαιμονίων ἡ τούτων γενήσεται πόλις.

λις. Ἐγὼ δὲ ὅτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν, τὰς ἀθυμοτέρους τοῖς κρείττοσι δουλεύειν· (οὐδὲ γὰρ τὸν παρελθόντα χρόνον ὑπὲρ ἄλλων τινῶν, ἢ τῶν ἑπομένων ἐπολεμήσαμεν) ὅτε Θηβαίους εἰς τοῦτο μανίας ἦξεν, ὥστε ἀποστάτας τῆς ὑμετέρας συμμαχίας, Λακεδαιμονίοις ἐνδοῦναι τὴν πόλιν· οὐχ ὡς πιστεύων τοῖς τότων ἤθεσιν, ἀλλ' οἶδ' ὅτι γινώσκουσιν, ὡς δουλῶν θάτερον ἀναγκαῖόν αὐτοῖς ἐστιν, ἢ μονῶντας δουλοῦσθαι, καὶ πάσχειν οἷά περ ἐποίησαν, ἢ φονεύοντας δουλεῦσαι, καὶ τῶν ἐλπίδων πάντων ἀποστερεῖσθαι. Πόσῳ γὰρ τὰ ἄρδην τοὺς πολίτας αὐτοῖς ἔχειν καλῶς, ὧν τοὺς μὲν ἀποκτείναντες, τοὺς δ' ἐκ τῆς πόλεως ἐκβαλόντες, διηρπάκασι τὰς οὐσίας, ἢ τὰ παρὰ τοῖς ἄλλοις Βοιωτοῖς; ὧν οὐκ ἄρχειν μόνον αὐτοὺς ἐπιχειροῦσιν, ἀλλὰ τῶν μὲν καὶ τὰ τείχη κατεσκάφασι, τῶν δὲ καὶ χώραν ἀπεστερήκασιν. Ἀλλὰ μὴν οὐδ' ὅτι τὴν ὑμετέρων πόλιν ἀπωφελῆσαι αὐτοῖς οἷόν τ' ἐστίν, ἴσως ἔστιν ὅπως συνεχῶς φρονήσουσι παραδιδόντες· ὥστ' οὐκ ἔστιν ὅπως βελτίους ἔσονται παρὸς ὑμᾶς, ὑπὲρ τῆς ἀλλοτρίας διενεχθέντες, τὴν αὐτῶν πόλιν ὅπως οὐκ ἐν καὶ παραδόλως ἀπολοῦσιν, ἀλλὰ πολὺ κοσμιώτερον ἀφέξονται παρὸς ἀπάσας τὰς πράξεις, καὶ τοσούτῳ πλείονα ποιήσονται θεραπείαν ὑμῶν, ὅσῳ περ ἂν μᾶλλον περὶ σφῶν αὐτῶν δείσωσιν. Ἐπιδέδεικται δὲ ὑμῖν ὡς χρὴ τῇ φύσει χρῆσθαι τῇ σφῶν αὐτῶν, ἐξ ὧν ἔπραξαν περὶ Ὠρωπόν. ὅτε μὲν γὰρ αὐτοῖς ἐξουσίαν ἥλπισαν ἔσεσθαι ποιεῖν ὅ, τι ἂν βούλωνται, οὐχ ὡς συμμάχοις ὑμῖν προσέσχηκαν, ἀλλ' ὥσπερ ἂν εἰς τοὺς πολεμιωτάτους ἐξήμαρτεν ἐπόλμησαν· ἐπειδὴ δὲ ἐκ παντὸς αὐτοὺς αὖτις τῶν ἐναντίων ἐφίστασθαι ἠνάγκασε, παυσάμενοι τῶν προημένων, ἦλθον εἰς ὑμᾶς πεπτωκότερον διακειμένους, ἢ νῦν ἡμεῖς τυγχάνομεν ἔχοντες· ὥς τε ἴσως τινὲς ὑμᾶς ἐκφοβοῦσι τῶν Ῥ'ητόρων λέγοντες, ὡς εὐδιωδός ἐστι, μὴ μεταβάλωνται καὶ γένωνται μετ' Λακεδαι-

μονίων, ὰ χρὴ πιστεύειν. τοιαῦται γὰρ αὐτοὺς ἀνάγκαι κατειλήφασιν, ὥστε πολὺ ἂν ἧττον τῶν ὑμετέρων ἀρχῶν, ἢ τῶν Λακεδαιμονίων συμμαχίαν ὑπομεῖναι. εἰ δ' ὧν χρὴ παντάπασι μέλλοιεν ἅπαντα πράξειν, εἰδ' ὅπως ἡγεμὼν προστήξειν ὑμῖν, τῆς Θηβαίων πόλεως πλείω ποιήσασθαι λόγον, ἢ τῶν ὅρκων, καὶ τῶν συνθηκῶν. ἐνθυμηθῆτε, πρῶτον μὲν ὡς ὰ τὰς κινδύνους, ἀλλὰ τὰς ἀδοξίας καὶ τὰς αἰσχύνας φοβεῖσθαι πάντων ὑμῖν ἐστιν. ἔπειθ' ὅτι συμβαίνει κρατεῖν ἐν τοῖς πολέμοις, ὰ τὰς βία τὰς πόλεις παραιρουμένους, ἀλλὰ τὰς ὁσιώτερον καὶ δικαιότερον τῶν Ἑλλάδα διοικοῦντας. Καὶ ταῦτα δῆτα πλειόνων μὲν αὐτοῖς παράδειγμάτων ἔχοι διελθεῖν. τὰ δ' ὧν ἐφ' ἡμῶν γεγενημένα τίς οὐκ οἶδεν; ὅτι καὶ Λακεδαιμόνιοι τῶν δυνάμιν τῶν ὑμετέραν, ἀνυπόστατον δοκοῦσαν εἶναι κατέλυσαν; μικρὰς μὲν ἀφορμὰς εἰς τὸν πόλεμον τὸν καὶ θαλάττην τὸ πρῶτον ἔχοντες. ἀλλὰ δὲ τῶν δόξαν ταύτην, προσαγαγόμενοι τοὺς Ἕλληνας. καὶ πάλιν ὑμεῖς τῶν ἀρχὴν ἀφείλεσθε τῶν ἐκείνων, ὅτε ἀτειχίστου μὲν τῆς πόλεως ὁρμισθέντες, καὶ πρατηθέντες ἀθρόως, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον. Καὶ πάντων ὡς ὁ Βασιλεὺς αἴτιος ἦν, ὁ πλουτεῖν χρόνος σαφῶς ἐπέδειξεν. Ξέρξην γὰρ αὐτῷ πραγμάτων γεγενημένων, καὶ τῶν μὲν ὑμετέρων ἀνελπίστως ἐχόντων, Λακεδαιμονίοις δὲ πρὸ πάντων ἁπασῶν τῶν πόλεων δυναστῶν, ὅμως πρότερον αὐτῷ ἐβοηθήσατε πολεμοῦντες, ἢ τ' ἐκείνους ἀγαπητῶς ἰδεῖν τῶν εἰρήνην ἄγοντας. Μηδεὶς οὖν ὑμῶν ὀρρωδείτω μὴ οὐ δίκαιον, ποιούμενος τὸν κινδύνους· μηδ' οἰέσθω συμμάχων ἐπιδεῖσθαι, ἐὰν τοῖς ἀδικουμένοις ἐθέλητε τις βοηθεῖν, ἀλλὰ μὴ Θηβαίοις μόνοις· οἷς νῦν παντάπασι φιλίαν ἄγουσι, πολλὴν ὀφθυμίαν ποιήσετε τῆς ὑμετέρας φιλίας. ἐὰν γὰρ ἐνδείξησθε, ὡς ὁμοίως ἅπασιν ὑπὲρ τῶν συνθηκῶν παρεσκεύασθε πολεμεῖν, τίνες εἰς τὸν αὐτοῖς ἥξουσιν, ὥστε

βε-

βούλεσθαι μετὰ τῶν καταδουλουμένων τὴν Ἑλλάδα εἶναι μᾶλλον, ἢ μεθ' ὑμῶν τῶν ὑπὲρ τῆς ἑαυτῶν ἐλευθερίας ἀγωνιζομένων; εἰ δὲ μὴ, τί λέγοντες, ἢν πάλιν γένηται πόλεμος, ἀξιώσετε προσάγεσθαι τοὺς Ἕλληνας; εἰ τὴν αὐτονομίαν προτείνοντες, ἐκδώσετε πορθεῖν Θηβαίοις ἤν τινα ἂν βούλωνται τῶν πόλεων; πῶς δ' οὐχὶ καὶ τἀναντία φανήσεσθε πράττοντες ὑμῖν αὐτοῖς, εἰ Θηβαίους μὲν μὴ διακωλύσητε παραβαίνοντας τοὺς ὅρκους καὶ τὰς συνθήκας, πρὸς δὲ Λακεδαιμονίους ὑπὲρ τῶν αὐτῶν τούτων προσποιήσεσθε πολεμεῖν; καὶ τῶν μὲν κτημάτων τῶν ὑμετέρων αὐτῶν ἀπέστητε, βουλόμενοι τὴν συμμαχίαν ὡς μεγίστην ποιῆσαι· τούτους δὲ τὴν ἀλλοτρίαν ἔχειν ἐάσετε, καὶ τοιαῦτα ποιεῖν, ἐξ ὧν ἅπαντες χείρους εἶναι νομιοῦσιν ὑμᾶς; Ὃ δὲ πάντων ἀλογώτατον, εἰ τοῖς μὲν συνεχῶς μετὰ Λακεδαιμονίων γεγενημένοις, δεδογμένον ὑμῖν ἐστι βοηθεῖν, ἤν τι παράπονδον αὐτοῖς ἐκεῖνοι προστάττωσιν· ἡμᾶς δὲ, οἳ τὸν μὲν πλεῖστον χρόνον μεθ' ὑμῶν ὄντες διατετελέκαμεν, τὸν δὲ τελευταῖον μόνον πόλεμον ὑπὸ Λακεδαιμονίοις ἠναγκάσθημεν γεγενῆσθαι, διὰ ταύτην τὴν τρόφασιν ἀθλιώτατα ἁπάντων ἀνθρώπων περιόψεσθε διακειμένους. τίνας γὰρ ἂν ἡμῶν εὕροι τις δυστυχεστέρους; οἵ τινες καὶ πόλεως καὶ χώρας καὶ χρημάτων, ἐν μιᾷ στερηθέντες ἡμέρᾳ, πάντων τῶν ἀναγκαιοτάτων ὁμοίως ἐνδεεῖς ὄντες, ἀλῆται καὶ πτωχοὶ καθεστήκαμεν, ἀποροῦντες ποῖ τραπώμεθα; ἐκπεσόντες γὰρ ἐκ τῆς οἰκείας, ἀθυμοῦντες, καὶ ἁλώμενοι, τὴν Ἑλλάδα περιΐμεν, πάσας δυσχεραίνοντες τὰς οἰκήσεις· ἤν τε γὰρ δυστυχοῦντας καταλάβωμεν, ἀλγοῦμεν ἀναγκαζόμενοι πρὸς τοῖς οἰκείοις κακοῖς, καὶ τῶν ἀλλοτρίων κοινωνεῖν· ἤν τε ὡς εὐπραγοῦντας ἔλθωμεν, ἔτι χαλεπώτερον ἔχομεν, οὐ ταῖς ἐκείνων φθονοῦντες εὐπορίαις, ἀλλὰ μᾶλλον ἐν τοῖς τῶν πέλας ἀγαθοῖς, τὰς ἡμετέρας αὐτῶν συμφορὰς καθορῶντες. ἐφ' αἷς ἡμεῖς οὐδεμίαν ἡμέ-

ραν ἀδακρυτὶ διάγομεν, ἀλλὰ πενθοῦντες τὴν Πατρίδα, καὶ θρηνοῦντες τὴν μεταβολὴν τὴν γεγενημένην, ἅπαντα τὸν χρόνον διατελοῦμεν. Τίνα γὰρ οἴεσθε ἡμᾶς γνώμην ἔχειν, ὁρῶντας τοὺς γονέας ἡμῶν αὐτῶν ἀναξίως γηροτροφουμένους; καὶ τοὺς παῖδας, οὐκ ἐπὶ ταῖς ἐλπίσιν αἷς ἐποιησάμεθα, παιδευομένους, ἀλλὰ πολλοὺς μὲν μικρῶν ἕνεκα συμβολαίων δουλεύοντας, ἄλλους δὲ ἐπὶ θητείαν ἴοντας, τοὺς δ', ὅπως ἕκαστον δύνανται, τὸ καθ' ἡμέραν πορίζομένους ἀπρεπῶς, καὶ τοῖς τῶν προγόνων ἔργοις, καὶ ταῖς αὐτῶν ἡλικίαις, καὶ τοῖς φρονήμασι τοῖς ἡμετέροις; ὃ δὲ πάντων ἐστὶν ἀλγεινότατον· ὅταν τις ἴδῃ χωριζομένους ἀπ' ἀλλήλων, μὴ μόνον πολίτας ἀπὸ πολιτῶν, ἀλλὰ καὶ γυναῖκας ἀπ' ἀνδρῶν, καὶ τέκνα ἀπὸ μητέρων, καὶ πᾶσαν τὴν συγγένειαν διαλυομένην· ὃ πολλοῖς τῶν ἡμετέρων πολιτῶν διὰ τὰς ἀπορίας συμβέβηκεν. ὁ γὰρ κοινὸς βίος ἀπολωλὼς, ἰδίας ἐλπίδας ἕκαστον ἡμῶν ἔχειν πεποίηκεν. Οἶμαι δ' ὑμᾶς οὐδὲ τὰς ἄλλας αἰσχύνας ἀγνοεῖν, τὰς διὰ πενίαν καὶ φυγὴν γιγνομένας, ἃς ἡμεῖς τῇ μὲν διανοίᾳ χαλεπώτερον τῶν ἄλλων κακῶν φέρομεν. τῷ δὲ λόγῳ παραλείπομεν, αἰσχυνόμενοι λίαν ἀκριβῶς τὰς ἡμετέρας αὐτῶν ἀτυχίας ἐξετάζειν. ὧν ὑμᾶς αὐτοὺς ἀξιοῦμεν ἐνθυμουμένους, ἐπιμέλειαν τινὰ ποιήσασθαι περὶ ἡμῶν. καὶ γὰρ οὐδ' ἀλλότριοι τυγχάνομεν ὑμῖν ὄντες, ἀλλὰ ταῖς μὲν εὐνοίαις ἅπαντες οἰκεῖοι, τῇ δὲ συγγενείᾳ τὸ πλῆθος ἡμῶν. διὰ γὰρ τὰς ἐπιγαμίας τὰς δοθείσας, ἐκ πολιτίδων ὑμετέρων γεγόναμεν, ὥστε οὐχ οἷόν τε ὑμῖν ἀμελῆσαι, περὶ ὧν ἐληλύθαμεν δεησόμενοι. καὶ γὰρ ἂν ἁπάντων εἴη δεινότατον, εἰ πρότερον μὲν ἡμῖν μετέδοτε τῆς πατρίδος τῆς ὑμετέρας αὐτῶν, νῦν δὲ μηδὲ τὴν ἡμετέραν ἀποδοῦναι δόξειεν ὑμῖν· ἔπειτα οὐδ' εἰκὸς ἕνα μὲν ἕκαστον ἐλεεῖσθαι τῶν περὶ τὸ δίκαιον δυστυχούντων, ὅλην δὲ πόλιν οὕτως ἀνόμως διεφθαρμέ-

μᾶλλον, μηδὲ καταμικρὸν οἴκτου δυνηθῆναι τυχεῖν, ἄλλως τε καὶ παρὸς ὑμᾶς καταφυγόσαν· οἷς οὐδὲ τὸ πρότερον αἰσχρῶς, οὐδ' ἀκλεῶς ἀπέβη τὰς ἱκέτας ἐλεήσασιν· ἐλθόντων γὰρ Ἀργείων ὡς τοὺς προγόνους ὑμῶν, καὶ δεηθέντων ἀνελέσθαι τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας, πείσαντες ὑπ' ἐκείνων, καὶ Θηβαίους ἀναγκάσαντες βουλεύσασθαι τοιμότερον, οὐ μόνον αὐτοὶ κατ' ἐκείνους τοὺς χρόνους εὐδοκίμησαν, ἀλλὰ καὶ τῇ πόλει δόξαν ἀείμνηστον εἰς ἅπαντα τὸν χρόνον καταλιπόν· ἧς οὐκ ἄξιον προδότας γενέσθαι. καὶ γὰρ αἰσχρὸν φιλοτιμεῖσθαι μὲν ὅπλοις τοῖς τῶν προγόνων ἔργοις, φαίνεσθαι δ' ἐκείνοις πανταχοῦ περὶ τῶν ἱκετῶν πράττοντας· καίτοι πολὺ περὶ μειζόνων καὶ δικαιοτέρων λόγου τὰς δεήσεις ποιησόμενοι. οἱ μὲν γὰρ ὅπλων ἀλλοτρίαν στρατιὰν ἥκετον, ἱκέτευον ὑμᾶς· ἡμεῖς δὲ, καὶ ἡμετέρων αὐτῶν δεόμενοι ἀπολωλεκότες· κἀκεῖνοι μὲν παρεκάλουν ὅπλα τοῖς μὲν πεντηκοντούτοις ἐπαμῦναι, ἡμεῖς δὲ ὅπλα τοῖς πάνυ νεωτάτοις συμπολεμῆσαι. ἔστι δ' οὐκ ἴσον κακὸν, οὐδ' ὅμοιον, τοὺς τεθνεῶτας ἀφεῖσθαι, καὶ τοὺς ζῶντας πατρίδος ἀποστερεῖσθαι, καὶ τῶν ἄλλων ἀγαθῶν ἁπάντων. ἀλλὰ τὸ μὲν δεινότερον τοῖς πολυύστοις, ἢ τοῖς ἀτυχήσασι· τὸ δὲ μηδεμίαν ἔχοντα καταφυγὴν, ἀλλὰ ἄπολιν γενόμενον, καθ' ἑκάστην τὴν ἡμέραν πάσχειν ταῦτα, καὶ τοῖς αὐτῷ συμφέρειν, μὴ δυνάμενον ὠφελεῖν, τί δεῖ λέγειν ὅσον τὰς ἄλλας συμφορὰς ὑπερβέβηκεν; Ὑπὲρ ὧν, ἅπαντας ὑμᾶς ἱκετεύομεν ἀποδοῦναι τὴν χάριν ἡμῖν καὶ τὴν πόλιν. τοὺς μὲν πρεσβυτέρους ὑπομιμνήσκοντες, ὡς οἰκεῖον τοὺς τηλικούτους ὁρᾶσθαι δυσυχοῦντας, καὶ τῶν καθ' ἡμέραν ἀπορουμένους· τοὺς δὲ νεωτέρους ἀντιβολοῦντες δεόμενοι βοηθεῖν τοῖς ἡλικιώταις, καὶ μὴ περιιδεῖν ἔτι πλείω κακὰ τῶν ἐρημιῶν παθόντας. Ὀφείλετε δὲ μόναις τῶν Ἑλλήνων τοῦτον τὸν ἔρανον, ἀναστάτοις ἡμῖν γεγενημένοις ἐπαμῦναι· καὶ γὰρ τοὺς ἡμετέρους προγόνους φασὶν, ἐκλιπόντων τῶν

ὑμετέρων πατέρων ἐν τῷ Περσικῷ πολέμῳ πεύτλων τὴν χώραν, μόνους τῶν ἔξω Πελοποννήσου, κοινωνοὺς ἐκείνοις τῶν κινδύνων γενομένους, σωσιπατρίδας τὴν πόλιν αὐτοῖς. ὥστε δικαίως αὖ τὴν αὐτὴν εὐεργεσίαν ἀπολαβοιμὶ, καὶ περ αὐτὸς τυγχάνω εἰς ὑμᾶς ὑπάρξαντες. Εἰ δ' ἔν τῳ μηδὲν ὑμῖν τῶν σωμάτων τῶν ἡμετέρων δέδοκται φροντίζειν, ἀλλὰ τὴν γε χώραν, ἃ πρὸς ὑμῶν ἔξην ἀπολαχέσθαι πεπορθημένην, ἐν ᾗ μίγιστα σημεῖα τῆς ἀρετῆς τῆς ὑμετέρας, καὶ τῶν ἄλλων τῶν συναγωνισαμένων κατελέλειπται· τὰ μὲν γὰρ ἄλλα ξόανα πόλει πρὸς πόλιν γέγονεν· ἐκεῖνα δὲ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος, πρὸς ὅλην τὴν ἐκ τῆς Ἀσίας δύναμιν ἔστηκεν· ἃ Θηβαῖοι μὲν εἰκότως ἀφανίζουσι· τὰ γὰρ μνημεῖα τῶν κακῶν ἐχθρικὰ, αἰσχύνην πᾶσιν ἐστίν· ὑμῖν δὲ προσῆκεν ἀγαπᾶζειν· ὃς ἐκείνων μὲν τῶν ἔργων ἡγεμόνες κατέστητε τῶν Ἑλλήνων. Ἄξιον δὲ καὶ τῶν Ἡρώων μιμεῖσθαι τοὺς ἐκεῖνον τὸν τόπον κατεχόντων, καὶ μὴ φθονεῖν τὰς τιμὰς αὐτῶν καταλυομένας, οἷς ὑμεῖς καλλιερησάμενοι, τοιοῦτον ὑπέστητε κίνδυνον, ὃς καὶ τοὺς καὶ τοὺς ἄλλους ἅπαντας Ἕλληνας ἠλευθέρωσε. Χρὴ δὲ καὶ τῶν προγόνων ποιήσασθαί τινα πρόνοιαν, καὶ μὴ ἀθυμεῖν περὶ τῆς ἐκείνης εὐσεβείας, ἐνθυμουμένους ὅπως αὖ δόξετε (εἴ τις ἄρα τοῖς ἐκεῖ φρόνησις ἔστι περὶ τῶν ἐνθάδε γιγνομένων) εἰ καλῶν ὑπαρχόντων ὑμῶν, αἰσθοιντο, τοὺς μὲν δουλεύειν τοῖς βαρβάροις ἀξιώσαντας, δεσπότας τῶν ἄλλων Ἑλλήνων καθεσταμένους· ὑμᾶς δὲ τοὺς ὑπὲρ τῆς ἐλευθερίας συναγωνισαμένους, μόνους τῶν Ἑλλήνων ἀπαθεῖς γεγενημένους. καὶ τοὺς μὲν τῶν κινδυνευσάντων πάντας μὴ τυγχάνοντας τῶν νομιζομένων, στυγεῖν τῶν ποιητῶν, Θηβαίους δὲ, τοὺς ναυμαχίᾳ διαπρεψαμένους κρατοῦντας τῆς χώρας ἐκείνης. Ἐνθυμεῖσθε δὲ, ὅτι Λακεδαιμονίων μίγιστα ἐποιεῖτο κατηγορίαν, ὅτι Θηβαίοις χαριζόμενοι τοὺς τῶν Ἑλλήνων προδότους, ὑμᾶς

μᾶς

μᾶς τοὺς εὐεργέτας διέφθειραν. Μὴ τοίνυν ἐάσητε ταύτην τὴν βλασφημίαν περὶ τὴν ὑμετέραν γενέσθαι πόλιν, μηδὲ τὴν ὕβριν τὴν τούτων ἀντὶ τῆς παρούσης ἕλησθε δόξης. Πολλῶν δ' ἐνόντων εἰπεῖν, ἐξ ὧν ἄν τις ὑμᾶς ἐπαγάγοιτο, μᾶλλον φροντίσαι τῆς ἡμετέρας σωτηρίας, οὐ δύναμαι βραχεῖ λόγῳ πάντα περιλαβεῖν, ἀλλ' αὐτοὺς ὑμᾶς χρὴ καὶ τὰ παραλελειμμένα συνιδόντας, καὶ μνησθέντας μάλιστα μὲν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἔπειτα καὶ τῆς ἡμετέρας εὐνοίας καὶ τῆς τούτων ἐχθρας, ψηφίσασθαι τὰ δίκαια περὶ ἡμῶν.

10367

ΛΟΥ.

ΛΟΥΚΙΑΝΟΥ

ΣΑΜΟΣΑΤΕΩΣ

Πατρίδος Ἐγκώμιον.

Ὅτι μὲν οὐδὲν γλύκιον ἧς Πατρίδος φθάνει, τεροτεθρυλλημένον. ἆρ' οὖν ἥδιον μὲν οὐδὲν, σεμνότερον δέ τι, καὶ θειότερον ἄλλο; καὶ μὴν ὅσα σεμνὰ καὶ θεῖα νομίζουσιν ἄνθρωποι, τούτων Πατρὶς αἰτία, καὶ Διδάσκαλος, γεννησαμένη, καὶ ἀναθρεψαμένη, καὶ παιδευσαμένη. Πόλεων μὲν οὖν μεγέθη, καὶ λαμπρότητας, καὶ πολυτελείας κατασκευῶν θαυμάζουσι πολλοὶ, Πατρίδας δὲ στέργουσι πάντες. καὶ τοσοῦτον οὐδεὶς ἐξηπατήθη τῶν καὶ πάνυ κεκρατημένων ὑπὸ τῆς κατὰ τὴν θέαν ἡδονῆς, ὡς ὑπὸ τῆς ὑπερβολῆς τῶν παρ' ἄλλοις θαυμάτων, λήθην ποιήσασθαι τῆς Πατρίδος. Ὅς τις μὲν οὖν σεμνύνεται πολίτης ὢν εὐδαίμονος πόλεως, ἀγνοεῖν μοι δοκεῖ, τίνα χρὴ τιμὴν ἀπονέμειν τῇ Πατρίδι. καὶ ὁ τοιοῦτος δῆλός ἐστιν ἀχθόμενος ἂν, εἰ μετριωτέρας ἔλαχε τῆς Πατρίδος. Ἐμοὶ δὲ ἥδιον, αὐτὸ τιμᾷν τὸ τῆς Πατρίδος ὄνομα. πόλεις μὲν γὰρ παραβαλεῖν πειρωμένῳ προσήκει, μέγεθος ἐξετάζειν καὶ κάλλος, καὶ τὴν τῶν ὠνίων ἀφθονίαν. ὅπου δ' αἵρεσίς ἐστι πόλεων, οὐδεὶς ἂν ἕλοιτο τὴν λαμπροτέραν, ἐάσας τὴν Πατρίδα, ἀλλ' εὔξαιτο μὲν ἂν εἶναι καὶ τὴν Πατρίδα ταῖς εὐδαίμοσι παραπλησίαν, ἕλοιτο δ' ἂν τὴν ὁποιανοῦν. Τὸ δ' αὐτὸ τοῦτο καὶ οἱ δίκαιοι τῶν παίδων πράττουσι, καὶ οἱ χρηστοὶ τῶν Πατέρων. οὔτε

γὰρ

γὰρ νέος παλὸς ἀγαθὸς ἄλλου ἂν προτιμήσαι τὴ Παξὸς, ἢ τε Πατὴρ καταμελήσας τὴ παιδὸς, ἕτερον ἂν τέρξαι νέον. ἀλλὰ τοσοῦτόν γε οἱ πατέρις νικῶμεν, προαιρέμενοι τοῖς παισὶν, ὥστε καὶ κάλλιστοι καὶ μέγιστοι, καὶ τοῖς πᾶσιν ἄριστα φαίνονται κεκοσμημένοι οἱ παῖδες αὐτοῖς. ὅσις δὲ μὴ τοσοῦτός ἐστι δικαστὴς πρὸς τὸν υἱὸν, ἃ δοκεῖ μοι Παξὸς ὀφθαλμὰς ἔχειν. Παξίδος τοίνυν τὸ ὄνομα, πρῶτον καὶ οἰκειότατον πάντων. εἰδὼς γὰρ, ὅ,τι τὴ Παξὸς οἰκειότερον. εἰ δέ τις ἀπονέμει τῷ Παξὶ τιμὴν δικαίαν τινὰ, ὥσπερ καὶ ὁ νόμος καὶ ἡ φύσις κελεύει, προσηκόντως ἂν τὴν Παξείδα προκρίνοι. καὶ γὰρ ὁ Πατὴρ αὐτὸς, τῆς Παξίδος κτῆμα, καὶ ὁ τῆ παξὸς πατὴρ, καὶ οἱ ἐκ πάππων οἰκεῖοι πάντες ἀνωτέρω. καὶ μέχρι Θεῶν Παξέων πρόεισιν ἀναβιβαζόμενον τὸ ὄνομα. Χαίρουσι γὰρ Θεοὶ Παξίοις, καὶ πάντα μᾶλλον, ὡς εἰκὸς, ἐφορῶσι τὰ τῶν ἀνθρώπων, αὐτῶν ἡγεμόνες τιμήματος, πᾶσάν γῆν καὶ θάλασσαν. ἐφ' ἧς δὲ ἕκαστος αὐτῶν ἐβλάστο, προτιμᾷ τῶν ἄλλων ἁπασῶν πόλεων. Καὶ πόλεις σεμνότεραι, Θεῶν Παξίδες. καὶ νῆσοι θειότεραι, παρ' αἷς ὑμνῶνται βλάστοις Θεῶν ἱεραὶ γᾶν κεχαρισμέναι πάντα κομίζεται τοῖς Θεοῖς, ἐπειδὰν εἰς τὰς οἰκείας ἕκαστος ἀφικόμενος ἱερουργῇ τόπους. εἰ δὲ Θεοῖς τίμιον τὸ τῆς Παξίδος ὄνομα, πῶς οὐκ ἀνθρώποις πολὺ γε μᾶλλον; καὶ γὰρ εἰδὼς τὸν ἥλιον πρῶτον ἕκαστον λέγω τῆς Παξίδος, ὡς καὶ τὸν τὸν Θεὸν, εἰ καὶ κομψός ἐστιν, ἀλλ' ὧν ἐκάστῳ νομίζεσθαι παξῴων, ἀλλὰ τῶν πρώτων λέγω τὸ τόπῳ θεάν. καὶ φωνῆς ὀπταύθα ἤρξατο, ὅπηχαία πρῶτα λαλεῖν μανθάνων, καὶ Θεὰς ἐγνώρισεν. Εἰ δέ τις τοιαύτης ἔλαχε Παξείδος, ὡς ἑτέρας δεήθηναι πρὸς τινὰ τῶν μειζόνων παιδείων, ἀλλ' οὐκ ἐχέτω καὶ τούτων τῶν παιδευμάτων τῇ Παξίδι τὴν χάριν. οὐ γὰρ ἂν ἐγνώρισεν ἁδὲ πόλεως ὄνομα, μὴ δι' τῆς Παξείδος πόλιν εἶναι μαθών. Πάντα δὲ, οἶμαι, παιδεύ-

μα-

ματα καὶ μαθήματα συλλέγουσιν ἄνθρωποι, χρησιμωτέρους αὐτοὺς ἀπὸ τούτων ταῖς Πατρίσι παρασκευάζοντες. κτῆνται δὲ καὶ χρήματα, φιλοτιμίας ἕνεκεν τῆς εἰς τὰ κοινὰ τῆς Πατρίδος δαπανήματα, καὶ εἰκότως, οἶμαι. δεῖ γὰρ οὐκ ἀν χαρίστους εἶναι τοὺς τῶν μεγίστων τυχόντας εὐεργεσιῶν. ἀλλ' εἰ καὶ τοῖς καθ' ἕνα τις ἀπονέμοι χάριν, ὥσπερ ἐστὶ δίκαιον, ἐπειδὰν εὖ πάθῃ τοῦ τινος, πολὺ μᾶλλον προσήκει τὴν Πατρίδα τοῖς καθήκουσιν ἀμείβεσθαι. Κακώσεως μὲν γὰρ γονέων εἰσὶ νόμοι παρὰ ταῖς πόλεσι. κοινὴν δὲ προσήκει πάντων μητέρα τὴν Πατρίδα νομίζειν, καὶ χαριστήρια τροφῶν ἀποδιδόναι καὶ τῆς τῶν νόμων αὐτῶν γνώσεως. Ὤφθη δὲ οὐδεὶς οὕτως ἀμνήμων τῆς Πατρίδος, ὡς ἐν ἄλλῃ πόλει γενόμενος ἀμελεῖν. ἀλλ' οἵτε κακοπραγοῦντες ἐν ταῖς ἀποδημίαις, συνεχῶς ἀνακαλοῦσιν, ὡς μέγιστον τῶν ἀγαθῶν ἡ Πατρίς. οἵτε εὐδαιμονοῦντες, ἂν καὶ τὰ ἄλλα εὖ πράττωσι, τοῦτο γοῦν αὐτοῖς μέγιστον ἐνδεῖν νομίζουσι, τὸ μὴ τὴν Πατρίδα οἰκεῖν, ἀλλὰ ξενιτεύειν. ὄνειδος γὰρ τὸ τῆς ξενιτείας, καὶ τοὺς κατὰ τὸν τῆς ἀποδημίας χρόνον λαμπροὺς γενομένους, ἢ διὰ χρημάτων κτῆσιν, ἢ διὰ τιμῆς δόξαν, ἢ διὰ παιδείας μαρτυρίαν, ἢ δι' ἀνδρείας ἔπαινον, ἔστιν ἰδεῖν ἐς τὴν Πατρίδα πάντας ἐπειγομένους, ὡς οὐκ ἂν ἐν ἄλλοις βελτίοσιν ἐπιδειξομένους τὰ αὐτῶν καλά. καὶ τοσούτῳ γε μᾶλλον ἕκαστος σπεύδει λαβέσθαι τῆς Πατρίδος, ὅσῳ περ ἂν φαίνηται μειζόνων παρ' ἄλλοις ἠξιωμένος. Ποθεινὴ μὲν οὖν καὶ νέοις Πατρὶς, τοῖς δὲ ἤδη γεγηρακόσιν ὅσῳ πλέον τοῦ φρονεῖν, ἢ τοῖς νέοις μέτεστι, τοσούτῳ καὶ πλείων ἐγγίνεται πόθος ὁ τῆς Πατρίδος. ἕκαστος γοῦν τῶν γεγηρακότων καὶ σπεύδει, καὶ εὔχεται καταλῦσαι τὸν βίον ἐπὶ τῆς Πατρίδος, ἵν' ὅθεν ἤρξατο βιοῦν, ἐνταῦθα πάλιν καὶ τὸ σῶμα παρακατάθηται τῇ θρεψαμένῃ γῇ, καὶ τῶν πατρίων κοινωνήσῃ τάφων. δεινὸν γὰρ ἑκάστῳ δοκεῖ ξενίας

ἁλίσκε-

ἁλίσκεσθαι, καὶ μετὰ θάνατον ἐν ἀλλοτρίᾳ κειμένῳ γῇ. Ὅσον δὲ τῆς εὐνοίας τῆς πρὸς τὰς Πατρίδας μέτεστι τοῖς ὡς ἀληθῶς γνησίοις πολίταις, μάθοι τις ἐκ τῶν αὐτοχθόνων. οἱ μὲν γὰρ ἐπήλυδες, καθάπερ νόθοι, ῥᾳδίας ποιοῦνται τὰς μεταναστάσεις, τὸ μὲν τῆς Πατρίδος ὄνομα μήτε εἰδότες, μήτε στέργοντες, ἡγούμενοι δ' ἁπανταχῇ τῶν ἐπιτηδείων εὐπορήσειν, μέτρον εὐδαιμονίας, τὰς τῆς γαστρὸς ἡδονὰς τιθέμενοι. Οἷς δὲ καὶ μήτηρ ἡ Πατρὶς, ἀγαπῶσι τὴν γῆν, ἐφ' ἧς ἐγένοντο, καὶ ἐτράφησαν, κἂν ὀλίγην ἔχωσι, κἂν τραχεῖαν καὶ λεπτόγεων, κἂν ἀπορῶσι τῆς γῆς ἐπαινέσαι τὴν ἀρετὴν, τῶν γε ὑπὲρ τῆς Πατρίδος οὐκ ἀπορήσουσιν ἐγκωμίων. ἀλλὰ κἂν ἴδωσιν ἑτέρους σεμνυνομένους πεδίοις ἀνειμένοις, καὶ λειμῶσι φυτοῖς παντοδαποῖς διειλημμένοις, καὶ αὐτοὶ τῶν τῆς Πατρίδος ἐγκωμίων οὐκ ἐπιλανθάνονται. τὴν δὲ ἱπποτρόφον ὑπερορῶντες, καὶ κουροτρόφον ἐπαινοῦσι. Καὶ ἀσεύδει τις ἐς τὴν Πατρίδα, κἂν νησιώτης ᾖ, κἂν παρ' ἄλλοις εὐδαιμονεῖν δύνηται· καὶ διδομένην ἀθανασίαν οὐ προσήσεται, προτιμῶν τὸν ἐπὶ τῆς Πατρίδος τάφον. καὶ ὁ τῆς Πατρίδος αὐτῷ καπνὸς, λαμπρότερος ὀφθήσεται τοῦ παρ' ἄλλοις πυρός. Οὕτω δὲ ἄρα τίμιον εἶναι δοκεῖ παρὰ πᾶσιν ἡ Πατρὶς, ὥστε καὶ τοὺς πανταχοῦ νομοθέτας ἴδοι τις ἂν, ἐπὶ τοῖς μεγίστοις ἀδικήμασιν, ὡς χαλεπωτάτην ἐπιβεβληκότας τὴν φυγὴν, τιμωρίαν. καὶ οὐχ οἱ νομοθέται μὲν οὕτως ἔχουσιν, οἱ δὲ πιστευόμενοι τὰς στρατηγίας ἑτέρως, ἀλλ' ἐν ταῖς μάχαις τὸ μέγιστόν ἐστι τῶν παραγγελμάτων τοῖς παρακταττομένοις, ὡς ὑπὲρ Πατρίδος αὐτοῖς ὁ πόλεμος, καὶ οὐδεὶς, ὅς τις ἂν ἀκούσας τούτου, κακὸς εἶναι θέλῃ. ποιεῖ γὰρ τὸν δειλὸν, ἀνδρεῖον, τὸ τῆς Πατρίδος ὄνομα.

ΤΟΥ ΑΥΤΟΥ ΤΥΡΑΝΝΟΚΤΟΝΟΣ.

Ἀνῆλθέ τις εἰς τὴν ἀκρόπολιν, ὡς ἀποκτενῶν τὸν Τύραννον· καὶ αὐτὸν μὲν οὐχ εὗρε. τὸν δὲ υἱὸν αὐτοῦ ἀποκτείνας, κατέλιπε τὸ ξίφος ἐν τῷ σώματι. ἐλθὼν ὁ Τύραννος, καὶ τὸν υἱὸν ἰδὼν ἤδη νεκρὸν, τῷ αὐτῷ ξίφει ἑαυτὸν ἀπέκτεινεν. αἰτεῖ ὁ ἀνελθὼν, καὶ τὸν τοῦ τυράννου υἱὸν ἀνελὼν, γέρας, ὡς Τυραννοκτόνος.

Δύω Τυράννους ἀποκτείνας, ὦ ἄνδρες δικασταὶ, μιᾶς ἡμέρας, τὸν μὲν ἤδη παρηβηκότα, τὸν δὲ ἀκμάζοντα, καὶ πρὸς διαδοχὴν τῶν ἀδικημάτων ἑτοιμότερον, ἥκω μίαν ὅμως ἐπ' ἀμφοτέροις αἰτήσων δωρεὰν, μόνος τῶν πώποτε Τυραννοκτόνων πληγῇ μιᾷ δύω πονηροὺς ἀποσκευασάμενος καὶ φονεύσας, τὸν μὲν παῖδα τῷ ξίφει, τὸν πατέρα δὲ τῇ πρὸς τὸν υἱὸν φιλοστοργίᾳ. Ὁ μὲν οὖν Τύραννος, ἀνθ' ὧν ἐποίησεν, ἱκανὴν ἡμῖν δέδωκε τιμωρίαν, ζῶν μὲν τὸν υἱὸν ἐπιδὼν προανῃρημένον παρὰ τὴν τελευτήν. τελευταῖον δὲ ἠναγκασμένος, τὸ παραδοξότατον, αὐτὸς αὑτοῦ γενέσθαι Τυραννοκτόνος. ὁ παῖς δὲ ὁ ἐκείνου τέθνηκε μὲν ὑπ' ἐμοῦ, ὑπηρέτησε δέ μοι καὶ ἀποθανὼν πρὸς ἄλλον φόνον· ζῶντι μὲν συναδικῶν τῷ πατρὶ, μετὰ θάνατον δὲ πατροκτονήσας ὡς ἐδύνατο. τὴν μὲν οὖν τυραννίδα ὁ παύσας εἰμὶ ἐγὼ, καὶ τὸ ξίφος, ὃ πάντα εἴργασται, ἐμόν. τὴν δὲ τάξιν ἐνήλλαξα τῶν φόνων, καὶ τὸν τρόπον ἐκαινοτόμησα τῆς τῶν πονηρῶν τελευτῆς· τὸν μὲν ἰσχυρότερον, καὶ ἀμύνασθαι δυνάμενον, αὐτὸς ἀνελὼν, τὸν γέροντα δὲ μόνῳ παραχωρήσας τῷ ξίφει. Ἐγὼ μὲν οὖν καὶ περιττότερόν τι ἐπὶ τούτοις ὤμην γενήσεσθαί μοι παρ' ὑμῶν, καὶ δωρεὰς λήψεσθαι ἰσαρίθμους τοῖς ἀνῃρημένοις, ὡς ἂν οὐ τῶν παρόντων ἀπαλλάξας ὑμᾶς μόνον, ἀλλὰ καὶ τῆς

τῶν

τῶν μελλόντων καινῶν ἐλπίδος, καὶ τὴν ἀλήθειαν βέβαιον ἀσφαλῶς, ἐδενὸς παραλελειμμένου κληρονόμως τῶν ἀδικημάτων. μεταξὺ δὲ πιπλώσθω, τοσαῦτα μεταρθώσας, ἀγέραστος ἀπελθεῖν παρ' ὑμῶν, καὶ μόνος σέρεσθαι τῶν ἀπ' ἐμοῦ ἀμοιβῶν, ἃς διεφύλαξα. Ὁ μὲν οὖν ἀντιλέγων ἀποφαίνοιτ', δοκεῖ μοι, ὁ πλούμενος, ὡς φησι, τῶν κοινῶν τῦτο ποιεῖν, ἀλλ' ὅτι τοῖς πεπλουτηκόσι λελυπημένος, καὶ ἀμυνόμενος τὸν ἐκείνοις τῶ πλούτω αἴτιον γεγενημένον. ὑμεῖς δὲ ἀνάκριθέτε με, ὦ ἄνδρες δικασταί, πρὸς ὀλίγον, τὸ ἐν τῇ τυραννίδι, καίπερ εἰδόσιν ὑμῖν ἀκριβῶς διηγημένα. καὶ ἵνα τὸ μέγεθος ἧττον μάθοιτ' ἀπ' αὐτῆς τῆς ἐμῆς, καὶ αὐτοὶ μᾶλλον ὠφεληθῆτε, λογιζόμενοι ὧν ἀπηλλάγητε. ἦν γὰρ, ὥσπερ ἄλλοις τισὶν ἤδη συμβέβηκε πολλάκις, ἀπλῶς καὶ ἡμεῖς τυραννίδα, καὶ μίαν δουλείαν ὑπεμείναμεν, ἀλλ' ἐνὸς ὑπηκούσαμεν δεσπότου, ἀλλὰ μόνοι τῶν πώποτε τὸ ὅμοια δυστυχησάντων, δύο αὖθ' ἑνὸς τυράννου εἴχομεν, καὶ πρὸς διττὰ οἱ δυστυχεῖς ἀδικήματα διηρήμεθα. μειζότερος δὲ ὁ πρεσβύτης ἦν πεπαιπολὺ, καὶ πρὸς τὰς ὀργὰς ὑπτιώτερος, καὶ πρὸς τὰς κολάσεις ἀμβλύτερος, καὶ πρὸς τὰς ὀπτθυμίας βραδύτερος, ὡς ἂν ἤδη τῆς ἡλικίας τὸ μὲν σφοδρότερον τῆς ὁρμῆς ἐπεχούσης, τὰς δὲ τῶν ἡδονῶν ὀρέξεις χαλινοπαγούσης. καὶ πρός γε τὴν ἀρχὴν τῶν ἀδικημάτων ὑπὸ τῆ παιδὶ ἄκων προσῆχθαι ἐλέγετο, καὶ πάνυ τυραννικὸς αὐτὸς ὤν, ἀλλ' εἶκεν ἐκείνῃ· φιλότεκνος γὰρ ἐς ὑπερβολὴν ἐγένετο, ὡς ἔδειξε. καὶ πάντα ὁ παῖς ἦν αὐτῷ, καὶ ἐκείνῃ ἐπείθετο, καὶ ἤδιχει ὅσα κελεύοι, καὶ ἐκόλαζεν ὡς προσάττοι, καὶ πάντα ὑπηρέτει, καὶ ὅλως ἐτυραννεῖτο ὑπ' αὐτῆς, καὶ δορυφόρος τῶν τῆ παιδὸς ὀπτθυμιῶν ἦν. ὀνειδίας δὲ, τῆς μὲν τιμῆς παρεχώρει καθ' ἡλικίαν ἐκείνῃ, καὶ μόνα ἔξεστα τῆ τῆς ἀρχῆς ὀνόματος· τὸ δ' ἔργον τῆς τυραννίδος, καὶ τὸ κεφάλαιον αὐτὸς ἦν· καὶ τὸ μὲν πιστὸν καὶ ἀσφαλὲς ἀπ' αὐτῆ παρεῖχε τῇ δυ-

δυνασείᾳ, τὴν δ' ἀπόλαυσιν μόνος ἐκαρπᾶτο τῶν ἀδικημάτων. ἐκεῖνος ἦν ὁ τὰς δορυφόρους συνέχων, ὁ τὴν φρουρὰν κρατυνόμενος, ὁ τὰς τυραννικὰς ἐγκόπτων, ὁ τὰς ἐπιβαλλόμενος φοβῶν. ἐκεῖνος ὁ τὰς ἐφήβους ἀναστρώννυς, ὁ συνβεύζων τοὺς γάμους. ἐκείνῳ αἱ παρθένοι ἀνήγοντο. καὶ εἴτινες σφαγαὶ, καὶ εἴτινες φυγαὶ, καὶ χρημάτων ἁφαιρέσεις, καὶ βάσανοι, καὶ ὕβρεις, πάντα ταῦτα τολμήματα ἦν τότε. ὁ γέρων δ' ἐκείνῳ ἠκολούθει, καὶ συνῆδικει, καὶ ἐπῄνει μόνον τὰ τῶν παίδων ἀδικήματα, καὶ τὸ παράγγελμα ἡμῖν ἀφόρητον κατεστήκει. Ὅταν γὰρ αἱ τῆς γνώμης ἐπιθυμίαι τὴν ἐκ τῆς ἀρχῆς ἐξουσίαν προσλάβωσιν, ἐδοὺς ὅρον ποιοῦνται τῶν ἀδικημάτων. μάλιστα δὲ ἐκεῖνο ἐλύπει, τὸ εἰδέναι μακρὰν, μᾶλλον δὲ ἄπιστον τὴν ἐλευθερίαν ὑπολαμβάνοντα, καὶ πόλιν ἄλλην Δαιδάλου, καὶ πονηρῷ κληρονόμημα χρησόμενον τὸν δῆμον. Ὡς τοῖς γε ἄλλοις ἡ μικρά τις ἐλπὶς αὕτη, τὸ λογίζεσθαι, καὶ πρὸς αὑτοὺς λέγειν. ἀλλ' ἤδη παύσεται, ἀλλ' ἤδη τεθνήξεται, καὶ μετ' ὀλίγον ἐλεύθεροι χρησόμεθα. ἐπ' ἐκείνων δὲ οὐδεὶς τοιοῦτον ἐλπίζετο, ἀλλ' ἐωρῶμεν ἤδη ἕτοιμον τὸν τῆς ἀρχῆς διάδοχον. Τοιγαροῦν οὐδ' ἐπιχειρεῖν τις ἐτόλμα τῷ χρωμένῳ, καὶ τὰ αὐτοῦ ἐμοὶ προαιρουμένῳ, ἀλλ' ἀπέγνωσο πανταχόθεν ἡ ἐλευθερία, καὶ ἄμαχος ἦν τυραννὶς ἐδόκει, πρὸς τοσαύτης ἐσομένης τῆς ἐπιχειρήσεως. ἀλλ' οὐκ ἐμὲ ταῦτ' ἐφόβησεν, οὐδὲ τὸ δυχερὲς τῆς παραξέως λογισάμενος ἀπῳκνησα, οὐδὲ πρὸς τὸν κίνδυνον ἀπεδειλίασα. μόνος δὲ, μόνος πρὸς ἅπαντας ἐχώρουν καὶ πολλῶν τὴν τυραννίδα, μᾶλλον δὲ οὐδὲ μόνος, ἀλλὰ μετὰ τῶν ξίφους ἀπτομένων τὰ συμμαχικὰ, καὶ τὸ μέρος συμπεπτωκυίας τῆς πόλεως, πρὸ ὀφθαλμῶν μὲν τὸν τελευτὴν ἔχων, ἀλλαξόμενος δ' ὅμως τὸν κοινὸν ἐλευθερίαν τῆς σφαγῆς τῆς ἐμῆς. Εὐτυχοῦν δὲ τῇ πρώτῃ φορᾷ, καὶ ῥᾳδίως μὲν ῥᾳδίως τοὺς δορυφόρους, καὶ τὸν ἐντυγχάνοντα κτείνων, καὶ τὸ αὖ

θά-

θισάμβων πρὶν δηφθέιραν, ὅτι τὸ κεφάλαιον αὐτὸ τῆς ἐργασίας ἐμόν, ὅτι τὴν μόνην τῆς τυραννίδος ἰσχύν, ὅτι τὴν ἀσφάλειαν τῆς ἡμετέρας συμφορᾶς. Καὶ ἐπισὰς τῆς ἀκροπόλεως φρυάττω, καὶ ἰδὼν γυναικᾶς ἀμυνομένας, καὶ αὐθισάμβων, πολλοῖς ἐαύμασιν, ὅμως ἀπέκτεινα. Καὶ ἡ μὲν τυραννὶς ἤδη καθῄρητο, καὶ πέρας εἶχέ μοι τὸ τόλμημα, καὶ τὰ ἀπ' ἐκείνης, πάντες μὲν ἐλεύθεροι· ἐλείπετο δ' ὁ τύραννος· ἔστι, μόνος, ἄνοπλος, ἀποβεβλημένως τὰς φύλακας, ἀπολωλεκὼς τὸν μέγαν ἐκεῖνον αὐτῷ δορυφόρον, ἔρημος, καὶ γεγυμνάσθαι ἔτι χειρὸς ἄξιος. Ἐνταῦθα τοίνυν πρὸς ἐμαυτὸν, ὦ ἄνδρες δικασταί, τοιαῦτα ἐλογισάμην· πάντ' ἔχει μοι καλῶς, πάντα πεπόρθωται, πάντα κατώρθωται. τίνα οὖν ὁ λοιπὸς πολεμεῖν ἔρον; ἐμὲ μὲν γὰρ οὐκ ἀξιοῖ, καὶ τῆς ἐμῆς δεξιᾶς, καὶ μάλιστα ἐν ἔργῳ λαμπρῷ καὶ νεανικῷ καὶ θυμοῦ ἀπηρτισμένος, καταιχμῶν κἀκεῖνον τὴν σφαγήν. ἄξιον δέ τινα δεῖ ζητῆσαι δήμιον, ἀλλὰ μὴ τοῦ συμφορεῖ; μηδὲ τὴν αὐτοῦ κερδαίνειν. ἀδέκω, πολεμήσω, ὡς βραχίμιον ἔχω τὸ ξίφος. πάντα τὰ λοιπὰ ἐντέλλομαι. τοιοῦτος βεβλημένος, αὐτὸς μὲν ἐκποδὼν ἀπηλλαττόμην. ὁ δὲ, ὅπερ ἐγὼ προμαντευσάμην, διεπράξατο, καὶ ἐτυραννοκτόνησε, καὶ τέλος ἐπέθηκε τῷ ἐμῷ δράματι. Πάρεσμι τοίνυν κομίζων ὑμῖν τὴν δημοκρατίαν, καὶ θαρρεῖν ἤδη προχειρίττων ἅπασι, καὶ τὴν ἐλευθερίαν διαγγελιζόμενος. Ἤδη ἂν ἐπελαύνειν τῶν ἔργων τῶν ἐμῶν. καὶ μὲν, ὡς ὁρᾶτε, πόρρω ἡ ἀκρόπολις, ἐπιπάττει δὲ ἤδη· ἀλλὰ καὶ τιμᾶν ἔξεστι, καὶ δικάζειν, καὶ ἀντιλέγειν καὶ τοῖς νόμοις. καὶ πάντα ταῦτα γεγένηται δι' ἐμὲ ὑμῖν, καὶ διὰ τὴν τόλμαν τὴν ἐμὴν, κἀκεῖνος ἐκεῖνα φόνος, μεθ' οὗ οὐκ ἔτι ζῆν πατρὶ ἐδόκουν. Ἀξιῶ δ' ἂν ὅτι πάντες, τῶν ὀφειλομένων μοι ἆθλα παρ' ὑμῶν δωρεὰν, καὶ φιλοκερδὴς, καὶ μικρολόγος τις ὤν, καὶ ὅτι μισθῷ τὴν πατρίδα ἐξεργαστεῖν προῃρημένος, ἀλλὰ βεβαιωθῆναί μοι βεβλημένος

τὰ κατορθώματα τῇ δωρεᾷ, καὶ μὴ διαβληθῆναι, μηδ' ἄδοξον γενέσθαι τὴν ἐπιχείρησιν τὴν ἐμὴν, ὡς ἀτελῆ, καὶ γέρως ἀναξίαν κεκριμένην. Οὗτοσὶ δὲ ἀντιλέγει, καίφησιν, οὐκ εὔλογον ποιεῖν με, τιμᾶσθαι θέλοντα, καὶ δωρεὰν λαμβάνειν. οὐ γὰρ εἶναι τυραννοκτόνον, οὐδὲ πεπρᾶχθαί μοί τι κατὰ τὸν νόμον, ἀλλ' ἐνδεῖν τι τῷ ἔργῳ τῷ ἐμῷ, πρὸς ἀπαίτησιν τῆς δωρεᾶς. Πανθάνομαι τοίνυν αὐτοῦ, τί λοιπὸν ἀπαιτεῖς παρ' ἐμοῦ; οὐκ ἐβουλήθην; οὐκ ἀνῆλθον; οὐκ ἐφόνευσα; οὐκ ἠλευθέρωσα; μή τις ἐπιτάττει; μή τις κελεύει; μή τις ἀπειλεῖ Δεσπότης; μή τις με τῶν κακούργων διέφυγεν; οὐκ ἂν εἴποις· ἀλλὰ πάντα εἰρήνης μεστὰ, καὶ πάντες οἱ νόμοι, καὶ ἐλευθερία σαφὴς, καὶ δημοκρατία βέβαιος, καὶ γάμοι ἀνύβριστοι, καὶ παῖδες ἀδεεῖς, καὶ παρθένοι ἀσφαλεῖς, καὶ ἑορτάζουσα τὴν κοινὴν εὐτυχίαν ἡ πόλις. Τίς οὖν ὁ τούτων ἁπάντων αἴτιος; τίς ὁ ἐκεῖνα μὲν παύσας, τὰ δὲ παρεσχημένος; εἰ γὰρ τίς ἐστι τῶν πρὸ ἐμοῦ τιμᾶσθαι δίκαιος, παραχωρῶ τοῦ γέρως, ἐξίσταμαι τῆς δωρεᾶς. εἰ δὲ μόνος ἐγὼ πάντα διεπραξάμην, τολμῶν, κινδυνεύων, ἀνιὼν, ἀναιρῶν, κολάζων, δι' ἀλλήλων τιμωρούμενος, τί μου διαβάλλεις τὰ κατορθώματα; τί δὲ ἀχάριστον πρός με τὸν δῆμον ποιεῖς εἶναι; Οὐ γὰρ αὐτὸν ἐφόνευσας τὸν τύραννον, ὁ δὲ νόμος τυραννοκτόνῳ δίδωσι τὴν δωρεάν. Διαφέρει δὲ, εἰπέ μοι, τί, ἢ αὐτὸν ἀνελεῖν, ἢ τοῦ θανάτου παραχεῖν τὴν αἰτίαν; ἐγὼ μὲν γὰρ οὐδὲν οἶμαι. ἀλλὰ τοῦτο μόνον ὁ νομοθέτης εἶδε, τὴν ἐλευθερίαν, τὴν δημοκρατίαν, τὴν τῶν δεινῶν ἀπαλλαγήν. τοῦτ' ἐτίμησε, τοῦτ' ἄξιον ἀμοιβῆς ὑπέλαβεν, ὅπερ οὐκ ἂν εἴποις μὴ δι' ἐμὲ γεγενῆσθαι. εἰ γὰρ ἐφόνευσα, δι' ὃν ἐκεῖνος ζῆν οὐκ ἐδύνατο, αὐτὸς εἴργασμαι τὴν σφαγήν· ἐμὸς ὁ φόνος, ἡ χεὶρ ἐκείνου. Μὴ τοίνυν ἀκριβολογοῦ ἔτι περὶ τοῦ τρόπου τῆς τελευτῆς, μηδ' ἐξέταζε ὅπως ἀπέθανεν, ἀλλ' εἰ μηκέτ' ἐστιν, εἰ δι' ἐμὲ τὸ μηκέτ' εἶναι ἔχει. ἐπεὶ κἀκεῖνο προσεξετάσειν

μοι

μοι δοκεῖς, καὶ συκοφαντήσειν τὰς διεργέτας, εἰ τις μὴ ξίφει, ἀλλὰ λίθῳ, ἢ ξύλῳ, ἢ ἄλλῳ τῷ ὅπῳ ἀπέκτεινε. Τί δή; εἰ λιμῷ ἐξεπολιόρκησα τὸν τύραννον, τὴν ἀναγκαίαν τῆς πολιτῆς παρέχων, ἀπιτεῖς ἂν καὶ τότε περὶ ἐμοῦ ἀυτόχειρα τῷ σφαγεῖ; ἢ σὺ δεῖν ἔλεγές μοι τὸ ῥητὸς τοῦ νόμου, καὶ ταύτην χαλεπώτερον τὴν κακοῦργον πεφονευμένου; ἂν μόνον ἐξέπεφε, τοῦτο ἀπαίτει, τοῦτο πολυπραγμόνει· τίς τῶν πορρωτέρω λειπεται; ἢ τίς ἐλπὶς τοῦ φόβου; ἢ τί ἐπόμενα τῶν συμφορῶν; εἰ δὲ καθαρὰ πάντα, καὶ εἰρωνικὰ, συκοφαντητέος ἐστί; τῷ ὅπῳ τῶν πεφαρμαγμένων χρωμένου, ὑποστρέφειν ἐθέλειν τὴν δίκην τοῖς πεπονημένοις δώρεαν. Ἐγὼ δὲ καὶ τοῦτο μέμημαι διηγορευμένον ἐν τοῖς νόμοις, ἐκτὸς εἰ μὴ ἀλλὰ τῶν πολλῶν διελεῖν ὑπολείπεται τῷ ἐν αὐτοῖς εἰρημένῳ, αἱ τίνες θανάτου εἶναι δίκαι, εἴ τις αὐτὸς ἀπέκτεινεν, ἢ εἴτις μὴ αὐτὸς ἀπέκτεινε, μηδὲ τῇ χειρὶ ἔδρασε τὸ ἔργον, ἀναγκάσας δὲ, καὶ παρέχων αἰφορμὴν τοῦ φόνου, ἴσα καὶ τοῦτον ἀξιοῖ ὁ νόμος αὐτὸν ἀντικολάζεσθαι· μέμαε δικαίως· ἐγὼ γὰρ ἐβούλετο τοῦ πεφαρμαγμένου ἦσον γίγνεσθαι τὸ τῆς αἰδείας, καὶ τοξότη λοιπὸν ἡ ἐξέτασις τοῦ ὅπου τῆς σφαγῆς· Εἶτα τὸν μὲν ὅπως ἀποκτείνοντα πολάζειν ὡς ἀνδροφόνον δικαιοῖς, καὶ ἀδαμῶς ἔφεσθαι θέλεις; τὸν δὲ ἐξ ἑτέρου τοῦ ὅπου εὖ πεποιηκότα τὴν πόλιν, καὶ τῷ ὁμοίῳ ἀξιώσεις τοῖς διεργέταις; Οὐδὲ γὰρ ἐκεῖνό ἂν ἔχοις λέγειν, ὡς ἐγὼ μὲν ἁπλῶς αὐτὸ ἐφαξα, ἠπολύθησε δέ τι τέλος ἄλλως χρῆσον, ἐμοῦ μὴ θελήσαντος. τί δὲ ἔτι ἐδεῖτο, τοῦ ἰσχυροτέρου πεφονευμένου; τί δὲ κατέλιπον τὸ ξίφος ἐν τῇ σφαγῇ, εἰ μὴ πάντως τὸ ἐσόμενον αὐτὸ πορευμενησόμενον; Ἐκτὸς εἰ μὴ τοῦτο φὴς, ὡς ὁ τύραννος ὁ πεθνεὼς ἐμοὶ, καὶ ταύτῃ εἶχε τοῦ προσηγορεύσου, καὶ δωρεὰς ἐπ' αὐτῷ πολλὰς, εἰ ἀπεθάνοι, ἡδέως ἂν ὑμεῖς ἐδώκατε· ἀλλ' ἴσθι ἂν εἴποις· εἶτα τοῦ τυράννου πεφονευμένου, τῷ τὴν αἰτίαν παρέχοντι τῆς σφαγῆς οὐκ ἀποδώσεις τὴν δω-

ραύ; ὦ τῆς πολυπραγμοσύνης. μέλει δέ σοι πῶς ἀπέθανεν, ἀπολαύοντι τῆς ἐλευθερίας; ἢ τὸν τῶν δημοκρατίων ἀποδέδωκότα, ὥστε περὶ τούτου προσαπαιτεῖς; Καίτοι ὄγε τόμος, ὡς φῄς, τὸ κεφάλαιον ἐξετάζει τῆς πεπραγμένων, τὸ διὰ μέσου δὲ πάντα ἐᾷ, καὶ οὐκ ἔτι πολυπραγμονεῖ. τί γάρ; οὐχὶ ἐξελύσας τις τύραννον, ἤδη τιμὴν ἔλαβε τυραννοκτόνου; καὶ μάλα δικαίως· ἐλευθερίαν γὰρ κἀκεῖνος αὐτὶ δουλείας παρέσχηται. τὸ δὲ ὑπ' ἐμοῦ γεγραμμένον, ὦ φύγα, οὐδὲ ἐλευθέρας ἁπασασάσθω ἐλπίς, ἀλλὰ παντελὴς καθαίρεσις, καὶ πανολεθρία παντὸς τοῦ γένους, καὶ ῥιζόθεν τὸ δεινὸν ἅπαν ἐκκομμένον. Καί μοι, πρὸς Θεῶν, ἤδη ἀπ' ἀρχῆς ἐς τέλος, εἰ δοκεῖ, πάντα ἐξέτασατε, εἴ τι πῶν πρὸς τὸν νόμον ἀξιόλογον ἐλήλεπται, καὶ εἰ ἐνδεῖ τῆς προσεῖναι ὀφειλόντων τυραννοκτόνῳ. πρῶτα μοι δὴ γνώμην προϋπάρχειν χρὴ φρονίαν καὶ φιλόπολιν, καὶ πρὸ τῆς κοινῶν κινδύνων ἐθέλειν, καὶ τῆς οἰκείας θυγατρὸς τὴν τῆς πολλῶν σωτηρίαν ὠνήσασθαι. ἆρ' ἂν πρὸς τοῦτο ἐνεδέησα, ἐμαλακίσθην, ἢ προειδόμενός τινα τῆς διὰ μέσου κινδύνων ἀπώκνησα; καὶ ἄν ὅπως. Μόνε τοίνυν δεῖ τοῦτο ὅτι μόνε, καὶ νόμιζε τὸ θελῆσαι μόνον, καὶ τὸ βεβουλεῦσθαι ταῦτα, εἰ καὶ μὴ χεῖρα ἐπεβεβήκει, ἔκτε τῆς γνώμης αὐτὸς κατασάντα με, χέρας ἀξιῶν, ὡς συνεργέτην λαμβάνειν, ἐμὲ μὲν ἀδιαπθέντος, ἄλλα δὲ μετ' ἐμὲ τετυραννοκτονηκότος, ἄλογον, εἰπέ μοι, ἢ ἄγνωμον ἂν φάσκειν; καὶ μάλιστα, εἰ ἔλεγον, ἄνδρες, ἐβουλόμην, ἠθέλησα, ἐπεχείρησα, ἐπεράθην τῆς γνώμης, μόνος ἀξιός εἰμι τιμᾶσθαι, τί ἂν ἀπεκρίνω τότε; νυνὶ δὲ ἃ τότε φημι, ἀλλὰ καὶ ἐνῆλθον, καὶ ἐπεβούλευσα, καὶ μυρία πρὸ τῆς τε πεπρᾶχθαι φυγῆς ἐπέπρακα. Μὴ γὰρ ἔτι ῥᾴδιον, μηδ' εὐχερὲς ὑπολάβητε εἶναι τὸ πρᾶγμα, φρουρὰν ὑπερβῆναι, καὶ δορυφόρων κρατῆσαι, καὶ ξέφαθαι τοσούτους μόνον, ἀλλὰ χαλεπὸν τὸ μέγιστον ἐν τῇ τυραννοκτονίᾳ, καὶ τὸ κεφάλαιον τῆς ἔργων, τὸ τόξευσαι.

ἀ ἐν

ἠγὼ δὴ αὐτός γε ὁ τύραννος, μέγα, καὶ δυσάλωτον καὶ δυσκατέργαστόν ἐστιν, ἀλλὰ τὸ φρουροῦντα καὶ συνέχοντα τὴν τυραννίδα, ἄτις ἂν ποτ' ἦσθα, πάντα ἔστω σε παρῆσθαι, καὶ τὸ λοιπὸν ὀλίγον. τὸ δὲ δὴ ἄχθος τῆς τυραννίδος προσελθεῖν, οὐκ ἂν ὑπάρξειέ μοι, μὴ ἐγὼ τῆς περὶ αὐτὸν φυλακῆς ἁπάντων κρατικότι, κἀκείνους ἅπαντας προσκυνικότι. Οὐδὲν ἔτι προσίθημι, ἀλλ' ὅτι τῶν αὐθις μέτα. φυλακῆς ἐκράτησα, δορυφόρους ἐκέκτημαι, τὸν τύραννον ἀφύλακτος, ἄοπλον, γυμνὸν ἀπέδωκα. τιμῆς ἄξιος ὅτι τοῖς ἄλλοις δοκῶ, ἢ ἔτι ἀπιστεῖς παρ' ἐμοῦ τὸν φόνον; ἀλλ' εἰ καὶ φόνον ζητεῖς, οὐδὲ τοῦτο ἐνδεῖ, οὐδ' ἀναίμακτός εἰμι, ἀλλ' ἔργαστμαι μεγάλῳ καὶ γενναίῳ σφαγίῳ γενέσθαι ἀκμάζοντος, καὶ πᾶσι φοβεροῦ, δι' ὃν ἀνεπιβούλευτος ἐκεῖνος ἦν, ᾧ μόνῳ ἐθάρρει, ὃς ἀντὶ πολλῶν ἤρκει δορυφόρων. Ἆρ' οὖν οὐκ ἄξιος, ὦ ἄνες, δωρεᾶς, ἀλλ' ἄτιμος ὅτι πλείστοις γένωμαι; τί γὰρ, εἰ δορυφόρου ἕνος; τί δ', εἰ ὑπηρέτῳ τινὰ τοῦ τυράννου ἀπέκτεινα; τί δ' εἰ οἰκέτου τίμιον; ἀ μέγα μὲν ἔδοξε καὶ τοῦτο, ἀνελθόντα ἐν μέσῃ τῇ ἀκροπόλει, ἐν μέσοις τοῖς ὅπλοις, φόνον τινὸς ἐργάσασθαι τῶν τυράννου φίλων; νυνὶ δὲ καὶ τὸν περιόντα αὐτὸν ἴδε· οἷός ἦν τύραννος, μᾶλλον δὲ τύραννος χαλεπώτερος, καὶ δυσπόρευτος ἀπαραίτητος, καὶ χολᾶσαι ῥᾴδιος, καὶ ὑβρίσαι βιαιότερος· τὸ δὲ μέγιστον, κληρονόμος τῆς ὅλως, καὶ ἔγγονος, καὶ ἐπιπολὺ σβεσθεῖσαν τὰς ἡμετέρας συμφορὰς ἀναίθων. Βιλεῖ τοῦτο μόνον περιῆχθαί μοι, ζῆν δ' ἔτι τὸν τύραννον ὑπεριφλύοντα; γέρας δὴ ὅτι τοῦτο αἰτῶ. τί φῂς; ἀ δώσεις; οὐχὶ κἀκεῖνον ὑφαιρεῖσθαι; ἀ δυστυχής, ἀ βαρύς, ἀπ' ἀφόρητος ἦν; νυνὶ δὲ καὶ τὸ κεφάλαιον αὐτὸ ἐννόησατε· ὃ γὰρ ὅτος αἰτεῖ παρ' ἐμοῦ, τοῦτο, ὡς ἐγῷμαι, ἄρτι διεπραξάμην, καὶ τὸν τύραννον ἀπέκτεινα ἑτέρῳ φόνῳ, οὐχ ἁπλῶς, οὐδὲ πληγῇ μιᾷ, ὅπερ δύσκτιστον ἦν αὐτῷ ἐπὶ πολυσάρκοις ἀδικήμασιν, ἀλλὰ λύπῃ προβασανίσας

πολλῇ, καὶ ἐν ὀφθαλμοῖς δείξας τὰ φίλτατα οἰκτρῶς προκειμένους, οὐδὲν ἐν ἡλικίᾳ, εἰ καὶ πονηρὸν, ἀλλ' ἐν καὶ ἀκμάζοντα, καὶ ὅμοιον τῷ πατρὶ, αἵματος καὶ λύθρου ἐμπεπλησμένον. Ταῦτ' ἐστὶ πατέρων τὰ ξαύματα, ταῦτα ξίφη δίκαια Τυραννοκτόνων, ἄτος θανάτου ἄξιος αἰμῶν τυραννίνων, αὗται τιμωρίαι πρέπουσα τοσούτοις ἀδικήμασι. τὸ δ' οὐθὺς ἀποθανεῖν, τὸ δ' οὐθὺς ἀγνοῆσαι, τὸ δὲ μηδὲν τοιοῦτο θέαμα ἰδεῖν, οὐδὲν ἔχει τυραννικῆς κολάσεως ἄξιον. Οὐ γὰρ ἠγνόουν, ὦ ἄτος, οὐκ ἠγνόουν, οὐδὲ τῷ ἄλλων οὐδείς, ὅσῳ ἐκεῖνος εὐγενὴς καὶ ὁ τὸν υἱὸν ἔχων, καὶ ὡς οὐκ ἂν ὦ ἠξίωσεν ἐπβιῶναι οὐδ' ὀλίγον αὐτῷ χρόνον. πολλὴ μὲν γὰρ πατρὸς ἴσως πρὸς τὰς παῖδας τοιαῦτα, ὁ δὲ καὶ φιλοτεκνότατος τῷ ἄλλων ἦν· εἰκότως, ὁρῶν μόνον ἐκεῖνον κηδεμόνα, καὶ φύλακα τῆς τυραννίδος, καὶ μόνον παρακινδυνεύοντα τῇ Παρῷ, καὶ τὴν ἀσφάλειαν τῇ ἀρχῇ παρέχοντα. ὥστε εἰ καὶ μὴ δι' αὐτὸν, ἀλλὰ δι' αὐτὸν ἀπολωλεκότες τὴν ἀρχὴν, οὐθὺς ἠπιστάμην τεθνηξόμενος αὐτὸν, καὶ λογιζόμενος, ὡς οὐδὲν ἔτι τοῦ ζῆν ὄφελος τῆς ἐκ τῆς παιδὸς ἀσφαλείας καθηρημένης. ἅπαντα τοίνυν αὐτῷ ἀθρόα παρῆσαν, αὐτὴ φύσις, αὐτὸς λύπη, αὐτὸ λογισμὸς, τὸν φόβον, τὰς ὅτι μὴ μελλόντων ἐλπίδας χρόνων, ἐπ' αὐτὸν ἐχθροποιοῦσα τοῖς συμμάχοις. καὶ οὐδὲ τὸν τελευταῖον ἐκεῖνον σκέψιν κατέλιπόν σοι· ἀπέθανον ὑμῖν ἄτεκνος, λελυπημένος, ὀδυρόμενος, δακρύων, πεποιθὼς πένθος, ὀλιγοχρόνιον μὲν, ἀλλ' ἱκανὸν πατρί. καὶ τὸ δεινότατον, αὐτὸς ὑφ' αὐτῶν, ὃς περ θανάτου οἴκτιστος, καὶ πολλῷ χαλεπώτερος, ἢ εἰ ὑπ' ἄλλου γίγνοιτο. Πῶ μοι τὸ ξίφος; μή τις ἄλλος τῶν γαμβρὸς ἔχει; μή τινος ἄλλου ὅπλον τῶν τοῦ; τίς αὐτὸ ἐς τὴν ἀκρόπολιν ἀνεκόμισε; παρὰ τῶν τυραννίδα τίς ἐλήστατο; τίς αὐτὸ ἐπ' ἐκεῖνον ἀπέστειλεν; ὦ ξίφος κοινωνὸν, καὶ δεξάμενον τὴν ἐμῶν καταρθωμάτων. μὴ τοσούτους κινδύνους, μὴ τοσούτους πόνους ἀμελήμεθα, καὶ ἀνάξιοι δοκεῖμεν δωρεᾶς. Εἰ δὲ ὑπὲρ μό-

μόνου τούτου τὴν τιμὴν ᾔτουν παρ' ὑμῶν· εἰ γὰρ ἔλεγον, ἄνδρες, ἀποθανεῖν ἐθελήσαντι τῷ τυράννῳ, καὶ ἀνόπλῳ ἐπὶ τοῦ καιροῦ κατειλημμένῳ, ξίφος τοῦτο ἐμὸν ὑπηρέτησε, καὶ πρὸς τὸ τέλος τῆς ἐλευθερίας συνήργησε παντὶ, τοῦτο τιμῆς τε καὶ δωρεᾶς ἄξιον νομίσατε· δεσπότην οὕτω δημοτικοῦ κτήματος, οὐκ ἂν ἠμείψασθε; οὐκ ἂν ἐν τοῖς εὐεργέταις ἀνεγράψατε; οὐκ ἂν τὸ ξίφος ἐν τοῖς ἱεροῖς ἀνεθήκατε; οὐκ ἂν μετὰ τῶν Θεῶν ἐκεῖνο προσεκυνήσατε; νῦν μοι ἐννοήσατε, οἷα πεποιηκέναι εἰκὸς τὸν τύραννον, οἷα δὲ εἰρηκέναι πρὸ τῆς τελευτῆς. ἐπεὶ γὰρ ὑπ' ἐμοῦ φονευόμενος, καὶ τιτρωσκόμενος πολλοῖς τραύμασιν ἐς τὰ φανερὰ τοῦ σώματος, ὡς ἂν μάλιστα λυπήσειν ἔμελλον τὸν γεγεννηκότα, ὡς ἂν ἐκ τῆς πρώτης θέας διαταράξειν, ὁ μὲν, ἀνεβόησεν οἰκτρὸν, ἐπιβοώμενος τὸν γεγεννηκότα, οὐ βοηθὸν, οὐδὲ σύμμαχον, ᾔδει γὰρ πρεσβύτην ὄντα, καὶ ἀθενῆ, ἀλλὰ θεατὴν τῶν οἰκείων κακῶν. ἐγὼ δὲ ἀπηλλαττόμην, ποιητὴς μὲν τῆς ὅλης τραγῳδίας γεγενημένος, καταλιπὼν δὲ τῷ ὑποκριτῇ τὸν νεκρὸν, καὶ τὴν σκηνὴν, καὶ τὸ ξίφος, καὶ τὰ λοιπὰ τοῦ δράματος. ἐπιστὰς δ' ἐκεῖνος, καὶ ἰδὼν υἱὸν, ὃν εἶχε μόνον, ὀλίγον ἐμπνέοντα, ἡμαγμένον, ἐμπεπλησμένον τοῦ φόνου, καὶ τὰ τραύματα συνεχῆ, καὶ πολλὰ, καὶ καίρια, ἀνεβόησε τοῦτο· τέκνον, ἀνῃρήμεθα, πεφονεύμεθα, τετυραννοκτονήμεθα. ποῦ ὁ σφαγεύς; τίνι με τηρεῖ; τίνι με φυλάττει; διὰ σοῦ τέκνον προανῃρημένον, ἢ μήτι ὡς γέροντος ὑπερφρονεῖ; καὶ τῇ βραδυτῆτι κολάζειν δέον, πολλαπείνει μοι τὸν φόνον, καὶ μακροτέραν μοι τὴν σφαγὴν ποιεῖ. καὶ ταῦτα λέγων, ἐζήτει τὸ ξίφος· αὐτὸς γὰρ ἄνοπλος ἦν, διὰ τὸ πάντα τῷ παιδὶ θαρρεῖν. ἀλλ' οὐδὲ τοῦτο ἐνεδέησε, πάλαι δ' ἦν ὑπ' ἐμοῦ καὶ τοῦτο προπαρεσκευασμένον, καὶ πρὸς τὸ μέλλον τόλμημα καταλελειμμένον. ἀποσπάσας δὴ τῆς σφαγῆς, καὶ τοῦ τραύματος ἐξελὼν τὸ ξίφος, φησὶ πρὸ μικροῦ μέν με ἀπέκτεινας. νῦν δ' ἀνάπαυσον ξίφος.

πατρὶ πενθοῦντι παραμύθιον ἐλθὲ, καὶ πρεσβυτικῇ χειρὶ δυστυχούσῃ συναγώνισαι. ἀπόσφαξον, τυραννοκτόνησον, καὶ τοῦ πενθεῖν ἀπάλλαξον· εἴθε πρῶτος σοι ἐνέτυχον. εἴθε τὴν τάξιν προὔλαβον τοῦ φόνου. ἀπέθανον ἂν, ἀλλ' ἢ ὡς τύραννος μόνον, ἀλλ' ἔτι νομίζων ἕξειν ἔκδικον· νῦν δ' ὡς ἄτεκνος, νῦν δ' ὡς οὐδὲ φονέως εὐπορῶν. καὶ ταῦθ' ἅμα λέγων, ἐπῆγε τὴν σφαγὴν, τρέμων, οὐ δυνάμενος, ἐπιθυμῶν μὲν, ἀθενῶν δὲ πρὸς τὴν ὑπηρεσίαν τοῦ τολμήματος. πόσαι κολάσεις ταῦτα; πόσα τραύματα; πόσοι θάνατοι; πόσαι τυραννοκτονίαι; πόσαι δωρεαί; καὶ τέλος, ἑωράκατε πάντες τὸν μὲν νεανίαν τοροκείμενον, οὐδὲ μικρὸν, οὐδ' εὐκαταγώνιστον ἔργον. τὸν πρεσβύτην δὲ, αὐτῷ περικεχυμένον, καὶ τὸ αἷμα ἀμφοῖν ἀνακεκραμένον, τὴν ἐλευθέριον ἐκείνην, καὶ ἐπινίκιον ἀσονδὴν, καὶ τὰ ἔργα τοῦ ξίφους τοῦ ἐμοῦ. αὐτὸ δὲ τὸ ξίφος ἐν μέσῳ ἀμφοτέρων ἐπιδεικνύμενον, ὡς οὐκ ἀνάξιον γεγένηται τοῦ δεσπότου, καὶ μαρτυρόμενον ὅτί μοι πιστῶς διηκονήσατο. τοῦτο ὑπ' ἐμοῦ γενόμενον, μικρότερον ἦν· νῦν δὲ λαμπρότερόν ἐστι τῇ καινότητι. καὶ ὁ μὲν καθελὼν τὴν τυραννίδα πᾶσαν, εἰμὶ ἐγώ. μεμέρισται δ' ἐς πολλοὺς τὸ ἔργον, ὥσπερ ἐν δράματι. καὶ τὰ μὲν πρῶτα, ἐγὼ ὑπεκρινάμην. τὰ δεύτερα δὲ, ὁ παῖς. τὰ τρίτα δὲ, ὁ τύραννος αὐτός. τὸ ξίφος δὲ, πᾶσιν ὑπηρέτησεν.

ΤΟΥ ΑΥΤΟΥ ΑΠΟΚΗΡΥΤΤΟΜΕΝΟΣ.

Ἀποκηρυχθείς τις, ἰατρικὴν ἐξέμαθε. μανέντα τὸν πατέρα, καὶ ὑπὸ τῶν ἄλλων Ἰατρῶν ἀπεγνωσμένον, ἰασάμενος φαρμάκου δόσει, ἀνελήφθη αὖθις εἰς τὸ γένος. μετὰ ταῦτα, μεμηνυῖαν τὴν μητρυιὰν, ἰάσασθαι κελευόμενος, ἀποκηρύττεται.

Οὐ καινὰ μὲν ταῦτα, ὦ ἄνδρες δικασταὶ, οὐδὲ παράδοξα, ὑπὸ τοῦ πατρὸς ἐν τῷ παρόντι γιγνόμενα, οὐδὲ νῦν πρῶτον τὰ τοιαῦτα ὀργίζεται, ἀλλὰ πρόχειρος οὗτος ὁ νόμος αὐτῷ, καὶ συνήθως ἐπὶ τοῦτ' ἀφικνεῖται τὸ δικαστήριον. ἐκεῖνο δὲ καινότερον νῦν δυστυχῶ, ὅτι ἔγκλημα μὲν ἴδιον οὐκ ἔχω, κινδυνεύω δὲ τιμωρίαν ὑποσχεῖν ὑπὲρ τῆς τέχνης, εἰ μὴ πάντα δύναται πείθεσθαι τούτῳ κελεύοντι. οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; θεραπεύειν ἐκ προστάγματος, οὐκ ἔθ' ὡς ἡ τέχνη δύναται, ἀλλ' ὡς ὁ πατὴρ βούλεται; ἐβουλόμην μὲν οὖν τὴν ἰατρικὴν, καὶ τοιοῦτόν τι ἔχειν φάρμακον, ὃ μὴ μόνον τοὺς μεμηνότας, ἀλλὰ καὶ τοὺς ἀδίκως ὀργιζομένους, παύειν ἐδύνατο, ἵνα καὶ τὸ τοῦ πατρὸς νόσημα ἰασαίμην. νυνὶ δὲ τὰ μὲν τῆς μανίας αὐτῷ τέλεον πέπαυται, τὰ δὲ τῆς ὀργῆς μᾶλλον ἐπιτείνεται. καὶ τὸ δεινότατον, τοῖς μὲν ἄλλοις ἅπασι σωφρονεῖ, κατ' ἐμοῦ δὲ τοῦ θεραπεύσαντος, μόνου μαίνεται. τὸν μὲν οὖν μισθὸν τῆς θεραπείας, ὁρᾶτε οἷον ἀπολαμβάνω, ἀποκηρυττόμενος ὑπ' αὐτοῦ πάλιν, καὶ τοῦ γένους ἀλλοτριούμενος δεύτερον, ὥσπερ διὰ τοῦτ' ἀναληφθεὶς πρὸς ὀλίγον, ἵν' ἀτιμότερος γένωμαι πολλάκις ἐκπεσὼν τῆς οἰκίας. ἐγὼ δὲ, ἐν μὲν τοῖς δυνατοῖς, οὐδὲν κελευσθῆναι περιμένω. πρώην γοῦν ἄκλητος ἧκον ἐπὶ τὴν βοήθειαν. ὅταν δέ τι ᾖ τελέως ἀπεγνωσμένον, οὐδ' ἐπιχειρεῖν βούλομαι. ἐπὶ δὲ τῆς γυναι-

ευικὲς παύσης, εἰκότως, καὶ ἀπολυμότερός εἰμι. λογίζομαι γὰρ οἷα πάθοιμ' ἂν ὑπὸ τοῦ παρόντος δυστυχών. ὃς δὴ ἀρξάμενος τῆς θεραπείας, ἀποκρύπτομαι. Ἄχθομαι μὲν ἂν ὦ ἀνδρες δικασταὶ, ὅτι τὴν μηδυσίαν, χαλεπῶς ἐχόσην, χρησὶν γὰρ ἦν, καὶ ὅτι τῷ πατρὶ δι' ἐκείνων ἀπιστούμενος, τὸ δὲ μίγιστον, ἐπ' ἐμαυτῷ ἀπειθεῖν δοκοῦντι, καὶ ἃ προσάττομαι ὑπουργεῖν ἐ διωκημένος, καὶ δι' ὑπερβολὴν τῆς νόσου, καὶ ἀθεότητα τῆς τέχνης. πλὴν ἐ δίκαιον οἶμαι ἀποκρύπτεσθαι, τὸν ἃ μὴ δυνάτως ποιεῖν, μὴ δὲ τὴν ἀρχὴν ὑπισχνούμενον. δι' ἃς μὲν ἂν αἰτίας καὶ πρότερον ἀπεχείρησέ με, ῥᾴδιον συνιδεῖν ἐκ τῶν παρόντων· ἐγὼ δὲ καὶ πρὸς ἐκείνας μὲν ὡς οἶομαι, δικαίως τῷ μὴ πεῦτε βίῳ ἀπολογησάμενος. καὶ τοῦτ' δὲ, ἃ καιρὸς ἐγκαλεῖ, ὡσαὐτὸς οἷός τε ὢν ἀπολογήσομαι, μικρὰ ὑμῖν δεηθησάμενος τῶν ἐμῶν. Ὁ γὰρ δυσάγωγος, καὶ δυσπειθὴς ἐγὼ, ὁ καταιχμῶν τὸν πατέρα, καὶ ἀνάξια πράττων τῆ γένους, τότε μὲν αὐτῷ τὰ πολλὰ ἐκεῖνα βοῶντι, καὶ δεομένῳ, ὀλίγα χρῆναι ἀντιλέγειν ὠόμην. ἀπελθὼν δὲ τῆς οἰκίας, ἐνόμιζόν μοι δικαστήριον ἑστάναι μέγα, καὶ ψῆφον ἀληθῆ τὸν μὴ πεῦτε βίον, καὶ τὸ φαίνεσθαι πάμπολυ τῶν πατρῴων ἐγκλημάτων ἐκείνων ἀφεστηκότα, καὶ περὶ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων ἐσπουδακότα, καὶ τοῖς ἀρίστοις συνόντα. προεωρώμην δὲ καὶ τοιοῦτόν τι, καὶ ὑπώπτευον μὰ Δία, ὡς ἡ σφόδρα καθεστηκότος παρὸς, ἀδίκως ὀργίζεσθαι, καὶ ἐγκλήμασι ψευδῆ καθ' ἡμῶν συνιστάναι. καὶ πάνυ τινες, οἱ μανίας ἀρχὴν τοῦτ' εἶναι νομίζοντες, καὶ ἀπειλὴν, καὶ ἀκροβολισμὸν πρὸ τῆς μακρᾶς ἐπιτεταμένης τῆ κακῆ, μῖσος ἄλογον, καὶ νόμου ἀπώλειαν, καὶ βλασφημίας προχείρους, καὶ δικαστήριον σκυθρωπὸν, καὶ βολὴν, καὶ ὀργὴν, καὶ ὅλως χολῆς μεστὰ πάντα. διὸ δὴ πάσχω μοι, καὶ ἰατρικῆς δεήσειν ποτὲ προσεδόκων. Ἀποδημήσας δὲ, καὶ τοῖς δοκιμωτάτοις τῶν ὑπὲ τῆς ἀλοδαπῆς Ἑλλάδος συγγενόμενος, καὶ πόνῳ πολλῷ, καὶ προθυμίᾳ

μία λιπαρεῖ χρησάμενος, ἐξέμαθον τὴν τέχνην. ἐπανελθὼν δὲ, καταλαμβάνω τὸν πατέρα, σαφῶς ἤδη μεμηνότα, καὶ ὑπὸ τῶν ἐπιχωρίων Ἰατρῶν ἀπεγνωσμένον, οὐκ ἐς βάθος ὁρώντων, οὐδ' ἀκριβῶς φιλοκρινούντων τὰς νόσους. πλὴν, ὅπερ γε εἰκὸς ἦν ποιεῖν χρηστὸν υἱὸν, οὔτε ἐμνησικάκησα τῆς ἀποκηρύξεως, οὔτε μετάπεμπτος γενέσθαι περιέμεινα. οὐδὲ γὰρ εἶχόν τι αὐτῷ ἴδιον ἐγκαλεῖν, ἀλλὰ πάντα ἐκεῖνα ἦν ἀλλότρια τὰ ἁμαρτήματα, καὶ ὥσπερ ἔφην ἤδη, τῆς νόσου. Παρελθὼν οὖν ἄκλητος, οὐκ εὐθὺς ἰασάμην, οὐ γὰρ οὕτω ποιεῖν ἔθος ἐστὶν ἡμῖν, οὐδὲ ταῦτα ἡ τέχνη παραινεῖ, ἀλλὰ παντὸν πρῶτον διδασκόμεθα συνορᾶν εἴτε ἰάσιμόν ἐστι τὸ νόσημα, εἴτ' ἀνήκεστον, καὶ ὑπερβεβηκὸς τοὺς ὅρους τῆς τέχνης. καὶ τηνικαῦτα, ἢν μὲν εὐμεταχείριστον ᾖ, ἐπιχειροῦμεν, καὶ πᾶσαν ἀπουδὴν ἐσφερόμεθα σῶσαι τὸν νοσοῦντα. ἢν δὲ κεκρατηκὸς ἤδη, καὶ νενικηκὸς τὸ πάθος ἴδωμεν, οὐδὲ τὴν ἀρχὴν προσαπτόμεθα, νόμον τινὰ παλαιὸν τῶν προπατόρων τῆς τέχνης Ἰατρῶν φυλάττοντες, οἴφασι, μὴ δεῖν ἐπιχειρεῖν τοῖς κεκρατημένοις. ἰδὼν οὖν τὸν πατέρα ἔτι ἐντὸς τῆς ἐλπίδος, καὶ τὸ πάθος οὐχ ὑπὲρ τὴν τέχνην ἐπιπολὺ τηρήσας, καὶ ἀκριβῶς ἐξετάσας ἕκαστον, ἐπεχείρουν ἤδη, καὶ τὸ φάρμακον τεθαρρηκότως ἐνέχεον. Καίτοι πολλοὶ τῶν παρόντων ὑπώπτευον τὴν δόσιν, καὶ τὴν ἴασιν διέβαλλον, καὶ πρὸς κατηγορίας παρεσκευάζοντο. παρὴν δὲ καὶ ἡ μητρυιὰ φοβουμένη καὶ ἀπιστοῦσα, οὐ τῷ μισεῖν ἐμὲ, ἀλλὰ τῷ δεδιέναι, καὶ ἀκριβῶς εἰδέναι πονήρως ἐκεῖνον διακείμενον. ἠπίστατο γὰρ μόνη τὰ πάντα συνοῦσα, καὶ ὁμοδίαιτος τῇ νόσῳ. πλὴν ἀλλ' ἔγωγε οὐδὲν ἀποδειλιάσας, ἠπιστάμην γὰρ οὐ ψευσόμενά με τὰ σημεῖα, οὐδὲ προδώσουσαν τὴν τέχνην, ἐπῆγον τὴν ἴασιν ἐν καιρῷ τῆς ἐπιχειρήσεως. καίτοι κἀμοί τινες τῶν φίλων συνεβούλευον μὴ θρασύνεσθαι, μὴ καὶ διαβολήν τινα μείζω ἐνέγκῃ μοι τὸ ἀποτυχεῖν, ὡς ἀμυνομένῳ τὸν πατέρα φαρμάκῳ, καὶ μνησικακή-

σαν

σωμτι, ων ἐπεπόνθειν ὑπ' αὐτῆ. καὶ τὸ κεφάλαιον, σῶος μεν ἔτος δ' ὑδὺς λιᾶ, καὶ ἐσωφρόνει πάλιν, καὶ πάντα διεγίγνωσκεν. οἱ παρόντες δὲ, ἐθαύμαζον. ἐπίνει δὴ καὶ ἡ μῆτηρ, καὶ φωνὴ πᾶσιν ἦν χαίρειν, καὶ μοι δόκιμῶντι, καὶ ἐκείνῳ σωφρονοῦντι. Οὗτος δ' ἦν, μαρτυρεῖν γὰρ ἀυτῷ ἔχω, μήτε μελλήσας, μήτε σύμβουλόν τινα περὶ τούτων προσλαβών, ἐπειδὴ τὸ παῦ ἤκουσε τῶν παρόντων, ἔλυε μεν τὴν ἀποκήρυξιν, υἱὸν δὲ ἐξ ὑπαρχῆς ἐποιεῖτό με, σωτῆρα καὶ διεργέτην ἀποκαλῶν, ἀκριβῆ πεῖραν εἰληφέναι ὁμολογῶν, καὶ περὶ τῶν ἔμπροσθεν ἐκείνων ἀπολογούμενος. Ἦν τὸ ῥηθέμενον, εὔφρανε μεν πολλὰς, ὅσοι παρῆσαν χρηστοί· ἐλύπει δ' ἐκείνης, ὅσοις ἀποκήρυξις ἦν ἴδιον ἀπαλλάγματος. ἦδον γὰρ τότε οἱ πάντες ὁμοίως ἡδομένοις τῷ πράγματι, ἀλλ' ἑτέρου τινὸς καὶ χρέα ξυνομολογία, καὶ βλέμμα τεταραγμένον, καὶ πρόσωπον ὠργισμένον, οἷον ἐκ φθόνου, καὶ μίσους γίγνεται. Ἡμεῖς μεν ἦν, ὡς τὸ εἰκός, ἐν ἀφροσύναις καὶ θυμηδίαις ἦμεν, ἀλλήλας ἀπεκλαφύτες· ἡ μῆτηρ δὲ μετ' μικρὸν ἑτέρωθι νοσεῖν ἤρξατο, τόσον ὡ ἄνδρες δικασταὶ, χαλεπὸν, καὶ ἀθρύλλητον. ἀρχόμενον γὰρ ἑτέρωθι τὸ δεινὸν, παρεφύλαξα. ἐγὼ γὰρ ἁπλῶς, καὶ ἐπιπόλαιον τῆς μανίας τὸ εἶδος, ἀλλά τι παλαιὸν ὑποκυρεῖν ἐν τῇ ψυχῇ κακὸν ἀπέῤῥηξε, καὶ ἐς τὰμφανὲς ἐξεκύησε. πολλὰ μεν ἂν καὶ ἄλλα ἡμῖν ἔστι σημεῖα τῆς αὐτάτου μεμηνότων. ἓν δὲ ἐκεῖνο κοινὸν ὅτι τῆς γυναικὸς πάντως παρεφύλαξα. πρὸς μὲν γὰρ τὰς ἄλλας, ἡμερωτέρα, καὶ πρᾳεῖά ἐστι· καὶ παρόντων, εὐμοίρως ἄγει ἡ νόσος. αὖ δέ τινα ἰαχὴν ἴδῃ, καὶ τὰ ἀκίνητα μόνον, κατ' ἐκείνης μάλιστα παροξύνεται. ὅπερ καὶ αὐτὸ τῶν πονήρως καὶ ἀηκέστως ἔχειν ἔστι τεκμήριον. Ταῦτ' ὁρῶν, ἐγὼ μὲν ἠνιώμην, καὶ τὴν γυναῖκα φύσει ἄρτιον ἀξίαν ἔσαν, καὶ διὰ τὸ πρόσηκον δυστυχοῦσαν. ὁ Πατὴρ δὲ ὑπὸ ἰδιωτείας, ἐγὼ γὰρ οἶδα ὅπερ ἀρχὴν τοῦ κατέχοντος κακοῦ, ὅτε τὴν αἰτίαν, ἔτι τὸ μέγιστον τῆς πάθους, ἐκέλευον ἰᾶσθαι, καὶ τὸ ἥμιον ἐγ-

χάνει

χέαι φάρμακον. ᾤετο γὰρ ἓν εἶναι μανίας εἶδος, καὶ μίαν τὴν νόσον, καὶ τἀῤῥώστημα ταὐτὸν, καὶ παραπλησίαν τὴν θεραπείαν δεχόμενον. ἐπεὶ δὲ, ὅπερ ἀληθέστατον, ἀδύνατον εἶναί φημι σώζεσθαι τὴν γυναῖκα, καὶ ἡττᾶσθαι ὑπὸ τῆς νόσου ὁμολογῶ, ἀγανακτεῖ, καὶ ὀργίζεται, καὶ φησὶν ἑκόντα καθυφίεσθαι, καὶ προδιδόναι τὴν ἄνθρωπον, ἐγκαλῶν ἐμοὶ τὴν ἀσθένειαν τῆς τέχνης. καὶ πάσχει μὲν σύνηθες τοῖς λυπουμένοις. ὀργίζονται γὰρ ἅπαντες τοῖς μετὰ παῤῥησίας τἀληθῆ λέγουσι. Πλὴν ἔγωγε ὡς ἂν οἷός τε ᾦ, δικαιολογήσομαι πρὸς αὐτὸν, καὶ ὑπὲρ ἐμαυτοῦ, καὶ τῆς τέχνης. καὶ πρῶτόν γε ἀπὸ τοῦ νόμου ἄρξομαι, καθ' ὃν οὗτός με ἀποκηρύξαι βούλεται, ἵν' εἰδῇ οὐκ ἔθ' ὁμοίαν οὖσαν αὐτῷ νῦν τε καὶ πρότερον τὴν ἐξουσίαν. οὐ γὰρ ἅπασιν, ὦ Πάτερ, ὁ νομοθέτης, οὐδὲ πάντας υἱέας, οὐδὲ ὁσάκις ἂν ἐθέλωσιν ἀποκηρύττειν συγκεχώρηκεν, οὐδ' ἐπὶ πάσαις αἰτίαις, ἀλλ' ὥσπερ τοῖς πατράσι τὰ τηλικαῦτα ὀργίζεσθαι ἐφῆκεν, οὕτω καὶ τοῦδ παίδων προὐνόησεν, ὡς μὴ ἀδίκως αὐτὸ πάσχωσι. καὶ διὰ τοῦτο οὐκ ἐλευθέραν ἔφη γίγνεσθαι, οὐδ' ἄκριτον τὴν τιμωρίαν, ἀλλ' εἰς δικαστήριον ἐκάλεσε, καὶ δοκιμαστὰς ἐκάθησε τοὺς μήτε πρὸς ὀργὴν, μήτε διαβολὴν τὸ δίκαιον κρινοῦντας. ᾔδει γὰρ πολλοῖς πολλάκις ἀλόγους αἰτίας ὀργῆς παρισταμένας· καὶ τὸν μὲν, ψευδεῖ τινι διαβολῇ πειθόμενον, τὸν δὲ, οἰκέτῃ πιστεύοντα, ἢ γυναίῳ ἐχθρῷ· οὔκουν ἡγεῖτο ἀδίκαστον γίγνεσθαι τὸ πρᾶγμα, οὐδ' ἐξ ἐρήμης τοὺς παῖδας εὐθὺς ἁλίσκεσθαι, ἀλλὰ καὶ ὕδωρ ἐγχεῖται, καὶ λόγος ἀποδίδοται, καὶ ἀνεξέταστον οὐδὲν καταλείπεται. Ἐπεὶ τοίνυν ἔξεστι, καὶ τοῦ μὲν ἐγκαλεῖν μόνου ὁ Πατὴρ κύριος, τοῦ κρῖναι δὲ εἰ εὔλογα αἰτιᾶται, ὑμεῖς οἱ δικάζοντες, αὐτὸ μὲν, ὅμοι ἐπιφέρει, καὶ ἐφ' ᾧ νῦν ἀγανακτεῖ, μηδέπω σκοπεῖτε. πρότερον δ' ἐκεῖνο ἐξετάσατε, εἰ ἔτι δοτέον ἀποκηρύττειν αὐτῷ, ἅπαξ ἀποκηρύξαντι, χρησαμένῳ τῇ παρὰ τοῦ νόμου ἐξουσίᾳ, καὶ ἀποπληρώσαντι τὴν

πα-

πατρικὴν ταύτην δυναστείαν, εἶτ' αὖθις ἀναλαβόντι, καὶ λύσαντι τὴν ἀποκήρυξιν. ἐγὼ μὲν γὰρ ἀδικώτατον εἶναί φημι τὸ τοιοῦτο, ἀπεράντους γίγνεσθαι, καὶ τῶν παίδων τὰς τιμωρίας, καὶ πολλὰς τὰς καταδίκας, καὶ τὸν φόβον ἀΐδιον, καὶ τὸν νόμον, ἄρτι μὲν συνοργίζεσθαι, μετὰ μικρὸν δὲ λύεσθαι, καὶ πάλιν ὁμοίως ἰσχυρὸν εἶναι, καὶ ὅλως ἄνω καὶ κάτω στρέφεσθαι τὰ δίκαια, πρὸς τὸ ἐπὶ καιροῦ δοκοῦν τοῖς πατράσιν. ἀλλὰ τὸ μὲν πρῶτον ἄξιον ἐφιέναι, καὶ ἀγανακτοῦντι συναγανακτεῖν, καὶ κύριον τῆς τιμωρίας ποιεῖν τὸν γεγεννηκότα. ἢν δ' ἅπαξ ἀναλώσῃ τὴν ἐξουσίαν, καὶ καταχρήσηται τῷ νόμῳ, καὶ ἐμπλησθῇ τῆς ὀργῆς, εἶτα μετὰ ταῦτα ἀναλάβῃ, χρηστὸν εἶναι μεταπεισθεὶς, ἐπὶ τούτων ἀνάγκη μὲν μένειν, καὶ μηκέτι μεταπηδᾶν, μηδὲ μεταβουλεύεσθαι, μηδὲ μεταποιεῖν τὴν κρίσιν. Τοῦ μὲν γὰρ τὸν γεννηθέντα, πονηρὸν ἢ χρηστὸν ἀποβήσεσθαι, οὐδὲν οἶμαι γνώρισμα ἦν. καὶ διὰ τοῦτο τοὺς ἀναξίους τοῦ γένους παραιτεῖσθαι συγκεχώρηται τοῖς ὅτε ἠγνόουν ἀναθρεψαμένοις. ὅταν δὲ μὴ κατ' ἀνάγκην, ἀλλ' ὑπ' ἐξουσίας αὐτός τις ὑφ' ἑαυτοῦ καὶ δοκιμάσας ἀναλάβῃ, τίς ἔτι μηχανὴ μεταβάλλεσθαι, ἢ τίς ἔτι χρῆσις ὑπόλοιπος τοῦ νόμου; φαίη γὰρ ἂν πρὸς σὲ ὁ νομοθέτης, εἰ πονηρὸς οὗτος ἦν, καὶ τοῦ ἀποκηρυχθῆναι ἄξιος, τί παθὼν ἀνεκάλεις; τί δ' αὖθις ἐπανῆγες ἐς τὴν οἰκίαν; τί δ' ἔλυες τὸν νόμον; ἐλεύθερος γὰρ ἦσθα, καὶ τοῦ μὴ ποιεῖν ταῦτα κύριος. οὐ γὰρ δὴ ἐντρυφᾶν σοι δοτέον τοῖς νόμοις, οὐδὲ πρὸς τὰς σὰς μεταβολὰς ἀνάγεσθαι τὰ δικαστήρια, οὐδ' ἄρτι μὲν λύεσθαι, ἄρτι δὲ κυρίους εἶναι τοὺς νόμους, καὶ τοὺς δικαστὰς καθῆσθαι μάρτυρας, μᾶλλον δὲ ὑπηρέτας τῶν σοὶ δοκούντων, ὁτὲ μὲν κολάζοντας, ὁτὲ δὲ διαλλάττοντας, ὁπόταν σοι δοκῇ. ἅπαξ γεγέννηκας, ἅπαξ ἀνατέτροφας, ἅπαξ καὶ τὸ ἀποκηρύττειν ἀντὶ τούτων ἔχεις· καὶ τότε, ἢν δικαίως αὐτὸ ποιεῖν δοκῇς. τὸ δ' ἄπαυστον τοῦτο, καὶ ἀΐδιον, καὶ τολὺ, καὶ ῥᾴδιον, μεῖζον ἤδη πατρικῆς ἐστιν ἐξουσίας. Μὴ

δὴ

δὴ πρὸς Διὸς ὦ ἄνδρες δικασταὶ, συγχωρήσητε αὐτῷ ἑκούσιον τὴν ἀνάληψιν πεποιημένῳ, καὶ λύσαντι τὴν γνῶσιν τοῦ πάλαι δικαστηρίου, καὶ ἀκυρώσαντι τὴν ὀργὴν, αὖθις ἐπὶ τὴν αὐτὴν τιμωρίαν ἀνακαλεῖν, καὶ ἐπὶ τὴν ἐξουσίαν τὴν πατρικὴν ἀναστέχειν, ἧς ἔξωρος ἤδη, καὶ ἔωλος ἡ προθεσμία, καὶ μόνῳ τούτῳ ἄκυρος, καὶ προδεδαπανημένη. ὁρᾶτε γάρ που καὶ ἐν τοῖς ἄλλοις δικαστηρίοις, ὡς ἀπὸ μὲν τῶν κλήρῳ λαχόντων δικαστῶν, ἢν τις ἄδικον οἴηται γεγενῆσθαι τὴν κρίσιν, δίδωσιν ὁ νόμος εἰς ἕτερον ἐφεῖναι δικαστήριον. ἢν δέ τινες ἑκόντες αὐτοὶ συνθῶνται δικαστὰς, καὶ προελόμενοι ἐπιτρέψωσιν διαιτᾶν, οὐκ ἔτι. οἷς γὰρ ἐξὴν μηδὲ τὴν ἀρχὴν ἐμμένειν, εἰ τούτους τις αὐθαίρετος εἵλετο, στέργειν ἐστὶ δίκαιος τοῖς ἐγνωσμένοις. οὕτω δὴ καὶ σύ. ὃν ἐξὴν μηκέτ' ἀναλαμβάνειν, εἰ μὴ ἂν ἄξιος ἐδόκει τοῦ γένους, τοῦτον εἰ χρηστὸν ἡγησάμενος εἶναι πάλιν ἀνείληφας, οὐκ ἔτ' ἀποκηρύττειν ἕξεις. ὅτι γὰρ οὐκ ἄξιος αὖθις παθεῖν ταῦτα, ὑπ' αὐτοῦ σοῦ μεμαρτύρηται, καὶ χρηστὸς ἤδη ἀνωμολόγηται. ἀμετανόητον οὖν τὴν ἀνάληψιν, καὶ τὴν διαλλαγὴν βέβαιον εἶναι προσήκει μὴ κρίσιν οὕτω πολλὴν, καὶ δύω δικαστήρια· ἓν μὲν τὸ πρῶτον, ἐφ' οὗ παρῃτήσω. δεύτερον δὲ τὸν σὸν, ὅτε μετεβουλεύσω, καὶ ἀνάδαστον ἐποίησας, τὰ πρότερον ἐγνωσμένα λύσας, βεβαιοῖς τὰ μετ' ἐκεῖνα βεβουλευμένα. μένε τοίνυν ἐπὶ τῶν τελευταίων, καὶ φύλαττε τὴν σαυτοῦ κρίσιν. Πατέρα σε εἶναι δεῖ. τοῦτο γὰρ ἔδοξέ σοι, τοῦτ' ἐδοκίμασας, τοῦτ' ἐκύρωσας. ἐγὼ μὲν οὐδ' εἰ μὴ φύσει παῖς ἦν, θέμενος δὲ εἰ ἀποκηρύττειν ἤθελες, ἐξεῖναι ἂν σοι ᾠόμην· ὃ γὰρ τὴν ἀρχὴν ποιεῖν δυνατὸν ἦν, τοῦτ' ἄδικον λύειν ἅπαξ γενόμενον. τὸν δὲ καὶ φύσει, καὶ αὖθις προαιρέσει, καὶ γνώμῃ ἐπεποιημένον, πῶς εὔλογον αὖ ἀπωθεῖσθαι, καὶ πολλάκις τῆς μιᾶς οἰκειότητος ἀποστερεῖν; εἰ δ' οἰκέτης ὢν ἐτύγχανον, καὶ τὸ μὲν πρῶτον πονηρὸν οἰόμενος, ἐπέδησας, μεταπεισθεὶς δὲ ὡς οὐδὲν ἠδίκουν, ἐλεύθερον ἀφῆκας εἶναι,

ἆρ'

ἀρ' ἄν σοι πρὸς καιρὸν ὀργισθέντι, αὖθις ἐξῆν εἰς τὴν ὁμοίαν δουλείαν ἐπανάγειν; οὐδαμῶς. τὰ γὰρ τοιαῦτα, βέβαια, καὶ διαπαντὸς κύρια ὑπάρχειν οἱ νόμοι ἀξιοῦσιν. Ὑπὲρ μὲν οὖν τοῦ μηκέτ' ἐξεῖναι τούτῳ ἀποκηρύττειν, ὃν ἅπαξ ἀποκηρύξας, ἑκὼν ἀνέλαβεν, ἔτι πολλὰ εἰπεῖν ἔχων, ὅμως παύσομαι. Σκέψασθε δὲ ἤδη οἷον ὄντα, καὶ ἀποκηρύξει με, καὶ οὐδέπω τοῦτό φημι, ὡς τότε μὲν ἰδιώτην, νῦν δ' ἰατρόν. οὐδὲν γὰρ ἂν πρὸς τοῦτο ἡ τόχνη συναγωνίσαιτο. οὐδ' ὅτι τότε μὲν νέον, νῦν δὲ ἤδη καὶ προβεβηκότα, καὶ τὸ πιστὸν τοῦ μηδὲν ἀδικῆσαι ἂν πολλὰ τῆς ἡλικίας ἔχοντα, μικρὸν γὰρ ἴσως καὶ τοῦτο. ἀλλὰ τότε μὲν, εἰ καὶ μηδὲν ἠδικημένος ὡσὰν ἔγωγε φαίην, ἀλλ' οὐδ' εὖ πεπονθὼς, παρῃτεῖτο τῆς οἰκίας. νῦν δὲ σωτῆρα ἔναγχος, καὶ εὐεργέτην γεγενημένον· οὗ τί γένοιτ' ἂν ἀχαριστότερον. σωθέντα δι' ἐμὲ, καὶ τηλικοῦτον κίνδυνον διαπεφευγότα, τοῖς τοιούτοις εὐθὺς ἀμείβεσθαι, τῆς θεραπείας ἐκείνης οὐδ' ἕνα λόγον ἔχοντα, ἀλλ' οὕτω ῥᾳδίως ἐπιλελῆσθαι, καὶ ἐπὶ τὴν ἐρημίαν ἐλαύνειν, τὸν ἐφηθέντ' ἂν δικαίως, ἐφ' οἷς ἀδίκως ἐξεβέβλητο, μὴ μόνον δὲ οὐ μνησικακήσαντα, ἀλλὰ καὶ σώσαντα, καὶ σωφρονεῖν παρασκευάσαντα; οὐ γὰρ μικρὸν ὦ ἄνδρες δικασταὶ, οὐδὲ τὸ τυχὸν εὖ πεποιηκὼς αὐτὸν, ὅμως τῶν τοιούτων νῦν ἀξιοῦμαι. ἀλλ' εἰ καὶ οὗτος ἀγνοεῖ τὰ τότε, πάντες ὑμεῖς ἴστε οἷα ποιοῦντα αὐτὸν, καὶ πάσχοντα, καὶ ὅπως διακείμενον, ἐγὼ παραλαβὼν, τῶν μὲν ἄλλων ἰατρῶν ἀπεγνωκότων, τῶν δ' οἰκείων φευγόντων, καὶ μηδὲ πλησίον προσιέναι τολμώντων, τοιοῦτον ἀπέφηνα, ὡς καὶ κατηγορεῖν δύνασθαι, καὶ περὶ τῶν νόμων διαλέγεσθαι. Μᾶλλον δὲ ὁρᾷς ὦ πάτερ τὸ παράδειγμα. τοιοῦτον ὄντα σε παρ' ὀλίγον, οἷα νῦν ἡ γυνή ἐστι, πρὸς τὴν ἀρχαίαν φρόνησιν ἐπανήγαγον. οὐ δίκαιον οὖν τοιαύτην μοι γενέσθαι ἀντ' ἐκείνων τὴν ἀμοιβὴν, οὐδὲ κατ' ἐμοῦ σε μόνον σωφρονεῖν. ὅτι γὰρ μὴ μικρὰ ὑπ' ἐμοῦ εὐηργέτησαι, καὶ ἀπ' αὐτῶν, ὧν ἐγκαλεῖς, δῆλόν ἐστιν. ὃν

γὰρ

ὦ ὡς ἐν ἐχάτοις ἔσαν τὴν γυναῖκα, καὶ παμπονήρως ἔχουσαν, οὐκ ἰώμην μισεῖς, πῶς οὐ πολὺ μᾶλλον, ὅτι σε τῆς ὁμοίας ἀπήλλαξα, ὑπεραγαπᾷς, καὶ χάριν ὁμολογεῖς, τῆς ὅπως δεινῶν ἀπηλλαγμένος; σὺ δὲ, ὅπερ ἀγναμνέστατον, σωφρονίσας αὐτὴν εἰς δικαστήριον ἄγεις, καὶ σωφρονιστὴς κολάζεις, καὶ ὅτι τὸ ἀρχαῖον ἐκεῖνο μῖσος οὐκ ἔχεις, καὶ τὸν αὐτὸν ἀναγιγνώσκεις νόμον. καλὸν γὲ τὸν μισθὸν ἀποδίδως τῇ τέχνῃ, καὶ ἀξίας ἀμοιβὰς τῆς φαρμάκων, ὅτι τὸν ἰατρὸν ὑγιαίνων μόνον. Ὑμεῖς δὲ ὦ ἄνδρες δικασταὶ, τὸν ἀοργήτως πάνυ κολάζειν ὀφείλετε, καὶ τὸν σώσαντα ὀφελαυίειν, καὶ τὸν σωφρονίσαντα μισεῖν, καὶ τὸν ὠφελήσαντα τιμωρεῖσθαι; οὐκ, ἀλλὰ μὰ τὰ δίκαια ποιεῖτε. καὶ εἰ γάρ τὰ μέγιστα νυῦ ἁμαρτάνων ἐτύγχανον, ἀλλ' ὅμως ἀ μικρὰ προοφειλομένη χάρις, ἐς ἐμὲ ἀποβλέποντα τοῦτον, καὶ ἐς μεμνημένον, καλῶς εἶχε, τῆς μὲν παρόντων καταφρονεῖν, διὰ ἐκεῖνα δὲ πρόχειρον τὴν συγγνώμην ἔχειν, καὶ μάλιστα εἰ πλημμέλημα εἰς ὀργισθεὶς ἐτύγχανον, ὡς πάντα ὑπερπαίειν τὰ μὴ ταὐτὰ. ὅπερ οἶμαι χάριν πρὸς τοῦτον ὑπάρχειν, ὃν ἔσωσα, καὶ ὃς τὸν βίον μοι χρεώστης ἔδοξε μοι, καὶ ᾧ τὸ εἶναι, καὶ τὸ σωφρονεῖν, καὶ τὸ συνιέναι παρέχημαι. καὶ μάλιστα ὅτι οἱ ἄλλοι πάντες ἤδη ἀπηγορεύκεσαν, καὶ ἄπτας εἶναι ὁμολόγουν τῆς νόσου. τοῦτο δὲ μείζων οἶμαι ποιεῖν τὴν ἐμὴν ἐργεσίαν, ὡς ὅτε ὑγὸς ὢν τότε, ἅτε ἀναγκαίαν τῆς θεραπείας ἔχων αἰτίαν, ἀλλ' ἀλλόθερος παθεσὼς, καὶ ἀλλόβιος, τῆς φυσικῆς αἰτίας ἀφαιρεθείς, ὅμως ἀ ὠφειλόν, ἀλλ' ἐθελοντὴς, ἄκλητος, αὐτεπάγγελτος ἦκον. ἐβοήθησα, προσελιπάρησα, ἐπεσάμην, ὠνέσησα, καὶ τὸν πατέρα ἐμαυτῷ διεφύλαξα, καὶ ὑπὲρ τῆς δοτηρίας ἀπολογησάμην, καὶ τῇ δυτοίᾳ τὴν ὀργὴν ἔπαυσα, καὶ τὸν νόμον ἔλυσα τῇ φιλοσοργίᾳ, καὶ μεγάλης ἐργεσίας τὴν ἐς τὸ γένος ἐπανόδον ἐπραξάμην, καὶ ὃν ὅπως δικαίως χαίρω, τὴν πρὸς τὸν πατέρα πίστιν ἐπεδειξάμην, καὶ μὴ τῆς τέχνης

ἐμαυτὸν εἰσηνοίησα, καὶ γυμνὸς ἦν ἐν τοῖς δεινοῖς ἀνέφ-
νων. Πόσα δὲ εἶδες παθὼν μὲ, πόσα καμεῖν παρόντα,
ὑπερβάντα, χειροφιλακήσαντα, νυνὶ μὲν ἔχοντα τῇ τῶ πυξὸς
ἀκμῇ, νῦν δὲ διὰ τέχνου ἐπάγοντα, καρὸς ὀλίγον ἐνδιδόν-
τος τῶ κακῶ; ἔστι δὲ τῷ ὄντως ἀπαλλάττων πόνων ἐν τῇ ἰατρικῇ
τὸ διασφαλέσατον, τὰς τοιάτας ἰᾶσθαι, καὶ πλησιάζειν ὅτω δι-
καιοτάτοις. ἐς δὲ τὰς πλησίον πολλάκις ἀφικόμην τὸν λύτταν,
ἐπιζέσαντας τὰ πάθεα. καὶ ὅμως καρὸς κἄδεν πόνων ἀπώκνησα,
οὐδ' ἀπεδειλίασα, σωτὴρ δὲ, καὶ πάντα ζόφον ἀνεξοταζό-
μενος τῇ τόμῃ, τὸ τελευταῖον ἀκρότομα τῷ φαρμάκῳ. μὴ δὴ,
τὸν ἀκμὰς, ἀδιάλειπτος λαμβάνῃς, ποῖος δὲ, ἢ πόσος ὁ
κόματος ἐγχέαι φάρμακον· πολλὰ δὲ καιρὸ τὸν χρῆσθαι δεῖ,
καὶ καροδοποιῆσαι τῇ πόσει, καὶ καροκαθασκεύασαι ῥᾴδιον ἐς
ὅσον τὸ σῶμα, καὶ τὰς ἀκάνθας ἔξεως φροντίσαι, κενῶντα καὶ
ἐγκλύζοντα, καὶ οἷς χρὴ ζέφοντα, καὶ κινοῦντα ἐς ὅσον χρήσι-
μον, καὶ ὕπνους ἐπινοοῦντα, καὶ ἡρεμίας μηχανώμενον. ἄπειροί
μὲν ἄλλο τι ποιοῦντες, ῥᾳδίως πεισθεῖεν ἄν. οἱ μεμηνότες δὲ,
καὶ τὸν ἐλλεβορίαν τὸν νῦν δυσάγωγοι, καὶ δυσμηχάνητοι, καὶ
τῇ ἀξίῃ ἐπισφαλεῖς, καὶ τῇ θεραπείᾳ δυσκατεργάνιστοι. ὅταν
γὰρ πολλάκις ποιήσωμεν ἤδη πλησίον ἐγγίσθαι τὸ τέλος, καὶ
ἐλπίσωμεν, ἐμπεσόν τι μικρὸν ἁμάρτημα, ἐπανημάσαντος
τὸν πάθος, ἅπαντα ῥᾳδίως ἐκεῖνα συνέχεε, καὶ ἀνεπόδισε
τὸν θεραπείαν, καὶ τὸν τέχνην διέσφηλε. Τὸν δὲν τοῦτο παύσ-
ασθαμενάνοια, καὶ ὅτω χαλεπῷ νοσήματι προσπαλαίσαντα,
καὶ πάθος ἁπάντων παθῶν τὸ δυσαλωτότατον νοσήσαντα, ἔτι
καὶ ἀποκρύπτειν ἐπιτρέψῃς, καὶ τὸς νόμους, ὡς βούλεται, ἁρ-
μοδίαν κατ' ἐργέτα συγχωρήσεις, καὶ τῇ φύσει πολεμεῖν
αὐτὸν ἐάσεις; ἐγὼ τῇ φύσει πειθόμενος, σώζω, καὶ διαφυ-
λάττω, ὦ ἄνδρες δικασταὶ, τὸν πατέρα ἐμαυτῷ, καὶν ἀδικῇ
τος. εἰ δὲ τὸν δύσεργον τοῦτον παῖδα τοῖς νόμοις, ὡς φησὶν, ἀ-
κολασθὲν διαφθείρει, καὶ τὸ διὸς διαστρέφει, μισόπαις ἂν ὁ-

ἐγὼ

ἐγὼ φιλοπάτωρ γίγνομαι. ἐγὼ τὴν φύσιν ἀσπάζομαι. ὁ δὲ τὸς τὰ τῆς φύσεως παροράς, καὶ καθυβρίζει δίκαια. ὦ πατρὸς μισοῦντος ἀδίκως. ὦ παιδὸς φιλοῦντος ἀδικώτερον. ἐγὼ γὰρ ἐμαυτῷ, τὸ πατρὸς ἀναγκάζοντος, ὅτι μισόμυθος, καὶ δέον φιλῶ, καὶ φιλῶ πλέον ἢ προσῆκε. καίτοι ἡ φύσις τοῖς πατράσι τοὺς παῖδας μᾶλλον, ἢ τοῖς παισὶ τοὺς πατέρας ἐπιτάττει φιλεῖν. ἀλλ' ἔτος εἰκὼν καὶ τοὺς νόμους παρορᾷ, οἱ τοὺς ὑδαπὸ ἰδιωτικὸτας παῖδας τῷ γονέι φυλάττουσι. καὶ τὴν φύσιν, ἢ τὰς ἐμψυχοσωτικὰς ἕλκει πρὸς πάθον τῶν ἐγκλημάτων πολυὶ, ἐχόπως μείζως ἀρχὰς δυνοίας ἔχων πρὸς ἐμὲ, μείζονα τὰ δίκαιά μοι τῆς δυνοίας ἐσφέρει, καὶ ἐπιδίδωσιν, ἢ τό γε ἔλαττον ἐμὲ μιμεῖται, καὶ ζηλοῖ τὸ φίλτρον. ἀλλ' οἶμοι τῆς συμφορᾶς, προσέτι καὶ μισεῖ φιλοῦντα, καὶ ἀγαπῶντα φλαύρει, καὶ δύεργετοῦντα ἀδικεῖ, καὶ ἀσπαζόμενον ἀποκηρύττει, καὶ τὰς φιλόπαιδας νόμους, ὡς μισόπαιδας κατ' ἐμὲ μεταχειρίζεται. ὦ μάχης, ὦ ἐσάγεις πατὴρ τοῖς νόμοις, καὶ τῆς φύσεως. κἀκ ἔστι ταῦτα, οὐκ ἔστιν ὡς θέλεις. καλῶς ἐρμηνεύεις, ὦ πάτερ, καλῶς κεκμῴκας τὸς νόμους. ἐπολέμει φύσις καὶ νόμος ἐν ταῖς ἐννοίαις, ἀκολουθοῦσιν ἀλλήλοις ἐνταῦθα, καὶ συναγωνίζονται τῇ λύσει τῶν ἀδικημάτων. ὑβρίζεις τὸν δύεργέτην, ἀδικεῖς τὸν φύσιν. τί καὶ τὸς νόμους συναδικεῖς τῇ φύσει; ὡς καλὸς καὶ δίκαιος καὶ φιλόπαιδας εἶναι θέλοντας ἐν ἀγχωρεῖς, καθ' ἑνὸς παιδὸς, ὡς καὶ πολλῶν κινῶν πολλάκις, καὶ κοινοῦσθαι δὲ ἐῶν ἐν ταῖς τιμωρίαις, τὰς δὲ ταῖς τῶν παίδων πρὸς τὸς πατέρας δυνοίας κοινοῦσθαι ἐθέλοντας, καίτοιγε ὅτι τοῖς μηδὲν ἡμαρτηκόσι μηδὲ κεκμήκασι. Καὶ μὴν οἵγε νόμοι καὶ ἀκαιρίας δικάζεσθαι διδόασι, καὶ τῶν τὸς δύεργέτας μὴ αὐτοδικούντων. ὁ δὲ πρὸς τῷ μὴ ἀμύνεσθαι, καὶ ἐπ' αὐτοῖς, οἷς εὖ πέπονθε, κολάζειν ἀξιῶν, σκόπει εἴτινα ὑπερβολὴν ἀδικίας ὑπολέλοιπεν. Ὡς μὴν ἔν γε ὅτῳ ἀποκηρύττειν ἔτι πάρεξιν, ἅπαξ ἤδη τῶν παρ-

πὼ ἐξουσίαν ἀποκληρώσαντι, καὶ χαριεμένῳ τοῖς νόμοις, ὃ τι ἄλλως δίκαιον, διεργάτῃ εἰς τὰ πλείστα χεχρημένῳ ἀπωθεῖσθαι, καὶ τῆς οἰκίας παραιτεῖσθαι, ἱκανῶς οἶμαι δέδεικται. ἤδη δὲ καὶ ἐπ' αὐτῇ τῇ αἰτίᾳ ἐλθωμεν τῆς ἀποκηρύξεως, καὶ τὸ ἔγκλημα ἐξετάσωμεν, ὁποῖόν ἐστιν. ἀνάγκη δὲ, μύθις ἐπὶ τὸν γναμπτὸν ἀναδραμεῖν τὸν νομοθέτην. ἵνα γάρ σοι τοῦτο μικρὸν ἔλαττον δῶμεν, τὸ ὀργίλον, ὁσάκις μὲν ἐθέλῃς, ἀποκηρύττειν, καὶ κατὰ τὸ διεργάτου προσέτι τὴν ἐξουσίαν ταύτῃ συγχωρήσωμεν, οὐκ ἀπλῶς, οἶμαι, ἀλλ' ἐπὶ πάσαις αἰτίαις ἀποκηρύξεις, ἀλλὰ καὶ ὁ νομοθέτης φησὶν, ὅτι ἂν τύχῃ ὁ πατὴρ αἰτιασάμενος, ἀποκηρυττέτω, καὶ ἀποχρὴ θέλοντα μόνον, καὶ μέμφασθαι. τί γὰρ ἂν ἔδει δικαστηρίου; ἀλλ' ὑμᾶς ποιεῖ τοῦτο, ὦ ἄνδρες δικασταὶ, σκοπεῖν, εἴτ' ἐπὶ μεγάλοις καὶ δικαίοις ὁ πατὴρ ὀργίζεται, εἴτε καὶ μή. ἐκεῖνο τοῦτο ἤδη ἐξεπάσατε. ἄρξομαι δ' ἀπὸ τῶν μετὰ τοῦτο μανίαν δύθυς. τὸ μὲν δὴ πρῶτον τῆς σωφροσύνης τοῦ πατρὸς, λύσις ἦν τῆς ἀποκηρύξεως, καὶ σωτὴρ, καὶ διεργάτης, καὶ πάντα ἦν ἐγώ. καὶ ἔδοξε, οἶμαι, τούτοις ἔγκλημα, παρανεῖναι ἐδυσώπουν. τὸ μετὰ τοῦτο δὲ, τί τῶν πάντων αἰτιᾶται; τίνα θεραπείαν, τίνα ἐπιμέλειαν. ὑπὲρ ποίων; πότερα ἀποκοίτους ἐβλώμην; τίνας πότνιας ἀκαίρους, τίνας κώμους ἐγκαλεῖς; τίς ἀσωτία; τίς παροινικὸς ὕβρεσα; τίς μεθύσατο; οὐδεὶς εἰς. καὶ μὴν τοῦτό ἐστι, ἐφ' οἷς μάλιστα ὁ νόμος ἀποκηρύττειν ἐφίησιν. Ἀλλὰ νοσεῖν ἤρξατο ἡ μητρυιά. τί οὖν; ἐμοὶ τοῦτ' ἐγκαλεῖς, καὶ νόσον δίκην αἰτεῖς; φησὶν. ἀλλὰ τί; ὅτι θεραπεύειν προσαιτούμενος οὐ θέλεις, καὶ διὰ τοῦτ' οὐκ ἄξιος εἶναι ἀποκηρύξεως, ἀπειθῶν τῷ πατρί. ἐγὼ δὲ, τὸ μὲν, οἷα προσάπτουσι αὐτῷ ὑπακοεῖν οὐ δυνάμενος, ἀπειθεῖν δοκῶ, καὶ ὀλίγον ὑπερθήσομαι. πρότερον δ' ἁπλῶς ἐκεῖνό φημι, ὡς οὐ πάντα προσάττειν ὅτε τούτῳ δίδωσιν ὁ νόμος, οὐ τ' ἐμοὶ τὸ πείθεσθαι πᾶσι πάντως ἀναγκαῖον. ὃν δ' ἂν τις τῶν προ-

σαγ-

ςαγμάτων τὰ μὲν ἀνεύθυνά ἐςι, τὰ δ' ὀργῆς καὶ τιμωρίας ἄξια. ἐὰν νοσῇς αὐτὸς, ἐγὼ δὲ ἀμελῶ· ἐὰν τῶν κατ' οἶκον ἐπιμελεῖσθαι κελεύεις, ἐγὼ δὲ ὀλιγωρῶ· ἐὰν τὰ κατ' ἀγρὸν ἐπισκοπεῖν προςάττῃς, ἐγὼ δὲ ὀκνῶ. πάντα ταῦτα, καὶ τὰ τοιαῦτα εὐλόγους ἔχει τὰς προφάσεις, καὶ τὰς μέμψεις τὰς πατρικάς. τὰ δ' ἄλλα ἐφ' ἡμῖν ἐςι τοῖς παισὶν, ὄντα τῶν τεχνῶν, καὶ τῆς τούτων χρήσεως, καὶ μάλιςα εἰ μηδὲν αὐτὸς ὁ πατὴρ ἀδικοῖτο. Ἐπείτοι ἂν τῷ γραφεῖ πατὴρ προςάττῃ· ταῦτα μὲν τέκνον γράφε, ταυτὶ δὲ μή. καὶ τῷ μουσικῷ· τήνδε μὲν τὴν ἁρμονίαν κροῦε, τήνδε δὲ μή. καὶ τῷ χαλκεύοντι· τοιαῦτα μὲν χάλκευε, τοιαῦτα δὲ μή. ἆρα ἄν τις ἀνάσχοιτο ἀποκηρύττοντα, ὅτι μὴ κατὰ τὰ ἐκείνῳ δοκοῦντα ὁ παῖς χρῆται τῇ τέχνῃ; οὐδὲ εἷς, οἶμαι. τὸ δὲ τῆς ἰατρικῆς, ὅσῳ σεμνότερόν ἐςι, καὶ τῷ βίῳ χρησιμώτερον, τοσούτῳ καὶ ἐλευθεριώτερον εἶναι προσήκει τοῖς χρωμένοις; καί τινα προνομείαν ἔχειν τὴν τέχνην δίκαιον τῇ ἐξουσίᾳ τῆς χρήσεως, ἀναγκάζεσθαι δὲ μηδὲν, μηδὲ προςάττεσθαι, πρᾶγμα ἱερὸν, καὶ Θεῶν παίδευμα, καὶ ἀνθρώπων σοφῶν ἐπιτήδευμα, μήδ' ὑπὸ δουλείαν γενέσθαι νόμου, μήδ' ὑπὸ φόβον, καὶ τιμωρίαν δικαςηρίου, μήδ' ὑπὸ ψῆφον, καὶ πατρὸς ἀπειλὴν, καὶ ὀργὴν ἰδιωτικήν. ὥςε καὶ εἰ τοῦτό σοι σαφῶς οὕτωσὶ, καὶ διαρρήδην ἔλεγον, οὐ βούλομαι, οὐδὲ θεραπεύω δυνάμενος, ἀλλ' ἐμαυτῷ μόνῳ τὴν τέχνην οἶδα, καὶ τῷ πατρὶ, τοῖς δ' ἄλλοις ἅπασιν ἰδιώτης εἶναι βούλομαι, τίς τύραννος οὕτω βίαιος, ὡς ἀναγκάσαι ἂν ἄκοντα χρῆσθαι τῇ τέχνῃ; τὰ γὰρ τοιαῦτα, ἱκετείαις, καὶ δεήσεσιν, οὐ νόμοις, καὶ ὀργαῖς, καὶ δικαςηρίοις ὑπάγειν οἶμαι προσήκει. πείθεσθαι τὸν ἰατρὸν χρὴ, οὐ κελεύεσθαι. βούλεσθαι, οὐ φοβεῖσθαι. ἐπὶ τὴν θεραπείαν οὐκ ἄγεσθαι, ἑκόντα δὲ ἐρχόμενον, ἥδεσθαι. πατρικῆς δ' ἀνάγκης ἄμοιρος, ἀτελὴς ἡ τέχνη, ὅπου γε τοῖς ἰατροῖς καὶ δημοσίᾳ αἱ πόλεις τιμὰς, καὶ προεδρίας, καὶ ἀτελείας, καὶ προνομείας διδόασι. Ταῦτα μὲν οὖν ἁπλῶς

ἂν εἶχον οἰπεῖν ὑπὲρ τῆς τέχνης, εἰ καὶ σοῦ διδαξαμένου με, καὶ πολλὰ ἐπιμεληθέντος, καὶ ἀναλώσαντος, ὡς μάθοιμι πρὸς μίαν ὅμως θεραπείαν, ταύτην δυνατὴν οὖσαν, ἀντέλεγον. νυνὶ δὲ κἀκεῖνο ἐννόησον, ὡς παντάπασιν ἄγνωμον ποιεῖς, οὐκ ἐῶν με χρῆσθαι μετ' ἐλευθερίας ἐμῷ κτήματι. ταύτην ἐγὼ τὴν τέχνην οὐχ υἱὸς ὢν σὸς ἐξέμαθον, οὐδὲ τῷ σῷ νόμῳ ὑποκείμενος. καὶ ὅμως αὐτὴν μεμάθηκά σοι, καὶ πρῶτος αὐτῆς ἀπολέλαυκας, οὐδὲν παρὰ σοῦ πρὸς τὸ μαθεῖν ἔχων. τίνα διδάσκαλον ἐμισθώσω; τίνα φαρμάκων παρασκευήν; οὐδ' ἡντινοῦν. ἀλλὰ πενόμενος ἐγὼ, καὶ τῶν ἀναγκαίων ἀπορούμενος, καὶ ὑπὸ τῶν διδασκάλων ἐλεούμενος, ἐπαιδευόμην. Καί μοι τοιαῦτα παρὰ τοῦ πατρὸς ἦν πρὸς τὸ μαθεῖν ἐφόδια, λύπη, καὶ ἐρημία, καὶ ἀπορία, μῖσος οἰκείων, καὶ ἀποστροφὴ συγγενῶν. ἀντὶ τούτων τοίνυν χρῆσθαί μου τῇ τέχνῃ ἀξιοῖς, καὶ δεσπότης εἶναι θέλεις τῶν ὅτ' οὐκ ἦσθα δεσπότης πεπορισμένων. ἀγάπα εἴ τι σε καὶ πρότερον ἑκὼν οὐ προοφείλων, εὖ ἐποίησα, μηδὲ μίαν μὴ δέ τοι γε χάριν ἀπαιτεῖσθαι δυνάμενος. οὐ δὴ δεῖ τὴν εὐποιΐαν τὴν ἐμὴν, ἀνάγκην ἐς τολοιπόν μοι γενέσθαι, οὐδὲ τὸ ἑκόντα εὐεργετῆσαι, ἀφορμὴν τοῦ ἄκοντα κελεύεσθαι καταστῆναι. οὐδ' ἔθος ὑπάρξαι τοῦτο, τὸ ἅπαξ τινὰ ἰασάμενον, πάντας ἐς ἀεὶ θεραπεύειν, ὁπόσους ἂν ὁ θεραπευθεὶς θέλῃ. ἐπεὶ δεσπότας ἂν οὕτω καθ' ἡμῶν εἴημεν τοὺς θεραπευομένους κεχειροτονηκότες, καὶ μισθὸν τὸ δουλεύειν αὐτοῖς, καὶ τὸ πάντα κελεύουσιν ὑπηρετεῖν προδεδωκότες. οὐ τί γενοιτ' ἂν ἀδικώτερον; διότι σε νοσήσαντα χαλεπῶς οὕτως ἀνέστησα, διὰ τοῦτο νομίζεις ἐξεῖναί σοι καταχρῆσθαί μου τῇ τέχνῃ; ταῦτα μὲν οὖν εἶχον ἂν λέγειν, εἰ καὶ δυνατά μοι οὕτως προσέταττεν. ἐγὼ δὲ μὴ πάντως ἅπασι, μηδὲ πρὸς ἀνάγκην ὑπήκουον. Νῦν δὲ ἤδη σκέψασθε καὶ οἷά ἐστιν αὐτοῦ τὰ ἐπιτάγματα. ἐπεὶ γὰρ ἐμὲ ἰάσω, φησὶ, μεμηνότα, μέμηνε δὲ καὶ ἡ γυνὴ, καὶ τὰ ὅμοια πάσχει (τοῦτο γὰρ οἴεται)

καὶ

καὶ ὑπὸ τῶν ἄλλων ὁμοίως ἀπέγνωσται, δύναται δὲ σὺ πάντα ὡς ἔδειξας, ἰῶ καὶ ταύτην, καὶ ἀπάλλαττε ἤδη τῆς νόσου. τοῦτο δὲ, οὕτωσὶ μὲν ἁπλῶς ἀκοῦσαι, πάνυ εὔλογον ἂν δόξειε, καὶ μάλιστα ἰδιώτῃ, καὶ ἀπείρῳ ἰατρικῆς. εἰ δέ μου ἀκούσετε ὑπὲρ τῆς τέχνης δικαιολογουμένου, μάθοιτ' ἂν ὡς οὔτε πάντα ἡμῖν δυνατά ἐστιν, οὔθ' αἱ τῶν νοσημάτων φύσεις παραπλήσιοι, οὔτ' ἴασις ἡ αὐτὴ, οὔτε φάρμακα τὰ αὐτὰ ἐπὶ πάντων ἰσχυρά. καὶ τότ' ἔσται δῆλον, ὡς πάμπολυ τοῦ μὴ βούλεσθαί τι, τὸ μὴ δύνασθαι διαφέρει. ἀνάσχεσθε δέ μου τὰ περὶ τούτων φιλοσοφοῦντος, καὶ μὴ ἀπειρόκαλον, μήδ' ἐξαγώνιον, μήδ' ἀλλότριον, ἢ ἄκαιρον ἡγήσησθε τὸν περὶ τῶν τοιούτων λόγον. Πρῶτα μὲν δὴ σωμάτων φύσεις, καὶ κράσεις οὐχ αἱ αὐταὶ, κἂν ὅτι μάλιστα ἐκ τῶν ὁμοίων συνεστάναι ὁμολογῶνται, ἀλλὰ τὰ μὲν τῶν δε, τὰ δὲ τῶν δε μᾶλλον ἢ ἔλαττον μετέχει. καὶ λέγω τοῦτο ἔτι περὶ τῶν ἀνδρείων, ὡς οὐδὲ ταῦτα πᾶσιν ἴσα, ἢ ὅμοια, οὔτε τῇ κράσει, οὔτε τῇ συστάσει. διάφορα δὴ καὶ μεγέθει, καὶ εἴδει, ἀνάγκη καὶ τὰ νοσήματα ἐγγίνεσθαι αὐτοῖς. καὶ τὰ μὲν, εὐίατα εἶναι, καὶ πρὸς τὴν θεραπείαν ἀναπεπτωμένα. τὰ δὲ, τέλεον ἀπεγνωσμένα, καὶ ῥᾳδίως ἁλισκόμενα, καὶ κατακράτος ὑπὸ τῶν νοσημάτων λαμβανόμενα. τὸ τοίνυν οἴεσθαι πάντα πυρετὸν, ἢ πᾶσαν φθόην, ἢ περιπνευμονίαν, ἢ μανίαν, μίαν καὶ τὴν αὐτὴν οὖσαν τῷ γένει, ὁμοίαν ἐπὶ παντὸς εἶναι σώματος, οὐ σωφρονούντων, οὐδὲ λελογισμένων, οὐδὲ τὰ τοιαῦτα ἐξητακότων ἐστὶν ἀνθρώπων, ἀλλὰ τὸ αὐτὸ ἐν μὲν τῷ δε, ῥᾴδιον ἰᾶσθαι, ἐν δὲ τῷ δε, οὐκ ἔτι. ὥσπερ οἶμαι καὶ πυρὸν, ἢν τὸν αὐτὸν ἐς διαφόρους χώρας ἐμβάλῃς, ἄλλως μὲν ἐν τῇ πεδινῇ, καὶ βαθείᾳ, καὶ ποτιζομένῃ, καὶ εὐηλίῳ, καὶ εὐηνέμῳ, καὶ ἐξειργασμένῃ ἀναφύεται, εὐθαλὴς οἶμαι, καὶ εὔτροφος, καὶ πολύχους καρπὸς, ἄλλως δὲ ἐν ὄρει, καὶ ὑπολίθῳ γηδίῳ, ἄλλως δὲ ἐν δυσηλίῳ, ἄλλως δὲ ἐν ὑπωρείᾳ, καὶ ὅλως διαφόρως καθ' ἑκάστους τόπους· οὕτω

δὲ καὶ τὰ νοσήματα παρὰ τοὺς ὑποδεξαμένους τόπους, ἢ εὔφορα, ἢ εὔτροφα, ἢ ἐλάττω γίγνεται, τοῦτο τοίνυν ὑπερβὰς ὁ πατὴρ, καὶ ὅλον ἀνεξέταστον καταλιπὼν, ἀξιοῖ πᾶσαν μανίαν τὴν ἐν ἅπαντι σώματι, ὁμοίαν εἶναι, καὶ τὴν θεραπείαν ἴσην. πρὸς δὲ τούτοις τοσούτοις οὖσιν, ὅτι τὰ γυναικεῖα σώματα πάμπολυ τῶν ἀνδρείων διαφέρει πρός τε νόσου διαφθορὰν, καὶ πρὸς θεραπείας ἐλπίδα, ἢ ἀπόγνωσιν, ῥᾴδιον καταμαθεῖν. τὰ μὲν γὰρ τῶν ἀνδρῶν εὐπαγῆ, καὶ εὔτονα, πόνοις, καὶ κινήσεσι, καὶ ὑπαιθρίῳ διαίτῃ γεγυμνασμένα. τὰ δὲ, ἔκλυτα, καὶ ἀσυμπαγῆ ἐν σκιᾷ τεταφημένα, καὶ λευκὰ αἵματος ἐνδείᾳ, καὶ θερμοῦ ἀπορίᾳ, καὶ ὑγροῦ περιττοῦ ἐπιῤῥοίᾳ. εὐαλωτότερα τοίνυν τῶν ἀνδρείων, καὶ ταῖς νόσοις ἐκκείμενα, καὶ τὴν ἴασιν οὐ περιμένοντα, καὶ μάλιστα πρὸς μανίας εὐχερέστερα. ἅτε γὰρ πολὺ τὸ ὀργίλον, καὶ κοῦφον· καὶ ὀξυκίνητον ἔχουσαι, ὀλίγην δὲ τὴν τοῦ σώματος αὐτοῦ δύναμιν, ῥᾳδίως ἐς τὸ πάθος τοῦτο κατολισθαίνουσιν. Οὐ δίκαιον τοίνυν παρὰ τῶν ἰατρῶν τὴν ὁμοίαν ἐπ' ἀμφοῖν θεραπείαν ἀπαιτεῖν, εἰδότας ὡς πολὺ τοὐνμέσῳ, βίῳ παντὶ, καὶ πράξεσιν ὅλαις, καὶ πᾶσιν ἐπιτηδεύμασιν, ἐξ ἀρχῆς εὐθὺς κεχωρισμένων. ἅταν τοίνυν λέγῃς, ὅτι μέμηνε, προστίθει ὅτι καὶ γυνὴ οὖσα, μέμηνε, καὶ μὴ σύγχει ταῦτα πάντα τῷ τῆς μανίας ὑπάγων ὀνόματι, ἐνὶ καὶ τῷ αὐτῷ δοκοῦντι· ἀλλὰ χωρίσας ὥσπερ ἐστὶ καὶ τῇ φύσει, τὸ δυνατὸν ἐφ' ἑκάστου σκόπει. καὶ γὰρ ἡμεῖς, ὅπερ ἐν ἀρχῇ τῶν λόγων εἰπὼν μέμνημαι, τοῦτο πρῶτον ἐπισκοποῦμεν, φύσιν σώματος τοῦ νοσοῦντος, καὶ κρᾶσιν, καὶ τίνος πλείονος μετέχει, καὶ εἰ θερμότερον, ἢ ψυχρότερον, ἢ ἀκμάζον, ἢ παρηβηκὸς, καὶ μέγα, ἢ μικρὸν, καὶ πιμελὲς, ἢ ὀλιγόσαρκον, καὶ πάντα τὰ τοιαῦτα. καὶ ὅλως ἄν τις αὐτὰ προεξετάσῃ, πάνυ ἀξιόπιστος ἂν εἴη, ἀπογινώσκων τι, ἢ ὑπισχνούμενος. ἐπεὶ καὶ τῆς μανίας αὐτῆς μυρία εἴδη ἐστὶ, καὶ παμπόλλους ἔχει τὰς αἰτίας, καὶ οὐδὲ

τὰς

τὰς προσηγορίας αὐτὰς ὁμοίας. οὐ γὰρ ταυτὸν παρανοεῖν, καὶ παραπαίειν, καὶ λυττᾶν, καὶ μεμηνέναι, ἀλλὰ ταῦτα πάντα τοῦ μᾶλλον, ἢ ἧττον ἔχεσθαι τῇ νόσῳ, ὀνόματά ἐστιν. αἰτίαι τε, τοῖς μὲν ἀνδράσιν, ἄλλαι, ταῖς δὲ γυναιξὶν, ἕτεραι. καὶ τῶν ἀνδρῶν αὐτῶν, τοῖς μὲν νέοις, ἄλλαι, τοῖς δὲ γεγηρακόσι, διάφοροι. οἷον, νέοις μὲν, πλῆθος ὡς τὸ πολύ. γέρουσι δὲ, διαβολὴ ἄκαιρος, καὶ ὀργὴ ἄλογος πολλάκις κατ' οἰκείων ἐμπεσοῦσα, τὸ μὲν πρῶτον, διετάραξεν, εἶτα, κατ' ὀλίγον ἐς μανίαν περιέτρεψε. γυναικῶν δὲ πολλὰ καθικνεῖται, καὶ ῥᾳδίως ἐς τὴν νόσον ἐπάγεται, μάλιστα δὲ μῖσος κατά τινος πολὺ, ἢ φθόνος ἐπ' ἐχθρῷ εὐτυχοῦντι, ἢ λύπη τις, ἢ ὀργή. ταῦτα κατ' ὀλίγον ὑποτυφόμενα, καὶ μακρῷ χρόνῳ ἐντρεφόμενα, μανίαν ἀποτελεῖ. τοιαῦτά σοι ὦ πάτερ, καὶ ἡ γυνὴ πέπονθε, καὶ ἴσως τι λελύπηκεν αὐτὴν ἔναγχος. οὐδὲν γὰρ ἐκείνη ἐμίσει, πλὴν ἔχεταί γε, καὶ οὐκ ἂν ἐκ τῶν παρόντων ὑπ' ἰατροῦ θεραπευθῆναι δύναιτο, ὡς εἴγε ἄλλός τις ὑπόσχοιτο, εἴ τις ἀπαλλάξειε, μίσει τότε ὡς ἀδικοῦντα ἐμέ. καὶ μὴν κἀκεῖνο ὦ πάτερ, οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, ὅτι εἰ καὶ μὴ τελέως οὕτως ἀπέγνωστο, ἀλλά τις ἔτι σωτηρίας ἐλπὶς ὑπεφαίνετο, οὐκ ἂν οὐδὲ οὕτω ῥᾳδίως προσηψάμην, οὐδ' αὖ προχείρως φάρμακον ἐγχέαι ἐτόλμησα, δεδιὼς τὴν τύχην, καὶ τὴν παρὰ τῶν πολλῶν δυσφημίαν. ὁρᾷς ὡς οἴονται πάντες εἶναί τι μῖσος πρὸς τοὺς προγόνους πάσαις μητρυαῖς, κἂν ὦσι χρησταὶ, καί τινα κοινὴν μανίαν ταύτην γυναικείαν αὐτὰς μεμηνέναι; τάχα οὖν τις ὑπώπτευσεν, ἄλλως χωρήσαντος τοῦ κακοῦ, καὶ τῶν φαρμάκων οὐ δυνηθέντων, κακοήθη, καὶ δολερὰν τὴν θεραπείαν γεγονέναι. καὶ τὰ μὲν τῆς γυναικὸς, ὦ πάτερ, οὕτως ἔχει. καὶ πάνυ σοι τετηρηκὼς λέγω. οὔ ποτε ῥᾷον ἕξει, κἂν μυριάκις πίῃ τοῦ φαρμάκου. διὰ τοῦτ' ἐπιχειρεῖν οὐκ ἄξιον, εἰ μὴ πρὸς μόνον τὸ ἀποτυχεῖν

με.

με καταπτήσεις, καὶ κακοδοξίᾳ προβαλεῖν θέλεις. ἔασον ἀπὸ τῶν ὁμοτέχνων φθονεῖσθαι. ἐὰν δέ με ἀποκρύψῃς πάλιν, ἐγὼ μὲν καί τοι πάντων ἔρημος γενόμενος, οὐδὲν ἧττον σοῦ δεινὸν εὕξομαι. τί δ' ἄν, ὅπερ μὴ γένοιτο, αὖθις ἡ νόσος ἐπανέλθοι (φιλεῖ γάρπως τὰ τοιαῦτα ἐρεθιζόμενα παλινδρομεῖν) τί με πράξαι δήσει; θεραπεύσω μὲν ὡς ἔθος καὶ τότε, καὶ ἔτι λείψω τοῦ πάσχειν, ὧν τὰς παῖδας ἔτεκον ἡ φύσις, οὐδὲ τῇ χρείᾳ τὸ ἐπ' ἐμαυτῷ ἐπιλείσομαι. εἶτ' ἂν σωφρονήσῃς, αὖθις ἀναλαμβάνειν πάντοτε πιστεῦσαί μοι δεῖ; ὁρᾷς ἤδη, καὶ παῦσαι ποιῶν, ἐπιστὰς τοῦ νόσου, καὶ ὑπομιμνήσκεις τὸ πάθος. χθὲς, καὶ πρώην, ἐκ πολλῶν κακῶν ἀπαλλαγείς, ἀθυμεῖν, καὶ βοᾷς, καὶ τὸ μέγιστον, ὀργίζῃ, καὶ πρὸς μίσος τρέπῃ, καὶ τὰς νόμους ἀποκαλεῖς. οἴμοι πάτερ, τοιαῦτ' ἰῶσι καὶ τῆς πάλαι μανίας τὰ προοίμια.

ΤΟΥ ΑΥΤΟΥ

ΠΕΡΙ ΤΟΥ ΜΗ ΡΑΔΙΩΣ

Πιστεύειν τῇ ὄψει.

ΔΕινόν γε ἡ ἄγνοια, καὶ πολλῶν κακῶν ἀνθρώποις αἰτία, ὥσπερ ἀχλύν τινα καταχέουσα τῶν πραγμάτων, καὶ τοῦ ἀληθοῦς ἀμαυροῦσα, καὶ τὸν ἑκάστου βίον ἐπισκιάζουσα· ἐν σκότῳ γοῦν πλανωμένοις πάντες ἐοίκαμεν, μᾶλλον δὲ τυφλοῖς ὅμοια πεπόνθαμεν, τῶν μὲν προσπταίοντες ἀλόγως, τῶν δὲ ὑπερβαίνοντες· οὐδὲν δίον, καὶ τὸ μὲν πλησίον, καὶ ἃ δὴ πόδας ἐχ ὁρῶντες,

πε

τὸ δὲ πόρρω, καὶ παμπόλυ διεστὸς, ὡς ἐνοχλῶν διαφόρες, καὶ ὅλως ὑφ' ἑαυτὸν τὸ παρατομώτερον ἀφαλείπομαι, καὶ πολλὰ ὀλιγωρούντες. Τοιγάρτοι μυρίας ἤδη τοῖς ζωγράφοις διαφορὰς εἰς τὰ δράματα τὸ τοιοῦτον παρέχεται, τὰς Λαβδακίδας, καὶ τὰς Πελοπίδας, καὶ τὰ πάντας ἀθλιότητας. Χαλεπὸν γὰρ τὰ πλεῖστα τῶν ἐν τῇ σκιᾷ ἀναβαινόντων πάθη, εὕροι τις ἂν ἀπὸ τῆς ἀγνοίας, καθάπερ ὑπό τινος ζοφερᾶς δαίμονός τινος κεχορηγημένα. λέγω δὴ καὶ ἐς τὰ ἄλλα μὴ ἀποβλέπων, μάλιστα δὲ ἐς τὰς ἀπὸ ἀληθείας καὶ τῶν σωμάτων καὶ φίλων διαβολάς, ὑφ' ὧν ἤδη τῶν οἴκων ἀνάστατα γεγόνασι, καὶ πόλεις ἄμφω ἀπολώλασιν, πατέρας ὑπὸ παιδῶν ἐξεμάνησαν, καὶ ἀδελφοὶ καὶ τῶν ὁμοσπλάγχνων, καὶ παῖδες καὶ τῶν γεννησάντων, καὶ ἐρασταὶ καὶ τῶν ἐρωμένων. πολλαὶ δὲ καὶ φιλίαι συνεκύπησαν, καὶ οἶκοι συνεχύθησαν ὑπὸ μὲν τῆς καὶ τὰς διαβολὰς πιθανότητος. Ἵν' δὲ ὡς πάντα τοῦ λόγου κατορθῶ αὐταῖς, ὑποδείξαι βούλομαι πρῶτα λέγω, καθάπερ ὑπό τινος ζοφερᾶς. ὁποῖόν τι ἔστιν ἡ διαβολὴ, καὶ πόθεν ἄρχεται, καὶ ἑποῖα ἐργάζεται. μάλιστα δὲ Ἀπελλῆς ὁ Ἐφέσιος πάλαι πρότερον παρέλαβε τὴν εἰκόνα· καὶ γὰρ αὖ καὶ οὗτος διαβληθεὶς παρὰ Πτολεμαίου, ὡς μετεχόντως Θεοδότᾳ τῆς συνουσίας ἐν Τύρῳ, ὁ δὲ Ἀπελλῆς οὐκ ἐωράκει ποτὲ τὴν Τύρον, οὐδὲ τὸν Θεοδότην, ὅστις ἦν, ἐγίνωσκεν, ἢ καθόλου ἦλθε Πτολεμαΐδα, τινὰ ὕπαρχον εἶναι, καὶ τῶν Φοινίκων ἐπιτροπεύοντα. ἀλλ' ὅμως τῇ αὐτιτέχνου τις, Ἀντίφιλος ὄνομα, ὑπὸ φθόνου τῆς παρὰ βασιλεῖ τιμῆς, καὶ τῆς καὶ τὴν τέχνην ζηλοτυπίας, κατεῖπεν αὐτοῦ παρὰ τὸν Πτολεμαῖον, ὡς εἰκοινωνήτως τῶν ὅλων, καὶ ὡς θεάσαιτό τις αὐτὸν ἐν Φοινίκῃ συνεστιώμενον Θεοδότᾳ, καὶ παρ' ὅλον τὸ δεῖπνον παρὰ τὸ ἐς αὐτὴν πεπολογημένον. καὶ τέλος, ἀπέφηνε τὴν Τύρον ἀποστάσιν, καὶ τὴν Πτολεμαΐδος καταλῆψιν ἐκ τῆς Ἀπελλοῦ συμβουλῆς γεγονέναι. ὁ δὲ Πτολεμαῖος, ὡς αὖ κάρτα, καὶ πάλαι πάνυ φρονήρης τις

ὢν,

ὢν, ἀλλ' ἐν κολακείᾳ δεσποτικῇ τεθραμμένος, οὕτως ἐξε-
καύθη, καὶ συνεταράχθη πρὸς τῆς παραδόξου ταύτης διαβο-
λῆς, ὥστε μηδὲν τῶν εἰκότων λογισάμενος, μήδ' ὅτι ἀντίτε-
χνος ἦν ὁ διαβάλλων, μήδ' ὅτι μικρότερος, ἢ κατὰ τοιαύτην
προδοσίαν ζωγράφος, καὶ ταῦτα, εὖ πεπονθὼς ὑπ' αὐτοῦ, καὶ
παρ' ὁντινοῦν τῶν ὁμοτέχνων τετιμημένος. ἀλλ' οὐδὲ τὸ πρά-
πον, ὡς εἰ ἐξέπλευσεν Ἀπελλῆς εἰς Τύρον, ἐξετάσας, εὐ-
θὺς ἔαδε μηνίειν, καὶ βοῆς ἐνεπίαπλα τὰ βασίλεια, τὸν ἀ-
χάριστον κεκραγὼς, καὶ τὸν ἐπίβουλον καὶ συνωμότην. καὶ εἴγε
μὴ τῶν συνειλημένων τις, ἀγανακτήσας ἐπὶ τῇ τοῦ Ἀντιφί-
λου ἀναισχυντίᾳ, καὶ τὸν ἄθλιον Ἀπελλῆν κατελεήσας, ἔφη
μηδενὸς αὐτοῖς κεκοινωνηκέναι τὸν ἄνθρωπον, ἀπετέτμητο
ἂν τὴν κεφαλὴν, καὶ παραπολελαύκει τῶν ἐν Τύρῳ κακῶν,
οὐδὲν αὐτὸς αἴτιος γεγονώς. ὁ μὲν οὖν Πτολεμαῖος οὕτω λέγε-
ται μεταγνῶναι ἐπὶ τοῖς γεγονόσιν, ὥστε τὸν μὲν Ἀπελλῆν ἑ-
κατὸν ταλάντοις ἐδωρήσατο, τὸν δὲ Ἀντίφιλον δουλεύειν αὐ-
τῷ παραδέδωκεν. ὁ δὲ Ἀπελλῆς, ὧν παρεκινδύνευσε, με-
μνημένος, τοιᾷδέ τινι εἰκόνι ἠμύνατο τὴν διαβολήν. Ἐν δε-
ξιᾷ τις ἀνὴρ κάθηται, τὰ ὦτα παμμεγέθη ἔχων, μικροῦ δεῖν
τοῖς τοῦ Μίδου προσεοικότα, τὴν χεῖρα προτείνων πόρρωθεν
ἔτι προσιούσῃ τῇ διαβολῇ. περὶ δὲ αὐτὸν ἑστᾶσι δύω γυναῖ-
κες, ἄγνοιά μοι δοκεῖ, καὶ ὑπόληψις· ἑτέρωθεν δὲ προσέρ-
χεται ἡ διαβολὴ, γυναῖον ἐς ὑπερβολὴν πάγκαλον, ὑπό-
θερμον δὲ καὶ παρακεκινημένον, οἷον δὴ τὴν λύτταν καὶ τὴν ὀρ-
γὴν δεικνύουσα, τῇ μὲν ἀριστερᾷ δᾷδα καιομένην ἔχουσα,
τῇ ἑτέρᾳ δὲ νεανίαν τινὰ τῶν τριχῶν σύρουσα, τὰς χεῖρας ὀρέ-
γοντα εἰς τὸν Οὐρανὸν, καὶ μαρτυρόμενον τοὺς Θεούς· ἡγεῖται δὲ
ἀνὴρ ὠχρὸς καὶ ἄμορφος, ὀξὺ δεδορκὼς, καὶ ἐοικὼς τοῖς ἐκ νό-
σου μακρᾶς κατεσκληκόσι· τοῦτον γοῦν εἶναι τὸν φθόνον ἄν τις
εἰκάσειε. καὶ μὴν καὶ ἄλλαι τινὲς δύω παρομαρτοῦσι, προτρέ-
πουσαι καὶ περιστέλλουσαι, καὶ κατακοσμοῦσαι τὴν διαβολὴν, ὡς

δὲ

δέ μοι καὶ ταύτας ἐμήνυσεν ὁ περιηγητὴς τῆς εἰκόνος, ἡ μὲν ἐπιβουλή τις ἦν, ἡ δὲ ἀπάτη· κατόπιν δὲ ἠκολούθει πάνυ πενθικῶς τις ἐσκευασμένη, μελανείμων καὶ κατεσσαραγμένη· μετάνοιαν δὲ καὶ αὕτη ἐλέγετο. ἐπεστρέφετο γοῦν ἐς τοὐπίσω δακρύουσα, καὶ μετ' αἰδοῦς πάνυ τὴν ἀλήθειαν προσιοῦσαν ὑπέβλεπεν. οὕτω μὲν οὖν Ἀπελλῆς τὸν ἑαυτοῦ κίνδυνον ἐπὶ τῆς γραφῆς ἐμιμήσατο. φέρε δὲ καὶ ἡμεῖς, εἰ δοκεῖ, κατὰ τὴν τοῦ Ἐφεσίου ζωγράφου τέχνην, διέλθωμεν τὰ προσόντα τῇ διαβολῇ, πρότερόν γε ὅρῳ τινὶ περιγράψαντες αὐτὴν, οὕτω γὰρ ἂν ἡμῖν ἡ εἰκὼν γενήσεται. Ἔστι τοίνυν διαβολὴ, κατηγορία τις, ἐξ ἐρημίας γιγνομένη, τὸν κατηγορούμενον λεληθυῖα, ἐκ τοῦ μονομεροῦς ἀνεντιλέκτως πεπιστευμένη. τοιαύτη μὲν ἡ ὑπόθεσις τοῦ λόγου. Τριῶν δ' ὄντων προσώπων, καθάπερ ἐν ταῖς κωμῳδίαις, τοῦ διαβάλλοντος, καὶ τοῦ διαβαλλομένου, καὶ τοῦ, πρὸς ὃν ἡ διαβολὴ γίγνεται, καθ' ἕκαστον αὐτῶν ὑποσκοπήσωμεν, οἷα εἰκὸς εἶναι τὰ γιγνόμενα· πρῶτον μὲν δὴ, εἰ δοκεῖ, παραγάγωμεν τὸν πρωταγωνιστὴν τοῦ δράματος, λέγω δὲ τὴν ποιητὴν τῆς διαβολῆς, οὗτος δὲ δὴ, ὡς μὲν οὐκ ἀγαθὸς ἄνθρωπός ἐστι, πᾶσιν οἶμαι γνώριμον. οὐδεὶς γὰρ ὢν ἀγαθὸς, κακῶν αἴτιος γένοιτο τῷ πλησίον. ἀλλ' ἔστιν ἀγαθῶν ἀνδρῶν, ἀφ' ὧν εὖ ποιοῦσιν αὐτοὶ τοὺς φίλους, οὐκ ἀφ' ὧν τοὺς ἄλλους ἀδικοῦντας αἰτιῶνται, καὶ μισεῖσθαι παρασκευάζουσιν, εὐδοκιμεῖν, δόξαν εὐνοίας προσλαβόντας. ἔπειτα δὲ, ὡς ἄδικος ὁ τοιοῦτος, καὶ παρανομός ἐστι, καὶ ἀσεβὴς, καὶ τοῖς χρωμένοις ὑποζήμιος, ῥᾴδιον καταμαθεῖν. τίς γὰρ οὐκ ἂν ὁμολογήσειε, τὴν μὲν ἰσότητα ἐν ἅπαντι, καὶ τὸ μηδὲν πλέον, δικαιοσύνης ἔργα εἶναι, τὸ δὲ ἄνισόν τε καὶ πλεονεκτικὸν, ἀδικίας; ὁ δὲ τῇ διαβολῇ κατὰ τῶν ἀπόντων λάθρα χρώμενος, πῶς οὐ πλεονέκτης ἐστὶν, ὅλον τὸν ἀκροατὴν σφετεριζόμενος, καὶ προκαταλαμβάνων αὐτοῦ τὰ ὦτα, καὶ ἀποφράττων, καὶ τῷ δευτέρῳ λόγῳ παντελῶς ἄβατα κατασκευάζων

αὐ-

αὐτὰ, ὑπὸ τῆς διαβολῆς προεμπεπλησμένα; ἐσχάτης ἀδικίας τὸ τοιοῦτον, ὡς φαῖεν ἂν καὶ οἱ ἄριστοι τῶν νομοθετῶν, οἷον ὁ Σόλων, καὶ ὁ Δράκων, ἔνορκον ποιησάμενοι τοῖς δικασταῖς τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι, καὶ τὸ τὴν εὔνοιαν ἴσην τοῖς κρινομένοις ἀπονέμειν, ἄχρις ἂν ὁ τοῦ δευτέρου λόγος παρατεθεὶς, θατέρου χείρων, ἢ ἀμείνων φανῇ. πρὶν δέ γε ἀντεξετάσαι τὴν ἀπολογίαν τῇ κατηγορίᾳ, παντελῶς ἀσεβῆ καὶ ἀνόσιον ἡγήσαντο ἔσεσθαι τὴν κρίσιν. καὶ γὰρ ἂν καὶ αὐτοὺς ἀγανακτῆσαι τοὺς Θεοὺς εἴποιμεν, εἰ τῷ μὲν κατηγόρῳ μετ' ἀδείας, ἃ θέλει λέγειν, ἐπιτρέποιμεν, ἀποφράξαντες δὲ τῷ κατηγορουμένῳ τὰ ὦτα, ἢ τῷ στόματι σιωπῶντες, καταψηφιζοίμεθα τῷ προτέρῳ λόγῳ κεχειρωμένοι. ὥστε οὐ κατὰ τὸ δίκαιον, καὶ τὸ νόμιμον, καὶ τὸν ὅρκον τὸν δικαστικὸν, φαίη τις ἂν γίγνεσθαι τὰς διαβολάς. εἰ δέ τῳ μὴ ἀξιόπιστοι δοκοῦσιν οἱ νομοθέται, παραινοῦντες οὕτω δικαίας καὶ ἀμερεῖς ποιεῖσθαι τὰς κρίσεις, ποιητήν μοι δοκῶ τὸν ἄριστον ἐπαγαγεῖν τῷ λόγῳ, εὖ μάλα περὶ τούτων ἀποφηνάμενον, μᾶλλον δὲ νομοθετήσαντα. φησὶ δέ· Μήτε δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. ἠπίστατο γὰρ, οἶμαι, καὶ οὗτος, ὡς πολλῶν ὄντων ἐν τῷ βίῳ ἀδικημάτων, οὐδὲν ἄν τις εὕροι χεῖρον οὐδὲ ἀδικώτερον, ἢ ἀκρίτους τινὰς, καὶ ἀμοίρους λόγων καταδεδικάσθαι, ὅπερ ἐξ ἅπαντος ὁ διαβάλλων ἐπιχειρεῖ ποιεῖν, ἄκριτον ὑπάγων τὸν διαβαλλόμενον τῇ τοῦ ἀκούοντος ὀργῇ, καὶ τὴν ἀπολογίαν τῷ λαθραίῳ τῆς κατηγορίας περιαιρούμενος. καὶ γὰρ ἀπαρρησίαστος, καὶ δειλὸς ἅπας ὁ τοιοῦτος ἄνθρωπος, οὐδὲν ἐς τὸ ἐμφανὲς ἄγων, ἀλλ' ὥσπερ οἱ λοχῶντες, ἐξ ἀφανοῦς ποθεν τοξεύων, ὡς μηδὲ ἀντιτάξασθαι δυνατὸν εἶναι, μηδὲ ἀνταγωνίσασθαι, ἀλλ' ἐν ἀπορίᾳ, καὶ ἀγνοίᾳ τοῦ πολέμου διαφθείρεσθαι, ὃ μέγιστόν ἐστι σημεῖον τοῦ μηδὲν ὑγιὲς τοὺς διαβάλλοντας λέγειν. ἐπεὶ εἴ τις γε ἀληθῆ κατηγοροῦντι ἑαυτῷ συνεπίσταται, οὗτος, οἶμαι, καὶ εἰς τὸ φανερὸν διελέγχει,

καὶ

καὶ διευθύνει, καὶ ἀντεξετάζει τῷ λόγῳ. ὥσπερ οὐδεὶς ἂν ἐκ τοῦ προφανοῦς νικᾶν δυνάμενος, ἐνέδρᾳ ποτὲ καὶ ἀπάτῃ χρήσαιτο κατὰ τῶν πολεμίων. Ἴδοι δ' ἄν τις τοὺς τοιούτους μάλιστα ἐν τοῦ Βασιλέων αὐλαῖς, καὶ περὶ τὰς τῶν ἀρχόντων καὶ δυναστευόντων φιλίας εὐδοκιμοῦντας, ἔνθα πολὺς μὲν ὁ φθόνος, μυρίαι δὲ ὑπόνοιαι, πάμπολλαι δὲ κολακειῶν καὶ διαβολῶν ὑποθέσεις. ὅπου γὰρ ἀεὶ μείζους ἐλπίδες, ἐνταῦθα καὶ οἱ φθόνοι χαλεπώτεροι, καὶ τὰ μίση ἐπισφαλέστερα, καὶ ζηλοτυπίαι κακοτεχνέστεραι. πάντες οὖν ἀλλήλους ὀξὺ δεδόρκασι· καὶ ὥσπερ οἱ μονομαχοῦντες ἐπιτηροῦσιν, εἴπου τι γυμνωθὲν μέρος θεάσαιντο τοῦ σώματος· καὶ πρῶτος αὐτὸς ἕκαστος εἶναι βουλόμενος, παρωθεῖται, καὶ παραγκωνίζεται τὸν πλησίον, καὶ τὸν πρὸ αὐτοῦ, εἰ δύναιτο, ὑποσπᾷ, καὶ ὑποσκελίζει. ἔνθα ὁ μὲν χρηστὸς ἀτεχνῶς εὐθὺς ἀνατέτραπται, καὶ παρασέσυρται, καὶ τὸ τελευταῖον ἀτίμως ἐξέωσται· ὁ δὲ κολακευτικώτερος, καὶ πρὸς τὰς τοιαύτας κακοηθείας πιθανώτερος εὐδοκιμεῖ, καὶ ὅλως φθάσας κρατεῖ. τὰ γὰρ τοῦ Ὁμήρου πάνυ ἐπαληθεύουσιν, ὅτι Ξυνὸς ἐνυάλιος, καὶ τὸν κτανέοντα κατέκτα. τοιγαροῦν ὡς οὐ περὶ μικρῶν τοῦ ἀγῶνος ὄντος, ποικίλας κατ' ἀλλήλων ὁδοὺς ἐπινοοῦσιν, ὧν ταχίστη καὶ ἐπισφαλεστάτη ἐστὶν ἡ τῆς διαβολῆς· τὴν μὲν ἀρχὴν ἀπὸ φθόνου ἡμισευέλπιδος λαμβάνουσα, οἰκτρότερα δὲ, καὶ τραγικὰ ἐπάγουσα τὰ τέλη, καὶ πολλῶν συμφορῶν ἀνάπλεα. οὐ μέν τοι μικρὸν, οὐδὲ ἁπλοῦν ἐστι τοῦτο, ὡς ἄν τις ὑπολάβοι, ἀλλὰ πολλῆς μὲν τέχνης, οὐκ ὀλίγης δὲ ἀγχινοίας, ἀκριβοῦς δέ τινος ἐπιμελείας δεόμενον. οὐ γὰρ ἂν τοσαῦτα ἔβλαπτεν ἡ διαβολὴ, εἰ μὴ πιθανόν τινα τρόπον ἐγίγνετο, οὐδ' ἂν κατίσχυσε τὴν πάντων ἰσχυροτέραν ἀλήθειαν, εἰ μὴ πολὺ τὸ ἐπαγωγὸν καὶ πιθανὸν, καὶ μυρία ἄλλα παρεσκεύαστο κατὰ τῶν ἀκουόντων. διαβάλλεται μὲν οὖν ὡς τὸ πολὺ μάλιστα ὁ τιμώμενος, καὶ διὰ τοῦτο τοῖς ὑπολειπομένοις αὐτοῦ ἐπίφθονος· ἅπαντες γὰρ τῷ δ' ἐπι-

τοξάζονται, καθάπερ τι κώλυμα καὶ ἐμπόδιον προορώμενοι. καὶ ἕκαστος οἴεται πρῶτος αὐτὸς ἔσεσθαι, τὸν κορυφαῖον ἐκεῖνον ἐκπολιορκήσας, καὶ τῆς φιλίας ἀποτκευασάμενος· οἷόν τι καὶ ἐπὶ τοῖς γυμνικοῖς ἀγῶσιν, ἐπὶ τῶν δρομέων γίγνεται· κἀκεῖ γὰρ ὁ μὲν ἀγαθὸς δρομεὺς, τῆς ὕσπληγγος εὐθὺς κατὰ πεσούσης, μόνον τοῦ πρόσω ἐφιέμενος, καὶ τὴν διάνοιαν ἀποτείνας πρὸς τὸ τέρμα, κἂν τοῖς ποσὶ τὴν ἐλπίδα τῆς νίκης ἔχων, τῷ πλησίον οὐδὲν κακουργεῖ, οὐδέ τι τῶν κατὰ τοὺς ἀγωνιστὰς πολυπραγμονεῖ. ὁ δὲ κακὸς ἐκεῖνος, καὶ ἄναθλος ἀνταγωνιστὴς, ἀπογνοὺς τὴν ἐκ τοῦ τάχους ἐλπίδα, ἐπὶ τὴν κακοτεχνίαν ἐτράπετο, καὶ τοῦτο μόνον ἐξ ἅπαντος σκοπεῖ, ὅπως τὸν τρέχοντα ἐπισχὼν, ἢ ἐμποδίσας ἐπιστομιεῖ, ὡς εἰ τούτου δεομάρτοι, οὐκ ἄν ποτε νικῆσαι δυνάμενος. ὁμοίως δὲ τούτοις, κἂν ταῖς φιλίαις τῶν εὐδαιμόνων γίνεται· ὁ γὰρ προέχων αὐτίκα ἐπιβουλεύεται, καὶ ἀφύλακτος ἐν μέσῳ ληφθεὶς τῶν δυσμενῶν ἀνηρπάσθη, οἱ δὲ ἀγαπῶνται, καὶ φίλοι δοκοῦσιν, ἐξ ὧν ἄλλους βλάπτειν ἔδοξαν, τό, τε ἀξιόπιστον τῆς διαβολῆς οὐχ ὡς ἔτυχεν, ἐπινοοῦσιν, ἀλλ' ἐν τούτῳ τὸ πᾶν αὐτοῖς ἐστιν ἔργον, δεδοικόσι τι προσάψαι ἀπῳδὸν, μὴ δὲ ἀλλότριον. ὡς γοῦν ἐπὶ πολὺ τὰ προσόντα τῷ διαβαλλομένῳ πρὸς τὸ χεῖρον μεταβάλλοντες, οὐκ ἀπιθάνους ποιοῦνται τὰς κατηγορίας, οἷον τὸν μὲν ἰατρὸν διαβάλλουσιν, ὡς φαρμακέα, τὸν πλούσιον δὲ, ὡς τύραννον, τὸν τυραννικὸν δὲ, ὡς προδοτικόν. ἐνίοτε μέν τοι καὶ ὁ ἀκροώμενος αὐτὸς ὑποβάλλει τῆς διαβολῆς τὰς διαφορὰς, καὶ πρὸς τὸν ἐκείνου τρόπον οἱ κακοήθεις αὐτοὶ ἁρμοζόμενοι, εὐστοχοῦσιν. ἢν μὲν γὰρ ζηλότυπον αὐτὸν ὄντα ἴδωσι, διενεύσε, φησι, τῇ γυναικί σου παρὰ τὸ δεῖπνον, καὶ ἀπιδὼν ἐς αὐτὴν, ἀπεστέναξε· καὶ ἡ Στρατονίκη πρὸς αὐτὸν οὐ μάλα ἀηδῶς, καὶ ὅλως ἐρωτικὴ, καὶ τινὲς καὶ μοιχικαὶ πρὸς αὐτὸν αἱ διαβολαί. ἢν δὲ ποιητικὸς ᾖ, καὶ ἐπὶ τούτῳ μέγα φρονῇ, μὰ Δί', ἐχλεύασέ σου Φιλόξενος

τὰ

τὰ ἔπη, καὶ διέσυρε, καὶ ἄμετρα εἶπεν αὐτὰ, καὶ κακοσμύθετα. πρὸς δὲ τὸν εὐσεβῆ καὶ φιλόθεον, ἄθεος καὶ ἀνόσιος ὁ φίλος διαβάλλεται, καὶ ὡς τὸ θεῖον παρωθούμενος, καὶ τὴν πρόνοιαν ἀρνούμενος. ὁ δὲ ἀκούσας, εὐθὺς μύωπι διὰ τοῦ ὠτὸς τυπεὶς, διακέκαυται, ὡς τὸ εἰκὸς, καὶ ἀπέστραπται τὸν φίλον, οὐ περιμείνας τὸν ἀκριβῆ ἔλεγχον. ὅλως γὰρ τὰ τοιαῦτα ἐπινοοῦσι, καὶ λέγουσιν, ἃ μάλιστα ἴσασιν ἐς ὀργὴν δυνάμενα προκαλέσασθαι τὸν ἀκροώμενον. καὶ ἔνθα πρῶτός ἐστιν ἕκαστος, ἐπιστάμενοι, ἐπ' ἐκεῖνον τοξεύουσι, καὶ ἀκοντίζουσιν ἐς αὐτὸν, ὥστε τῇ παραυτίκα ὀργῇ τεταραγμένον, μηκέτι σχολὴν ἄγειν τῇ ἐξετάσει τῆς ἀληθείας, ἀλλὰ κἂν θέλῃ τις ἀπολογεῖσθαι, μὴ προσίεσθαι τῷ παραδόξῳ τῆς ἀκροάσεως, ὡς ἀληθεῖ προκατειλημμένον. ἀνυσιμώτατον γὰρ ὂν τὸ εἶδος τῆς διαβολῆς, τὸ ὑπεναντίον τῆς τοῦ ἀκούοντος ἐπιθυμίας, ὁπότε καὶ παρὰ Πτολεμαίῳ, τῷ Διονύσῳ ἐπικληθέντι, ἐγένετό τις, ὃς διέβαλε τὸν Πλατωνικὸν Δημήτριον, ὅτι ὕδωρ τε πίνει, καὶ μόνος τῶν ἄλλων γυναικεῖα οὐκ ἐνεδύσατο ἐν τοῖς Διονυσίοις. καὶ εἴγε μὴ κληθεὶς, ἕωθεν ἐπιτέτε, πάντων ὁρώντων, καὶ λαβὼν ταραντινίδιον, ἐκυμβάλισέ τε, καὶ προσωρχήσατο, ἀπολώλει ἂν, ὡς οὐχ ἡδόμενος τῷ βίῳ τοῦ Βασιλέως, ἀλλ' ἀντισοφιστὴς ὢν, καὶ ἀντίτεχνος τῆς Πτολεμαίου τρυφῆς. παρὰ δὲ Ἀλεξάνδρῳ μεγίστη τότε ἂν ἁπασῶν διαβολὴ λέγοιτο, εἰ ἔλοιτό τις μὴ σέβειν, μὴ δὲ προσκυνεῖν τὸν Ἡφαιστίωνα. ἐπεὶ γὰρ ἀπέθανεν Ἡφαιστίων, ὑπὸ τοῦ ἔρωτος Ἀλέξανδρος ἐβουλήθη προσθεῖναι καὶ τοῦτο τῇ λοιπῇ μεγαλουργίᾳ, καὶ Θεὸν χειροτονῆσαι τὸν τετελευτηκότα. εὐθὺς οὖν νεώς τε ἀνέστησαν αἱ πόλεις, καὶ τεμένη καθιδρύετο, καὶ βωμοὶ, καὶ θυσίαι καὶ ἑορταὶ τῷ καινῷ τούτῳ Θεῷ ἐπετελοῦντο. καὶ ὁ μέγιστος ὅρκος ἦν ἅπασιν, Ἡφαιστίων. εἰ δέ τις ἢ μειδιάσειε πρὸς τὰ γιγνόμενα, ἢ μὴ φαίνοιτο πάνυ εὐσεβῶν, θά-

να-

ἐπὶ ἐπέκειτο ἡ ζημία. ὑπολαμβάνοντες δὲ οἱ κόλακες τὴν μειρακιώδη ταύτην τῷ Ἀλεξάνδρῳ ἐπιθυμίαν, προσήκειν δοῦναι, καὶ ἀνέζωπύρουν, ὀνείρατα διηγούμενοι τὸν Ἡφαιστίωνος, ἐπιφανείας τινὰς, καὶ ἰάματα προστάττοντες αὐτῷ, καὶ μαντείας ἐπιφημίζοντες, καὶ τέλος, ἔθυον παρέδρῳ καὶ ἀλεξικάκῳ θεῷ. ὁ δὲ Ἀλέξανδρος ἤδετό τε ἀκούων, καὶ τὰ κολακευόμενα, ὡς ἦν, καὶ μέγα ἐφρόνει, οὐκ εἰδὼς ὅτι πῶς ὢν μόνος, ἀλλὰ καὶ θεὸς εἶναι δυνάμενος. πόσους τινὰς οἰόμεθα τῷ Ἀλεξάνδρῳ φίλων παρὰ τὸν καιρὸν ἐκεῖνον λοιδορῆσαι τὸν Ἡφαιστίωνος θεράποντος, ἐμβλητικοὺς, ὡς εἰ τιμῶσι τὸν κοινὸν ἁπάντων θεὸν, καὶ δεῖ τοῦτο ἐξελαθεύοντας, καὶ τῆς τοῦ βασιλέως οὐσίας ἐκπίπτοντας; τότε καὶ Ἀγαθοκλῆς ὁ Σάμιος, παξιάρχων παρὰ Ἀλεξάνδρῳ, καὶ τιμώμενος παρ' αὐτῷ, μικρῷ δεῖν συγκαθείρχθη λέοντι, ἐμβλητικὸς, ὅτι δακρύσειε πεσόντα τὸν Ἡφαιστίωνος πάππον· ἀλλ' ἐκείνῳ μὲν λέγεται βοηθῆσαι Περδίκκας, ἀπομισάμενος καὶ πάντων τῶν θεῶν, καὶ καὶ Ἡφαιστίωνος, ὅτι δὴ καὶ τηλικούτῳ οἱ φανεὶς ἐναργὴς τὸν θεὸν, ἔστιν εἰπεῖν Ἀλεξάνδρῳ φείσασθαι Ἀγαθοκλέους. οὐ γὰρ ὡς ἀτιμασθέντος, οὐδὲ ὡς ὅτι νεκρῷ δακρύσαντι, ἀλλὰ τῆς πάλαι συνηθείας μνημονεύοντα. ἡ γὰρ κολακεία, καὶ ἡ ἐμβολὴ τότε μάλιστα χώραν ἔχει, πρὸς τὸ Ἀλεξάνδρου πάθος συντιθεμένη. καθάπερ γὰρ ἐν πολιορκίᾳ καὶ ὅτι τὰ ὕψηλα καὶ ἀπόκρημνα, καὶ ἀσφαλῆ τοῦ τείχους προσίασιν οἱ πολέμιοι, ἀλλ' ἐν ᾧ ἀφύλακτόν τι μέρος ἢ σαθρὸν αἴσθωνται, ἢ παρεῖνόν ἐπὶ τοῦτο πάσῃ δυνάμει χωροῦσιν, ὡς ῥᾷστα παρεισδύσει, καὶ ἑλεῖν δυνάμενοι, οὕτω καὶ οἱ ἐμβάλλοντες, ὅτι ἂν ἀθεράπευτον ἴδωσι τῆς ψυχῆς, καὶ ὑπόσαθρον, καὶ διαβατὸν, τοῦτο προσβάλλουσι, καὶ προσάγουσι τὰς μηχανάς, καὶ τέλος ἐκπολιορκοῦσι, μηδενὸς ἀντιτεταγμένου, μηδὲ τὴν ἔφοδον αἰσθομένου. εἶτ' ἐπειδὰν ἐντὸς ἅπαξ τυχόντες γένωνται, πυρ-

πο-

λογίαν προαιθόμενος, ἔγνω μάτην καὶ τοῦ φίλου παρωξυμμένος. ἢν δὲ ἀγενέστερος καὶ ταπεινότερος, προσίεται μὲν, καὶ προσμειδιᾷ τοῖς χείλεσιν ἄκροις, μισεῖ δὲ, καὶ λάθρα τοὺς ὀδόντας διαπρίει, καὶ ὡς ὁ Ποιητής φησι, βυσσοδομεύει τὴν ὀργήν. οὐ δὴ ἐγὼ οὐδὲν οἶμαι ἀδικώτερον, οὐδὲ δουλοπρεπέστερον, ἐνδακόντα τὸ χεῖλος, ὑποτρέφειν τὴν χολὴν, καὶ τὸ μῖσος ἐν αὐτῷ κατάκλειστον αὔξειν, ἕτερα μὲν κεύθοντα ἐνὶ φρεσὶν, ἄλλα δὲ λέγοντα, καὶ ὑποκινούμενον ἱλαρῷ καὶ κωμικῷ προσώπῳ, μάλα περιπαθῆ τινα, καὶ γέμουσαν τραγῳδίαν. μάλιστα δὲ τοῦτο πάσχουσιν, ἐπειδὰν πάλαι φίλος ὁ ἐνδιαβάλλων δοκῶν εἶναι τῷ ἐνδιαβαλλομένῳ, ποιῆται ὁμοίως. τότε γὰρ οὔτε φωνὴν ἀκούειν ἔτι θέλουσι τῶν διαβαλλομένων, ἢ τῶν ἀπολογουμένων, τὸ ἀξιόπιστον τῆς κατηγορίας ἐκ τῆς πάλαι δοκούσης φιλίας προειληφότες· οὐδὲ τοῦτο λογιζόμενοι, ἔτι πολλαὶ πολλάκις ἐν τοῖς φιλτάτοις μίσους παραπίπτουσιν αἰτίαι, τοὺς ἄλλους λανθάνουσαι. καὶ ἐνίοτε οἷς αὐτός τις ἔνοχός ἐστι, ταυτὶ φθάσας κατηγόρησε τοῦ πλησίον, ἐκφυγεῖν οὕτω πειρώμενος τὴν διαβολήν. καὶ ὅλως, ἐχθρὸν μὲν οὐδεὶς ἂν τολμήσειε διαβάλλειν· ἄπιστος γὰρ αὐτόθι ἡ κατηγορία, πρόδηλον ἔχουσα τὴν αἰτίαν. τοῖς δοκοῦσι δὲ μάλιστα φίλοις ἐπιχειροῦσι, τὴν πρὸς τοὺς ἀκούοντας εὔνοιαν ἐμφυῦσαι προαιρούμενοι, ὅτι ἐπὶ τῷ ἐκείνων συμφέροντι οὐδὲ τῶν οἰκειοτάτων ἀπέσχοντο. εἰσὶ δέτινες, οἳ κἂν μάθωσιν ὕστερον ἀδίκως διαβεβλημένους παρ' αὐτοῖς τοὺς φίλους, ὅμως ὑπ' αἰσχύνης, ὧν ἐπίστευσαν, οὐδέτι προσίεσθαι, οὐδὲ τολμῶσι προσβλέπειν αὐτοὺς, ὥσπερ ἠδικημένοι, ὅτι μηδὲν ἀδικοῦντας ἐπέγνωσαν. Τοιγαροῦν πολλῶν κακῶν ὁ βίος ἐπλήσθη ὑπὸ τῶν οὕτω ῥᾳδίως καὶ ἀνεξετάστως πεπιστευμένων διαβολῶν. ἡ μὲν γὰρ Ἄντεια, Τεθναίης, φησὶν, ὦ Προῖτε, ἢ κάκτανε Βελλεροφόντην· Ὅς μ' ἔθελε φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ· αὐτὴ προ-

τέρα

νέρα ἐπιχειρήσασα, καὶ ὑπεροφθεῖσα. καὶ μικροῦ ὁ νεανίας ἐν τῇ πρὸς χίμαιραν συμπλοκῇ διεφθάρη, ἐπιτίμιον σωφροσύνης ὑποσχὼν, καὶ τῆς πρὸς τὸν ξένον αἰδοῦς ὑπὸ μάχλου γυναικὸς ἐπιβεβουλευμένος: ἡ δὲ Φαῖδρα κἀκείνη τὰ ὅμοια κατειποῦσα τοῦ προγόνου, ἐπάρατον ἐποίησε τὸν Ἱππόλυτον γενέσθαι ὑπὸ τοῦ πατρὸς, οὐδὲν, ὦ Θεοὶ, οὐδὲν ἀνόσιον εἰργασμένον· νὰ φησίς τις, ἀλλ' ἀξιόπιστός ἐστιν ἐνίοτε ὁ διαβάλλων ἀνὴρ, τά τε ἄλλα δίκαιος, καὶ συνετὸς εἶναι δοκῶν, καὶ ἐχθῶν προσέχειν αὐτῷ, ἅτε μηδὲν ἂν τοιοῦτο κακουργήσαντι. ἆρ' οὖν τοῦ Ἀριστείδου ἔστι τις δικαιότερος; ἀλλ' ὅμως κἀκεῖνος συνέστη ἐπὶ τὸν Θεμιστοκλέα, καὶ συμπαρώξυνε τὸν δῆμον, ἧς, φασιν, ἐκεῖνος πολιτικῆς φιλοτιμίας ὑποκεκνισμένος. δίκαιος μὲν γὰρ, ὡς πρὸς τοὺς ἄλλους, Ἀριστείδης, ἄνθρωπος δὲ καὶ αὐτὸς ἦν, καὶ χολᾶν εἶχε, καὶ ἠγάπα τινὰς, καὶ ἐμίσει. καὶ εἴγε ἀληθής ἐστιν ὁ περὶ τοῦ Παλαμήδους λόγος, ὁ συνετώτατος τῶν Ἀχαιῶν, κἂν τοῖς ἄλλοις ἄριστος, τὴν ἐπιβουλὴν, καὶ ἐνέδραν ὑπὸ φθόνου φαίνεται συντεθεικὼς, καὶ ἀνδρὸς ὁμαίμου καὶ φίλου, καὶ ἐπὶ τὸν αὐτὸν κίνδυνον ἐκπεπλευκότος. οὕτως ἔμφυτον ἅπασιν ἀνθρώποις ἡ περὶ τὰ τοιαῦτα ἁμαρτία. τί γὰρ ἄν τις, ἢ τὸν Σωκράτην λέγοι, τὸν ἀδίκως πρὸς τοὺς Ἀθηναίους διαβεβλημένον, ὡς ἀσεβῆ, καὶ ἐπίβουλον, ἢ τὸν Θεμιστοκλέα, ἢ τὸν Μιλτιάδην, τοὺς μετὰ τηλικαύτας νίκας, ἐπὶ προδοσίᾳ τῆς Ἑλλάδος ὑπόπτους γενομένους; μυρία τὰ παραδείγματα, καὶ σχεδὸν τὰ πλεῖστα ἤδη γνώριμα. Τί οὖν ἐχθῶν ποιεῖν τόν γε νοῦν ἔχοντα, ἢ ἀρετῆς, ἢ ἀληθείας ἀμφισβητοῦντα; ὅπερ, οἶμαι, καὶ Ὅμηρος ἐν τῷ περὶ Σειρήνων μύθῳ ἠνίξατο, παραπλέειν κελεύσας τὰς ὀλεθρίους ταύτας τῶν ἀκουσμάτων ἡδονὰς, καὶ ἀποφράττειν τὰ ὦτα, καὶ μὴ ἀνέδην αὐτὰ ἀναπεταννύειν τοῖς πάθει προειλημμένοις, ἀλλ' ἐπιστήσαντα ἀκριβῆ θυρωρὸν τὸν λο-

γισμὸν ἅπασι τοῖς λεγομένοις, τὰ φαῦλα δὲ ἀποκλείειν καὶ ἀπωθεῖν, καὶ γὰρ ἂν εἴη γελοῖον, τῆς μὲν οἰκίας θυρωρὸς καθιστάναι, τὰ ὦτα δὲ καὶ τὴν διανοίαν, ἀνεῳγμένα ἐᾶν. ἐπειδὰν τοίνυν τοιαῦτα προσίῃ τις λέγων, αὐτὸ ἐφ' αὑτοῦ χρὴ τὸ πρᾶγμα ἐξετάζειν, μήτε ἡλικίαν τοῦ λέγοντος ὁρῶντα, μήτε τὸν ἄλλον βίον, μήτε τὴν ἐν τοῖς λόγοις ἀγχίνοιαν. ὅσῳ γάρ τις πιθανώτερος, τοσούτῳ ἐπιμελεστέρας δεῖται τῆς ἐξετάσεως. οὐ δεῖ τοίνυν πιστεύειν ἀλλοτρίᾳ κρίσει, μᾶλλον δὲ μίσει τοῦ κατηγοροῦντος, ἀλλ' ἑαυτῷ τὴν ἐξέτασιν φυλακτέον τῆς ἀληθείας, ἀποδόντα καὶ τῷ διαβάλλοντι τὸν φθόνον, καὶ ἐν φανερῷ ποιησάμενος τὸν ἔλεγχον τῆς ἑκατέρου διανοίας, καὶ μισεῖν οὕτω, καὶ ἀγαπᾶν τὸν δεδοκιμασμένον. πρὶν δὲ τοῦτο ποιῆσαι, ἐκ τῆς πρώτης διαβολῆς κεκινημένον. Ἡράκλεις, ὡς μειρακιῶδες, καὶ ταπεινὸν, καὶ παντὸν οὐχ ἥκιστα ἄδικον. Ἀλλὰ τούτων ἁπάντων αἴτιον, ὅπερ ἐν ἀρχῇ ἔφημεν, ἡ ἄγνοια, καὶ τὸ ἐν σκότῳ που εἶναι τὸν ἑκάστου τρόπον, ὡς εἴ γε Θεῶν τις ἀποκαλύψειεν ἡμῶν τοὺς βίους, οἴχοιτο ἂν φεύγουσα ἐς τὸ βάραθρον ἡ διαβολὴ, χώραν οὐκ ἔχουσα, ὡς ἂν πεφωτισμένων τῶν πραγμάτων ὑπὸ τῆς ἀληθείας.

ΑΥ.

ΛΥΣΙΟΥ

ΥΠΕΡ ΤΟΥ ΕΡΑΤΟΣΘΕΝΟΥΣ

Φόνου Ἀπολογία.

Περὶ πολλοῦ ἂν ποιησαίμην, ὦ Ἄνδρες, τὸ τοιούτους ὑμᾶς ἐμοὶ Δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι, οἷοί περ ἂν ὑμῖν αὐτοῖς, εἰ ἦτε τοιαῦτα πεπονθότες. εὖ γὰρ οἶδ' ὅτι, εἰ τὴν αὐτὴν γνώμην περὶ τῶν ἄλλων ἔχοιτε, ἥνπερ περὶ ὑμῶν αὐτῶν, οὐκ ἂν εἴη ὅς τις οὐκ ὀπὶ τοῖς γεγενημένοις ἀγανακτοίη, ἀλλὰ πάντες ἂν περὶ τῶν τὰ τοιαῦτα ἐπιτηδευόντων τὰς ζημίας μικρὰς ἡγεῖσθε, καὶ ταῦτα οὐκ ἂν εἴη μόνον παρ' ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ' ἐν ἁπάσῃ τῇ Ἑλλάδι. Περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος, καὶ ἐν δημοκρατίᾳ, καὶ ὀλιγαρχίᾳ ἡ αὐτὴ τιμωρία τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδέδοται, ὥστε τὸν χείριστον τῶν αὐτῶν τυγχάνειν τῷ βελτίστῳ. οὕτως, ὦ Ἄνδρες, ταύτην τὴν ὕβριν ἅπαντες ἄνθρωποι δεινοτάτην ἡγοῦνται. Περὶ μὲν οὖν τοῦ μεγέθους τῆς ζημίας, ἅπαντας ὑμᾶς νομίζω τὴν αὐτὴν διάνοιαν ἔχειν, καὶ οὐδένα οὕτως ὀλιγώρως διακεῖσθαι, ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν, ἢ μικρὰς ζημίας ἀξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων αἰτίους. Ἡγοῦμαι δὲ, ὦ Ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς ἐμοίχευεν Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν, καὶ ἐκείνην τε διέφθειρε, καὶ τοὺς παῖδας τοὺς ἐμοὺς ἤσχυνε, καὶ ἐμὲ αὐτὸν ὕβρισεν, εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. καὶ οὔτε ἔχθρα ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν, πλὴν ταύτης. οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι, οὔτε ἄλλου κέρδους οὐδενὸς, πλὴν τῆς κατὰ νόμους

νιμωρίας. Ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα, οὐδὲν παραλείπων, ἀλλὰ λέγων τἀληθῆ. ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν, ἐὰν ὑμῖν εἰπεῖν δυνηθῶ ἅπαντα τὰ πεπραγμένα. Ἐγὼ γὰρ, ὦ ἄνδρες, ἐπειδὴ ἔδοξέ μοι γῆμαι, καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν, τὸν μὲν ἄλλον χρόνον οὕτω διεκείμην, ὥστε μήτε λυπεῖν, μήτε λίαν ἐπ' ἐκείνῃ εἶναι, ὅ, τι ἂν θέλοι ποιεῖν· ἐφύλαττόν τε ὡς οἷόν τε ἦν, καὶ προσεῖχον τὸν νοῦν, ὥσπερ εἰκὸς ἦν. ἐπειδὴ δέ μοι παιδίον γίγνεται, ἐπέστευον ἤδη, καὶ πάντα τὰ ἐμαυτοῦ ἐκείνῃ παρέδωκα, ἡγούμενος ταύτην οἰκειότητα μεγίστην εἶναι. Ἐν μὲν οὖν τῷ πρώτῳ χρόνῳ, ὦ Ἀθηναῖοι, πασῶν ἦν βελτίστη. καὶ γὰρ οἰκονόμος δεινὴ, καὶ φειδωλὸς ἀγαθὴ, καὶ ἀκριβῶς πάντα διοικοῦσα. ἐπειδὴ δέ μοι ἡ μήτηρ ἐτελεύτησε, πάντων τῶν κακῶν ἀποθανοῦσα αἰτία μοι γεγένηται. ἐπ' ἐκφορὰν γὰρ αὐτῇ ἀκολουθήσασα ἡ ἐμὴ γυνὴ, ὑπὸ τούτου τοῦ ἀνθρώπου ὀφθεῖσα, χρόνῳ διεφθείρεται. ἐπιτηρῶν γὰρ τὴν θεράπαιναν τὴν εἰς τὴν ἀγορὰν βαδίζουσαν, καὶ λόγους προσφέρων, ἀπώλεσαν αὐτήν. Πρῶτον μὲν οὖν, ὦ Ἄνδρες, (δεῖ γὰρ καὶ ταῦτα ἡμῖν διηγήσασθαι) οἰκίδιον ἐστί μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω, κατὰ τὴν γυναικωνῖτιν, καὶ κατὰ τὴν ἀνδρωνῖτιν. ἐπειδὴ δὲ τὸ παιδίον ἐγένετο ἡμῖν, ἡ μήτηρ αὐτὸ ἐθήλαζεν, ἵνα δὲ μὴ, ὁπότε λούεσθαι δέοι, κινδυνεύῃ κατὰ τῆς κλίμακος καταβαίνουσα, ἐγὼ μὲν ἄνω διῃτώμην, αἱ δὲ γυναῖκες κάτω. οὕτως ἤδη συνειθισμένον ἦν, ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευδήσουσα ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ, καὶ μὴ βοᾷ. καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίνετο, καὶ ἐγὼ οὐδέποτε ὑπώπτευσα, ἀλλ' οὕτως ἠλιθίως διεκείμην, ὥστε ᾤμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει. Προϊόντος δὲ τοῦ χρόνου, ὦ Ἄνδρες, ἧκον μὲν ἀπροσδοκήτως ἐξ

ἀγροῦ.

ἀγροῦ. μετὰ δὲ τὸ δεῖπνον, τὸ παιδίον ἐβόα καὶ ἐδυσκόλαινεν, ὑπὸ τῆς θεραπαίνης ὀπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ. ὁ γὰρ ἄνθρωπος ἔνδον ἦν (ὕστερον γὰρ ἅπαντα ἐπυθόμην·) καὶ ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον, καὶ δοῦναι τῷ παιδὶ τὸν τιτθὸν, ἵνα παύσηται κλαίων. ἡ δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη με ἑωρακυῖα ἥκοντα δὴ διὰ χρόνου. ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην, καὶ ἐκέλευον αὐτὴν ἀπιέναι, ἵνα σύγε, ἔφη, πειρᾷς ἐνταῦθα τὴν παιδίσκην, καὶ πρότερον δὲ μεθύων εἷλκες αὐτήν. κἀγὼ μὲν ἐγέλων, ἐκείνη δὲ ἀναστᾶσα, καὶ ἀπιοῦσα, προστίθησι τὴν θύραν, προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλκεται. κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος, οὐδὲ ὑπονοῶν, ἐκάθευδον ἄσμενος, ἥκων ἐξ ἀγροῦ. Ἐπειδὴ δὲ ἦν πρὸς ἡμέραν, ἧκεν ἐκείνη, καὶ τὴν θύραν ἀνέῳξεν. ἐρομένου δέ μου, τί αἱ θύραι νύκτωρ ψοφεῖεν; ἔφασκε τὸν λύχνον ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτόνων ἀνάψασθαι. ἐσιώπων ἐγὼ, καὶ ταῦτα οὕτως ἔχειν ἡγούμην. ἔδοξε δέ μοι, ὦ Ἄνδρες, τὸ πρόσωπον ἐψιμμυθιῶσθαι, τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ' ἡμέρας. Ὅμως δ' οὐδ' οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγματος, ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ. Μετὰ δὲ ταῦτα, ὦ Ἄνδρες, χρόνου μεταξὺ διαγενομένου, καὶ ἐμοῦ πολὺ ἀπολελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοι τὶς πρεσβύτις ἄνθρωπος, ὑπὸ γυναικὸς πεμφθεῖσα, ἣν ἐκεῖνος ἐμοίχευεν, ὡς ἐγὼ ὕστερον ἤκουον. αὐτὴ δὲ ὀργιζομένη, καὶ ἀδικεῖσθαι νομίζουσα, ὅτι οὐκ ἔτι ὁμοίως ἐφοίτα παρ' αὐτὴν, ἐφύλαττεν, ἕως ἐξεῦρεν, ὅ,τι εἴη τὸ αἴτιον. προσελθοῦσα οὖν μοι ἐγγὺς ἡ ἄνθρωπος τῆς οἰκίας τῆς ἐμῆς, ὀπιτηροῦσα, εὐφίλητε, ἔφη, μηδεμιᾷ πολυπραγμοσύνῃ προσεληλυθέναι με νόμιζε πρὸς σέ. ὁ γὰρ ἀνὴρ ὁ ὑβρίζων εἰς σὲ καὶ τὴν γυναῖκα, ἐχθρὸς ὢν ἡμῖν τυγχάνει. ἐὰν οὖν λάβῃς τὴν θεράπαιναν τὴν εἰς ἀγορὰν βαδίζουσαν, καὶ διακονοῦσαν ὑμῖν, καὶ βασανίσῃς,

ἅπαν-

ἅπαντα πεύσῃ. ἔστι δὲ, ἔφη, Ἐρατοσθένης ὁ ταῦτα πράττων, ὃς οὐ μόνον τὴν σὴν γυναῖκα διέφθαρκεν, ἀλλὰ καὶ ἄλλας πολλάς. ταύτην γὰρ τὴν τόχνην ἔχει. Ταῦτα εἰποῦσα, ὦ Ἄνδρες, ἐκείνη μὲν ἀπηλλάγη, ἐγὼ δὲ εὐθέως ἐπιραττόμην· καὶ πάντα μου εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας, ἐνθυμούμενος μὲν ὡς ἀπεκλείσθην ἐν τῷ δωματίῳ, ἀναμιμνησκόμενος δὲ, ὅτι ἐν ἐκείνῃ τῇ νυκτὶ ἐψόφει ἡ μετάυλος θύρα, καὶ ἡ αὔλειος, (ὃ οὐδέ ποτε ἐγένετο) ἔδοξε τέ μοι ἡ γυνὴ ἐψιμμυθιῶσθαι. Ταῦτά μου πάντα εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας. ἐλθὼν δὲ οἴκαδε, ἐκέλευον ἀκολουθεῖν μοι τὴν θεράπαιναν εἰς τὴν ἀγοράν. ἀγαγὼν δ' αὐτὴν ὡς τῶν ἐπιτηδείων τινὰ, ἔλεγον, ὅτι ἐγὼ πάντα εἴην πεπυσμένος τὰ γινόμενα ἐν τῇ οἰκίᾳ. σοὶ οὖν, ἔφην, ἔξεστι δυοῖν ὁπότερον βούλει ἑλέσθαι, ἢ μαστιγωθεῖσαν εἰς μύλωνα ἐμπεσεῖν, καὶ μηδέ ποτε παύσασθαι κακοῖς τοιούτοις συνεχομένην, ἢ κατειποῦσαν ἅπαντα τ' ἀληθῆ, μηδὲν παθεῖν κακὸν, ἀλλὰ συγγνώμης παρ' ἐμοῦ τυχεῖν τῶν ἡμαρτημένων. ψεύσῃ δὲ μηδὲν, ἀλλὰ πάντα τ' ἀληθῆ λέγε. Κἀκείνη τὸ μὲν πρῶτον ἔξαρνος ἦν, καὶ ποιεῖν ἐκέλευεν ὅ,τι βούλομαι, οὐδὲν γὰρ εἰδέναι. ἐπειδὴ δὲ ἐγὼ ἐμνήσθην Ἐρατοσθένους πρὸς αὐτὴν, καὶ εἶπον ὅτι οὗτος ὁ φοιτῶν εἴη πρὸς τὴν γυναῖκα, ἐξεπλάγη, ἡγησαμένη με πάντα ἀκριβῶς ἐγνωκέναι. καὶ τότε ἤδη πρὸς τὰ γόνατά μου πεσοῦσα, καὶ πίστιν παρ' ἐμοῦ λαβοῦσα μηδὲν πείσεσθαι κακὸν, κατηγόρει, πρῶτον μὲν ὡς μετὰ τὴν ἐκφορὰν αὐτῇ προσίοι, ἔπειτα ὡς αὐτὴ τελευτῶσα εἰσαγγείλειε, καὶ ὡς ἐκείνη τῷ χρόνῳ προσθείη καὶ τὰς εἰσόδους, καὶ οἷς τρόποις προσίοι, καὶ ὡς θεσμοφορίοις ἐμοῦ ἐν ἀγρῷ ὄντος, ᾤχετο εἰς τὸ ἱερὸν μετὰ τῆς μητρὸς τῆς ἐκείνου, καὶ τἄλλα τὰ γενόμενα πάντα ἀκριβῶς διηγήσατο. Ἐπειδὴ πάντα εἴρητο αὐτῇ, εἶπον ἐγὼ, ὅρα τοίνυν ὅπως μηδεὶς ἀνθρώπων ταῦτα πεύσηται.

εἰδὲ

εἰδὲ μή, ἐδὲν σοι πύριον ἔσαι πρὸς ἐμὲ ὁμολογημένων. ἀξιῶ δέ σε ἐπ' ἀντιφόρῳ ταῦτά μοι ἐπιδεῖξαι. ἐγὼ γὰρ οὐδὲν δέομαι λόγων, ἀλλὰ τὸ ἔργον φανερὸν γενέσθαι, εἴπερ ὅτως ἔχει. ὡμολόγει ταῦτα ποιήσειν. καὶ μετ' ταῦτα διηγεῖτο ἡμέρας τέσσαρας ἢ πέντε, ὡς ἐγὼ μεγάλοις ὑμῖν τεκμηρίοις ἐπιδείξω. πρῶτον δὲ διηγήσασθαι βούλομαι τὰ πραχθέντα τῇ τελευταίᾳ ἡμέρᾳ. Σώστρατος ὢν μοι ἑταῖρος καὶ φίλος. τούτῳ ἡλίκα δεδύκοτος ἐόντι ἐξ ἀρχῆς ἀπιστήσατε. εἰδὼς δ' ἐγὼ, ὅτι τὴν ἀφιγμένος, οὐδεν' ὧν κατελήφοιτο οἴκοι τῶν ἐπιτηδείων, ἐπέλθων συνδειπνεῖν· καὶ ἐλθόντες οἴκαδε ὡς ἐμὲ, ἀναβάντες εἰς τὸ ὑπερῷον, ἐδειπνοῦμεν. Ἐπειδὴ δὲ καλῶς αὐτῷ εἶχεν, ἐκεῖνος μὲν ἀπιὼν ᾤχετο, ἐγὼ δὲ ἐκάθευδον. ὁ δ' Ἐρατοσθένης, ὦ Ἄνδρες, εἰσέρχεται, καὶ ἤθελε παίειν ἐπιχειρήσειν με δι' ὅτι. σὺ δὲν ὅτι. Κἀγὼ εἶπον ἐκείνῳ ἐπιμελεῖσθαι τῆς θύρας, καταβὰς σιωπῇ ἐξέρχομαι, καὶ ἀφικνοῦμαι εἰς τὸν, καὶ τόν. καὶ τὰς μὲν ἔνδον κατέλαβον, τὰς δὲ καὶ ἐπιδημοῦντας εὗρον. Παραλαβὼν δ' ὡς οἷόν τε δι' πλείστης ἐκ τῶν παρόντων, ἐβάδιζον. καὶ δᾴδας λαβόντες ἐκ τοῦ ἐγγυτάτω καπηλείου, εἰσερχόμεθα, ἀνεῳγμένης τῆς θύρας, καὶ ὑπὸ τῶν ἀνθρώπων περιεχομένης. ὥσαντες δὲ τὴν θύραν τῷ δωματίῳ, οἱ μὲν πρῶτον εἰσιόντες, ἔτι εἰδομεν αὐτὸν καταπεπτωκότα πρὸς τὴν γυναῖκα, οἱ δ' ὕστερον, ἐν τῇ κλίνῃ γυμνὸν ἑστηκότα. Ἐγὼ δ' ὦ Ἄνδρες, παταξας καταβάλλω αὐτὸν, καὶ τὼ χεῖρε ἀναγαγὼν εἰς τὰ πίσω, καὶ δήσας, πρῶτον μὲν τί ὑβρίζει εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει, λιτιβάλλετο δὲ καὶ ἱκέτευε μὴ αὐτὸν κτεῖναι, ἀλλ' ἀργύριον πράξασθαι. Ἐγὼ δ' εἶπον. ὅτι οὐκ ἐγώ σε ἀποκτενῶ, ἀλλ' ὁ τῆς πόλεως νόμος, ὃν σὺ παραβαίνων, καὶ ἐλάττονος τὴν ἡδονὴν ποιήσας, καὶ μᾶλλον εἵλε τοιοῦτον ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμὴν, καὶ εἰς τοὺς παῖδας τοὺς ἐμοὺς, ἢ

τοῖς

τοῖς νόμοις πείθεσθαι, καὶ κόσμιος εἶναι. Οὕτως, ὦ Ἄνδρες, ἐκεῖνος τῶν ἐτύχθη, ὥστε τοῖς νόμοις καλοῦσι τοὺς τοιαῦτα παράνομα, καὶ εἰσαγομένοις ἐκ τῆς ὁδοῦ, ὑφ' ὧν τὴν ἑαυτοῦ καταφυγών, ὥσπερ ἔστι λέγειν. πῶς γὰρ ἄν; ὅστις ἐν τῷ δικαστηρίῳ παρὰ ποδῶν κατέπεσεν ἄλλοις, ἐγὼ δὲ ἀνέστρεφα αὐτὸν τῇ χειρί, εἶδον δὲ ἦσαν ἄνθρωποι τοιοῦτοι, οἷς ἔξεστιν καὶ ἰδιώτῃ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ὁδῷ, καὶ ξύλοις, καὶ ἄλλο ὅτου ἔχων, ὡς τοὺς εἰσελθόντας ἂν ἰδιώτας. Ἀλλ', ὦ Ἄνδρες, οἶμαι ὑμᾶς εἰδέναι, ὅτι οἱ μὲν τὰ δίκαια πράττοντες, οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν ἀληθῆ. αὐτοὶ δὲ δεδοίκασι καὶ τὰ τοιαῦτα μηχανῶνται, ὀργὰς τοῖς ἀκούσι καὶ τῷ τὰ δίκαια πραττόντων ἐνδιαβάλλουσι. πρῶτον μὲν οὖν ἀναγνωσθήτω τὸν νόμον. NOMOΣ. καὶ ἐμφισβήτει, ὦ Ἄνδρες, ἀλλ' ὁμολόγει ἀδικεῖν, καὶ ὅπως μὲν μὴ ἀποθάνῃ λιθοβολεῖ καὶ ἱκέτευε, ἀποτίνειν δ' ἕτοιμος ἦν χρήματα. ἐγὼ δὲ τῷ μὲν ἐκεῖνα τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἀξίαν εἶναι ἡγεμόνα. καὶ τοῦτον ἔλαβον τὴν δίκην, ὃν ὑμεῖς δικαιοτάτων εἶναι ἡγήσασθε, τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐπάξετε. καί μοι ἀνάβητε τοὺς μάρτυρας. MAPTTPIAI. Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου Πάγου. Ἀκούετε, ὦ Ἄνδρες ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου Πάγου, ᾧ καὶ πάτριόν ἐστι, καὶ ἀφ' ὑμῶν δοκεῖ δοῦναι τὴν φήμην τοὺς δίκας δικάζειν, δεδόκιμαι εἶναι· τοῦτον μὴ καταγνώσεσθαι φόνου, ὡς ἂν ὅτῳ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν, αὐτῷ τὴν τιμωρίαν ποιήσηται. καὶ ὅτω σφόδρα ὁ νομοθέτης ὅτι ταῖς γαμεταῖς γυναιξὶ δίκαια αὐτὸν ἡγήσατο εἶναι, ὅτε καὶ ὅτι ταῖς παλλακαῖς ταῖς ἐλάττονος ἀξίας τὴν αὐτὴν δίκην ἐπέθηκε. καὶ τοι δῆλον ὅτι εἴτινα εἶχε αὐτὸς μείζω τιμωρίαν ὅτι ταῖς γαμεταῖς, ἐπαίσατο ἄν· νυνὶ δὲ οὐκ οἷός τε ὢν αὐτὸς ἰσχυροτέραν ἐπ' ἐκείναις εὑρεῖν, τὴν αὐτὴν καὶ ὅτι ταῖς παλλακαῖς ἠξίωσε

γενέσθαι. Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον. ΝΟΜΟΣ. Ἀκούετε Ἄνδρες, ὅτι κελεύει, ἐάν τις ἄνθρωπον ἐλεύθερον, ἢ παῖδα αἰσχύνῃ βίᾳ, διπλοῦν τὴν βλάβην ὀφείλειν· ἐὰν δὲ γυναῖκας, ἐφ' αἷς περ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι. Οὕτως, ὦ Ἄνδρες, τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι, ἢ τοὺς πείθοντας. τῶν μὲν γὰρ θάνατον κατέγνω, τοῖς δὲ διπλοῦν ἐποίησε τὴν βλάβην, ἡγούμενος, τοὺς μὲν διαστρατομένους βίᾳ, ὑπὸ τῶν βιασθέντων μισεῖσθαι, τοὺς δὲ πείσαντας, οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὡς οἰκειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας, ἢ τοῖς ἀνδράσι, καὶ πᾶσαν ἐπ' ἐκείνοις τὴν οἰκίαν γεγονέναι, καὶ τοὺς παῖδας ἀδήλους εἶναι, ὁποτέρων τυγχάνουσιν ὄντες, τῶν ἀνδρῶν, ἢ τῶν μοιχῶν. ἀνθ' ὧν ὁ τὸν νόμον τιθεὶς θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν. Ἐμοῦ τοίνυν, ὦ Ἄνδρες, οἱ μὲν νόμοι οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες ταύτην τὴν δίκην λαμβάνειν. ἐν ὑμῖν δ' ἐστὶ, πότερον χρὴ τούτους ἰσχυροὺς, ἢ μηδενὸς ἀξίους εἶναι. Ἐγὼ γὰρ οἶμαι πάσας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι, ἵνα περὶ ὧν ἂν παραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλθόντες, σκεψώμεθα, ὅ, τι ἡμῖν ποιητέον ἐστίν. Οὗτοι τοίνυν περὶ τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην δίκην λαμβάνειν παρακελεύονται, οἷς ὑμᾶς ἀξιῶ τὴν αὐτὴν γνώμην ἔχειν. εἰ δὲ μὴ, τοιαύτην ἄδειαν τοῖς μοιχοῖς ποιήσετε, ὡς καὶ τοὺς κλέπτας ἐπαρεῖτε φάσκειν μοιχοὺς εἶναι, εὖ εἰδότας ὅτι, ἐὰν ταύτην τὴν αἰτίαν περὶ ἑαυτῶν λέγωσι, καὶ ἐπὶ τούτῳ φάσκωσιν εἰς τὰς ἀλλοτρίας οἰκίας εἰσιέναι, οὐδεὶς ἅψεται. πάντες γὰρ εἴσονται, ὅτι τοὺς μὲν νόμους τῆς μοιχείας χαίρειν ἐᾶν δεῖ, τὴν δὲ ψῆφον τὴν ὑμετέραν δεδιέναι. αὕτη γάρ ἐστι πάντων τῶν ἐν τῇ πόλει κυριωτάτη. Σκέψασθε, ὦ Ἄνδρες, κατηγοροῦσι γάρμου, ὡς ἐγὼ τὴν θεράπαιναν ἐν ἐκείνῃ, τῇ ἡμέρᾳ μετελθεῖν ἐκέλευσα τὸν νεανίσκον. Ἐγὼ δὲ, ὦ

Ἄν-

Ἄνδρες, δίκαιον ἐμὲ μὲν ποιεῖν ἡγεμόνα, φύσιν δὲ ὑμῶν τὸν τὴν γυναῖκα τὴν ἐμὴν διαφθείραντα λαμβάνειν. εἰ μὲν γὰρ λόγων εἰρημένων, ἔργα δὲ μηδενὸς γεγραμμένα, μισθὸν ἐκέλευον ἐκεῖνον, ἠδίκουν ἄν. εἰδὲ νῦν πρᾶγμα γεγραμμένον, καὶ πολλάκις εἰσελυλιθὸς εἰς τὴν οἰκίαν τὴν ἐμὴν, φύσιν δὸς ἐλάμβανον αὐτὸν, σωφρονεῖν ἐμαυτὸν ἡγούμην. Σκέψασθε δὲ, ὅτι καὶ πολλὰ ἐδίδοντο, ῥᾳδίως δὲ ἐκ τούτου γνώσεσθε. ἐμοὶ γὰρ ὦ Ἄνδρες, (ὅπερ καὶ πρότερον εἶπον) φίλος ἦν Σώστρατος, καὶ οἰκείως διεκείμην, ἀπωτάτω ἐξ ἀγροῦ περὶ ἡλίου δυσμὰς συνεδείπνει. καὶ ἐπειδὴ καλῶς εἶχεν αὐτῷ, ἀπιὼν ᾤχετο. Καίτοι πρῶτον μὲν, ὦ Ἄνδρες, ἐνθυμήθητε, ὅτι εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγὼ ἐπεβούλευον Ἐρατοσθένει, πόσον ἦν μοι κρεῖττον αὐτῷ ἐτέρωθι δειπνεῖν, ἢ τὸν συνδειπνήσοντα εἰσαγαγεῖν; ὅπου γὰρ αὖ ἦττον ἐτόλμησεν εἰσελθεῖν εἰς τὴν οἰκίαν ὁ εἰπὼν δεῦρο αὖ ὑμῖν τὸν συνδειπνοῦντα ἀφεὶς, μόνον καταλειφθεῖναι καὶ ἔρημος ἁλῶναι; ἢ κελεύειν ἐκεῖνον μένειν, ἵνα μετ' ἐμὲ τὸν μοιχὸν ἐτιμωρεῖτο; Ἔπειτα, ὦ Ἄνδρες, οὐκ οἶδ' ὅπως ὑμῖν τοῖς δεδειπνηκόσιν μεθ' ἡμέραν ἀφίγνεῖται, καὶ κελεῦσαι αὐτοὺς συλλεγῆναι εἰς οἰκίαν τὴν φίλων τὴν ἐγγυτάτω μᾶλλον, ἢ ἐπειδὴ τάχιστα μεθόμην, εἰς νυκτὸς ἀφικέσθαι; οὐκ οἶδ' ὅπου τινὰ οἴκοι καταλείψομαι, καὶ ὅν τινα ἔξω; Καὶ ὡς Ἁρμόδιον μὲν, καὶ τὸν δεῦρο ἥλθον, οὐκ ὀλίγου (οὐ γὰρ ἤδειν) ἑπόρευσ' ἂν οὐδὲν ὄντας καταλαβεῖν. ὡς δὲ οἷός τε ἦν λαβεῖν, ἐβάδιζον: Καίτοι γε οὐ πορεύεσθαι, οὐκ ἂν δοκεῖ ὑμῖν καὶ θεράποντας ἀφιστάναι, καὶ τοῖς φίλοις ἀφίγνεῖται; ἵν' ὡς ἀσφαλέστατα μοι αὐτὸν εἰσῆσαν (τί γὰρ ἤδειν, εἴτι παρεῖτος εἶχε σιδήρεον;) ὡς μὴ πλείστων δὲ μαρτύρων τὴν τιμωρίαν ἐποιούμην; νοῦν δὲ ἔδοξ' εἶδάς τὴν ἐσομένην ἐκείνῃ τῇ νυκτὶ, ὡς οἷός τε ἦν παρέλαβον. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

MAP-

ΜΑΡΤΥΡΙΑΙ. Πῶ μὲν μαρτύρων ἀκηκόατε, ὦ Ἄνδρες δικασταί· σκέψασθε δὲ παρ' ὑμῖν αὐτοῖς ὅτῳ τρόπῳ τὰ πράγματος ἔχοντα ἐμοὶ μὴ Ἐρατοσθένει ἔχθρα πώποτε γεγένηται, πλὴν ταύτης, ἣν δεμίαν ἂν εὕροιτε· ὅτε γὰρ τυχόντως μοι διαφορᾶς ἐγένετο, ὅτε ἐκβάλλειν ἐκ τῆς πόλεως ἐπεχείρησεν, ὅτε ἰδίας δίκας ἐδικάζετο, ὅτε συμβόλου κακοῦ ὄντος, ὃ ἐγὼ δεδιὼς μή τις πύθηται, ἐπεθύμουν αὐτὸν ἀπολέσαι. ὅτε, εἰ ταῦτα διεπραξάμην, ἦλπιζον μὴ ζημίαν λήψεσθαι, οἷοι γὰρ τιμῶντων ὠφελημάτων ἕνεκεν, θανάτου ἀλλήλοις ἐπιβουλεύσαι. τοσαύτη τοίνυν δεῖ, ἢ λοιδορία, ἢ παροινία, ἢ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε εἴ τις ἑωρακὼς ἐμὲ τὸν ἄνθρωπον πώποτε, πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. Τί οὖν βουλόμενος ἐγὼ, τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰμὴ τὸ μέγιστον τῶν ἀδικημάτων ἐμὲ ὑπ' αὐτοῦ ἠδικημένος; Εἶτα μαρτυρίας αὐτὸς μάρτυρας, ἠσθόμην, ἔξόν μοι, εἴπερ ἀδίκως ἐπεθύμουν αὐτὸν ἀπολέσαι, μισθοῦσθαι τίνων ἀναισθήτως; Ἐγὼ μὲν οὖν, ὦ Ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταύτην ψῆφον θήσειν τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς Πόλεως ἁπάσης. οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες οἷα τοῖς ἄθλα προκειται τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τὰς ἄλλας ἐξαμαρτήσονται, ἐὰν ὑμᾶς ὁρῶσι τὸν αὐτὸν γνώμην ἔχοντας. εἰ δὲ μὴ, πολὺ κάλλιον, τὰς μὲν κοινὰς νόμους ἐξαλεῖψαι, ἑτέρους δὲ θεῖναι, οἵτινες τὰς μὲν φυλάττοντας τὰς ἑαυτῶν γυναῖκας ζημιώσουσι, τοῖς δὲ βουλομένοις εἰς αὐτὰς ἁμαρτάνειν πολλὴν ἄδειαν ποιήσουσι. πολὺ γὰρ ἄμεινον δικαιότερον, ἢ ὑπὸ τῶν νόμων τὰς πολίτας ἐνυβρίζεσθαι· οἱ μὲν γὰρ ἐκείνης μοιχὸν λάβῃ, ὅτι ἂν βούληται χρῆσθαι· οἱ δὲ ἀγῶνες δεινότεροι τοῖς ἀδικοῦσιν καθέστηκασιν, ἢ τοῖς ἐκείνων νόμοις τὰς ἀλλοτρίας καταισχύνοντες γυναῖκας. ἐγὼ γὰρ νῦν περὶ τοῦ σώματος, περὶ τῶν χρημάτων,

των, καὶ τοῦ τῶν ἄλλων ἁπάντων κινδυνεύων, ὅτι τοῖς Πόλεως νόμοις ἐπειθόμην.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑ ΕΡΑΤΟΣΘΕΝΟΥΣ,

Τοῦ γενομένου ἐνὸς τῶν τριάκοντα τυραννῶν, καὶ ἀποκτείναντος Πολέμαρχον τοῦ ῥήτορος ἀδελφόν, λόγος, ὃν πρῶτον αὐτὸς εἶπε Αυσίας.

Οὐκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικασταί, τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι. τοιαῦτα αὐτοῖς τὸ μέγεθος, καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν, ἅπαντα δυνάσθαι. ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν, ἢ τὸν χρόνον ἐπιλιπεῖν. Τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι, ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ. πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ὅτις εἴη πρὸς τοὺς φεύγοντας· νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι, ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. οὐ μέν τοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς, τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων, ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. Ἐγὼ οὖν, ὦ Ἄνδρες δικασταί, οὔτ' ἐμαυτοῦ πώποτε, οὔτε ἀλλότρια πράγματα πράξας, νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων, τούτου κατηγορεῖν· ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην, μὴ διὰ τὴν ἀπειρίαν ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι. ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δυνῶμαι δι' ἐλαχίστων διδάξαι. Οὐμὸς πατὴρ Κέφαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους ταύτην τὴν γῆν ἀφικέσθαι.

ἔτη

ἐπὶ δὲ τελέουσι ἔχησι, καὶ οὐδενὶ πώποτε ἔστε ἡμεῖς, ἔτ ἐκεῖνος δίκην ἔστε ἐδικασάμεθα, ἔτε ἐφύγομεν. ἀλλ' ὅπως ὠφελήμεν δημοκρατούμενοι, ὥστε μήτε εἰς τὰς ἄλλας ἐξαμαρτάνειν, μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. ἐπειδὴ δ' οἱ τριάκοντα τύραννοι μὲν καὶ συνωφρύαται ὄντες, εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν, καὶ τὰς λοιπὰς πολίτας ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τρέπεσθαι· καὶ τοιαῦτα λέγοντες, οἷα τοιαῦτα ποιεῖν ἐτόλμων, ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν, καὶ περὶ τῶν ὑμετέρων ἀναμνήσω καὶ πειράσομαι. Θέογνις δὲ καὶ Πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκων, ὡς εἰσί τινες τῇ πολιτείᾳ ἀχθόμενοι. καὶ ἔφασαν ἂν εἶναι παρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, καὶ δ' ἔργῳ χρηματίζεσθαι. πάντως δὲ τὴν μὲν πόλιν τὴν ἀρχὴν δεῖσθαι χρημάτων, καὶ τοὺς ἀπιόντας ἂν χαλεπῶς φέρειν. ἐπαπορήσαι μὲν οὖν ἄνθρωπος, περὶ οὐδενὸς ἡγοῦν- τα λαμβάνειν δὲ χρήματα, περὶ πολλοῦ ἐποιοῦντο. Ἔδοξεν οὖν αὐτοῖς δίκην συλλαβεῖν, τῶν δὲ δύο πρόφασις, ἵνα αὐτοῖς μὴ παρὰ τοὺς ἄλλους ἀπολογία, ὡς ἀ χρημάτων ἕνεκα ταῦτα πέπραγται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγενήται, ὥσπερ τι καὶ τῶν ἄλλων ἀλόγως πεποιηκότες. Συλλαβόντες δὲ τοὺς οἰκέτας, ἐβάδιζον· καὶ ἐμὲ μὲν ξένης ἐστῶντα κατέλαβον, ὡς ἐξελαύνοντες, Πείσωνί με παραδιδόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες, τὰ σώματα ἀπεγράφοντο. Ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων, εἰ βέλτιόν μοι σῶσαι, χρήματα λαβών, ἢ ἀποθανεῖν· ὁ δ' ἔφασκεν, εἰ πολλὰ εἴη. εἶπον ἂν ὅτι πάλαντον ἀργυρίου ἕτοιμος εἶμι δοῦναι. ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. πάντα μὲν οὖν ὅτι ἔστε Θεὸς, ἔστε ἄνθρωπος νομίζει, ὅμως δ' ἐκ τῶν παρόντων ἔδοκει μοι ἀναγκαιότατον εἶναι πεῖσιν παρ' αὐτὸν λαβεῖν. ἐπειδὴ δ' ὤμοσεν, ἐξῳλείαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ τάλαντον, ἀπῆλθον, εἰσελθὼν εἰς τὸ δωμάτιον τὸν κιβωτὸν ἀνοίγνυμι.

Πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα, καλεῖ τῶν ὑπηρετῶν δύω, καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δὲ οὐχ ὅσον ὡμολόγει εἶχεν, ὦ ἄνδρες δικασταὶ, ἀλλὰ τρία τάλαντα ἀργυρίου καὶ τετρακοσίους κυζικηνοὺς, καὶ ἑκατὸν δαρικοὺς, καὶ φιάλας ἀργυρίου τέσσαρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι δοῦναι. ὁ δ' ἀγαπήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω. ἐξιοῦσι δέ μοι καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε καὶ Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες, καὶ καταλαμβάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν ὅπη βαδίζοιμεν. ὁ δ' ἔφασκεν, εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ, ἵνα καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. ἐκεῖνον μὲν οὖν ἐκέλευον βαδίζειν, ἐμὲ δὲ μεθ' αὑτῶν ἀκολουθεῖν εἰς Δαμνίππου. Πείσων δὲ προσελθὼν σιγᾷν με παρεκελεύετο, καὶ θαρρεῖν, ὡς ἥξων ἐκεῖσε. καταλαμβάνομεν δὲ αὐτόθι Θέογνιν ἑτέρους φυλάττοντα, ᾧ παραδόντες ἐμὲ πάλιν ᾤχοντο. ἐν τοιούτῳ δ' ὄντι μοι, κινδυνεύειν ἐδόκει, ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος ἤδη. Καλέσας δὲ Δάμνιππον, λέγω πρὸς αὐτὸν τάδε. ἐπιτήδειος μέν μοι τυγχάνεις ὢν, ἥκω δ' εἰς τὴν σὴν οἰκίαν, ἀδικῶ δ' οὐδὲν, χρημάτων δ' ἕνεκα ἀπόλλυμαι. σὺ οὖν ταῦτα πάσχοντί μοι πρόθυμον παράσχου τὴν σεαυτοῦ δύναμιν εἰς τὴν ἐμὴν σωτηρίαν. ὁ δὲ ὑπέσχετο ταῦτα ποιήσειν. ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι. ἡγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτὸν, εἴτις ἀργύριον διδοίη. ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι (ἔμπειρος γὰρ ὢν ἐτύγχανον τῆς οἰκίας. καὶ ᾔδειν ὅτι ἀμφίθυρος εἴη) ἐδόκει μοι ταύτῃ πειρᾶσθαι σωθῆναι, ἐνθυμουμένῳ, ὅτι ἐὰν μὲν λάθω, σωθήσομαι· ἐὰν δὲ ληφθῶ, ἡγούμην μὲν, εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ τοῦ Δαμνίππου χρήματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι, εἰ δὲ μὴ, ὁμοίως ἀποθανεῖσθαι. ταῦτα διανοηθεὶς, ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων. τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι

μενάι ἔτυχον. Ἀφικόμενος δὲ εἰς Ἀρχενέω τῦ παιδικῦ, ἐκεῖνον πέμπω εἰς ἄστυ, πολυτίμητον ὄντα ἐμαυτῷ. ἥκων δὲ ἔλεγλω, ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβών, εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. κὴ ἐγὼ τοιαῦτα πεπυσμένος, τῇ ἑπομένῃ νυκτὸς διέπλευσα Μεγάραδε. Πολεμάρχῳ δὲ παρήγγειλα οἱ τριάκοντα τὸ ὑπ' ἐκείνων ἐπιτιμηθὲν ἐμοὶ ἀργύριον ἀποδοῦναι, πρὶν ἥλιον καταδῦναι, πρὸς τὴν αἰτίαν εἰπεῖν, δι' ἣν τινα ἐμελλον δοκιμασθῆναι. ὅπως πολλῶ ἐλάττονι κεφαλαίῳ, κὴ λύτρωσαι. κὴ ἐπειδὴ ἀπεφέροντο ἐκ τῦ δεσμωτηρίυ τριῶν ἡμῖν οἰκιῶν ὄντων, κὴ δραχμὰς εἴκοσιν ἐξενεγκθῆναι, ἀλλὰ κλίσιον μισθωσάμενοι, παρῆσαν αὐτόν. κὴ πολλῶν ὄντων ἱματίων, αἱρεῖσθαι, κὴ δὸς ἔδοσαν εἰς ταφήν, ἀλλὰ τῶν φίλων ὁ μὲν, ἱμάτιον, ὁ δὲ, προσκεφάλαιον, ὁ δὲ, ὅ, τι ἕκαστος ἔτυχεν ἔδωκεν εἰς τὴν ἐκείνυ ταφήν. κὴ ἔχοντες μὲν ἑπτακοσίας ἀττικὰς τῦ ἡμιτάλαντον, ἔχοντες δὲ ἀργύριον κὴ χρυσίον τοσοῦτον, χαλκοῦν δὲ κὴ πόσμον, κὴ ἔπιπλα, κὴ ἱμάτια γυναικεῖα, ὅσα κδεπώποτε φόρτα κτήσασθαι, κὴ ἀνδράποδα εἴκοσι κὴ ἑκατὸν (ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν) εἰς τοσαύτην ἀπλησίαν κὴ αἰχροκέρδειαν ἀφίκοντο, κὴ τῇ ξένῃ τῇ αὐτῇ δοκιδεῖξιν ἐποιήσαντο. Τῆς γὰρ Πολεμάρχε γυναικὸς χρυσᾶς ἑλικοπῦρας, ἃς ἔχουσα ἐτύγχανεν, ὅτε τὸ πρῶτον ἦλθον εἰς τὴν οἰκίαν, Μιλόβιος ἐκ τῆς ὠτῶν ἐξέλετο. κὴ κδὲ κῇ τὸ ἐλάχιστον μέρος τῆς κσίας ἐλάμβανον παρ' αὐτῆς ἐτυγχανόμην, ἀλλ' ὅπως εἰς ἡμᾶς δι' τὰ χρήματα ἐξημάρτανον, ὥσπερ αὖ ἕτεροι μεγάλων κδικημάτων ὀργὴν ἔχοντες. κὶ τούτων ἀξίως γε ὄντας τῇ πόλει, ἀλλὰ πάσας τὰς χορηγίας χορηγήσαντας, πολλὰς δ' εἰσφορὰς ἐνεγκόντας, πολυμίους δ' ἡμᾶς αὐτοῖς παρέχοντας, κὴ παῦ τὸ παροξυτόμενον ποιοῦντας, ἐχθρὸν δ' κδένα κτησαμένους, πολλοὺς δ' Ἀθηναίων ἐκ τῆς πολεμίων λυσαμένους, τούτων ἠξίωσαν, κ' χ ἑμοίως μετοικοῦντας, ὥσπερ αὐτοὶ ἐπο-

λιτεύοντο. οὗτοι γὰρ πολλοὺς μὲν τῶν πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ' ἀδίκως ἀποκτείναντες, ἀτάφους ἐποίησαν, πολλοὺς δ' ἐπισήμους ὄντας, ἀτίμους τῆς πόλεως κατέστησαν, πολλῶν δὲ θυγατέρας μελλούσας ἐκδίδοσθαι, ἐκώλυσαν. καὶ εἰς τοσοῦτόν εἰσι τόλμης ἀφιγμένοι, ὥσθ' ἥκουσιν ἀπολογησόμενοι, καὶ λέγουσιν ὡς οὐδὲν κακὸν, οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν. Ἐγὼ δ' ἐβουλόμην ἂν αὐτοὺς ἀληθῆ λέγειν. μετὴν γὰρ ἂν καὶ ἐμοὶ τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος. νῦν δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει, οὔτε πρὸς ἐμέ. τὸν ἀδελφὸν γάρ μου (ὥσπερ καὶ πρότερον εἶπον) Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος, οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα, ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν. Ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἔρεσθαι, ὦ ἄνδρες δικασταί. τοιαύτην γὰρ γνώμην ἔχω. ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω, ἐπὶ δὲ τῇ τούτου βλάβῃ, καὶ πρὸς αὐτὸν τοῦτον, ὅσιον καὶ εὐσεβές. ἀνάβηθι οὖν μοι, καὶ ἀπόκριναι εἴ τι ἂν σε ἐρωτῶ. Ἀπήγαγες Πολέμαρχον, ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ' ἐν τῷ βουλευτηρίῳ, ὅτε οἱ λόγοι ἐγένοντο περὶ ἡμῶν; Ἦν. Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι, ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα ἀποθανώμεν; Ἵνα μὴ ἀποθάνητε. Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια; Ἄδικα. Εἶτ' ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν, ἵνα σώσειας, συνελάμβανες δὲ, ἵνα ἀποκτείνοις; καὶ ὅτε μὲν τὸ πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φῂς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι. ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο καὶ σῶσαι Πολέμαρχον καὶ μὴ, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; εἶθ' ὅτι μὲν, ὡς φῂς, ἀντειπὼν, οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζεσθαι· ὅτι δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην; Καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν,

ςεύειν, εἴπερ ἀληθῆ λέγει φάσκων ἀντειπεῖν, ὡς αὐτῷ ἐτάχθη. οὐ γὰρ δή που ἐν τοῖς μετοίκοις πίστιν παρ' αὐτοῦ ἐλάμβανον. ἔπειτα τούτῳ πίστιν εἰκὸς ἦν προσταχθῆναι, ἢ ὅς τις ἀντειπώνγε ἐτύγχανεν, καὶ γνώμην ἀποδεδειγμένος; τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι, ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι ἐβουλεύοντο πραχθῆναι; ἔτι δὲ τοῖς μὲν ἄλλοις Ἀθηναίοις ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων, εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν· αὐτοὺς δὲ τοὺς τριάκοντα, ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς ὑμᾶς εἰκὸς ἀποδέχεσθαι; Εἰ μὲν γάρ τις ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα αὐτῆς, ὑφ' ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε. νῦν δὲ παρ' αὐτοῦ πότε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν; οὐ μὲν δὴ οὐχ ὡς ἑαυτὸν σώζων τοῖς παρὰ τούτων ἐψηφισμένοις ὑπηρέτει, ἀλλὰ κακὸς ὢν τοῦτον ἐν τῇ ὁδῷ συλλαβὼν ἀπήγαγεν. ὑμεῖς δὲ πάντες ὀργίζεσθε, ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας, ζήτησιν ποιούμενοι ἢ ὑμῶν, ἢ τῶν ὑμετέρων τινός. καίτοι εἰ χρὴ τούτοις, διὰ τὴν ἑαυτῶν σωτηρίαν ἑτέρους ἀπολέσασι συγγνώμην ἔχειν, ἐκείνοις ἂν δικαιότερον ἔχοιτε οἷς κίνδυνος ἦν πεφθεῖσι, μὴ ἐλθεῖν, καὶ καταλαβοῦσιν, ἐξάρνοις γενέσθαι. τῷ δὲ Ἐρατοσθένει ἐξῆν εἰπεῖν, ὅτι οὐκ ἀπηύτησεν. ἔπειτα, ὅτι οὐκ οἶδεν. ταῦτα γὰρ οὔτε ἔλεγχον, οὔτε βάσανον εἶχεν, ὥστε μηδ' ὑπὸ τῶν ἐχθρῶν βουλομένων οἷόν τε εἶναι ἐξελεγχθῆναι. χρῆν δέ σε, ὦ Ἐρατόσθενες, εἴπερ ἦσθα χρηστός, πολὺ μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι, ἢ τοὺς ἀδίκως ἀπολλυμένους συλλαμβάνειν. νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται, οὐχ ὡς ἀνιωμένου, ἀλλ' ὡς ἡδομένου τοῖς γιγνομένοις· ὥστε τοὺς δὲ ἐκ τῶν ἔργων χρὴ μᾶλλον, ἢ ἐκ τῶν λόγων τὴν ψῆφον φέρειν, ἃ ἴσασι γεγενημένα, τῶν τότε λεγομένων τεκμήρια λαμβάνοντας,

ἐπειδὴ μάρτυρας περὶ αὐτῶν οὐχ οἷόντε παραχέσθαι. οὐ γὰρ μόνον ἡμῖν παρεῖναι οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' αὐτοῖς εἶναι, ὥστε ἐπὶ τούτοις ἐστὶ πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν, πάντα τἀγαθὰ περὶ αὐτῶν λέγειν. τοῦτο μέντοι οὐ φεύγω, ἀλλ' ὁμολογῶ σοι, εἰ βούλει ἀντειπεῖν. θαυμάζω δὲ τί ἄν ποτε ποιήσαις συνειπὼν, ὁπότε ἀντειπεῖν φάσκων, ἀπέκτεινας Πολέμαρχον; φέρε δὴ, τί ἄν, εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῖ, ἢ καὶ ὑεῖς, ἀπεψηφίσασθε; δεῖ γὰρ, ὦ Ἄνδρες δικασταὶ, Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτὸν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. οὗτος δὲ ὡμολόγησεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν, εἰσόμενοι τίνα γνώμην περὶ τούτων ἕξετε. ὧν οἱ μὲν ἡμέτεροι ὄντες πολῖται, μαθόντες ἀπίασιν ὅτι ἢ δίκην δώσουσιν ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται, τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ, τὸ ἴσον ὑμῖν ἕξουσιν. ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων, ἢ δικαίως. εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες, λαβόντες ἀφήσουσιν, ἦ που σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τηρουμένους. Οὐκ οὖν δεινὸν εἰ τοὺς μὲν στρατηγοὺς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτε διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνειώτων ἀρετῇ παρ' ἐκείνων δίκην λαβεῖν. τούτους δὲ, οἳ ἰδιῶται μὲν ὄντες, καθόσον ἐδύναντο ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας. ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι, οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ἀφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι; Ἐγὼ τοίνυν, ὦ Ἄνδρες Δικασταὶ, ἠξίουν ἱκανὰ εἶναι τὰ κατηγορημένα. μέχρις γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι

ἄξια

ἄξια εἰργάσθαι. διὰ ταῦτα γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν, ὥστ' οὐκ οἶδά τι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀποθανόντες, δίκην δοῦναι δύναιντ' ἄν. οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτοῖς προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστὶν, πρὸς μὲν τὰ κατηγορούμενα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντας ἐνίοτε ἐξαπατᾶν, ὑμῖν ἀποδεικνύντας, ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες, καὶ πόλεις πολεμίας οὔσας, φίλας ἐποίησαν. ἐπεὶ κελεύετε, αὐτὸν ἀποδεῖξαι ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτειναν, ὅσους τῶν πολιτῶν. ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον, ὅσας αὐτοὶ παρέδωκαν. ἢ πόλιν ἥντινα τοιαύτην προσεκτήσαντο, οἵαν τὴν ἡμετέραν κατεδουλώσαντο. ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύλευσαν, ὅσα περ ὑμῶν ἀφείλοντο; ἀλλὰ τείχη τοιαῦτα εἷλον, οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν; οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον, καὶ ὑμᾶς ἐδούλωσαν, καὶ τὸν Πειραιᾶ οὐ Λακεδαιμονίων προστατόντων περιεῖλον, ἀλλ' ὅτι αὐτοῖς τὴν ἀρχὴν οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι. πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτῶν, πλὴν ὅταν ἐνθυμηθῶ ὅτι τῶν αὐτῶν ἐστιν, αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι, καὶ τοὺς τοιούτους ἐπαινεῖν. οὐ γὰρ νῦν πρῶτον τῷ ἡμετέρῳ πλήθει τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστὰς, ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν, μετὰ Ἰατροκλέους, καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν· ἀφικόμενος δὲ δεῦρο, τἀναντία τοῖς βουλομένοις δημοκρατίαν εἶναι, ἔπραττεν. καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω· ἐπειδὴ δὲ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν, πέντε ἄνδρες

ἔφεροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑτέρων, συναγωγεῖς μὲν τῶν πολιτῶν, ἄρχοντες δὲ τῶν συνωμοτῶν, ἐναντία δὲ τῷ ὑμετέρῳ πλήθει πράττοντες· ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. οὗτοι δὲ φυλάρχους τε ἐπὶ τὰς φυλακὰς κατέστησαν, καὶ ὅ,τι δέοι χειροτονεῖσθαι, καὶ οὕστινας χρὴ ἄρχειν παρήγγελλον, καὶ εἴτι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν. οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπεβουλεύεσθε, ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσεσθε, πολλῶν τε ἐνδεεῖς ἔσεσθε. τοῦτο γὰρ καὶ ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ πραττόντων, δυνήσονται. καὶ ὑμᾶς ἡγοῦντο, τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι, περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι. ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε συμπράττοντας (οὐ γὰρ ἂν δυναίμην) ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας. καί τοι, εἰ ἐσωφρόνουν, κατεμαρτύρουν ἂν αὐτῶν, καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημάτων σφόδρ' ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους, εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πιστοὺς ἐνόμιζον, ἐπὶ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς ῥᾳδίως παρέβαινον. πρὸς μὲν οὖν τούτους τοσαῦτα λέγω. τοὺς δὲ μάρτυράς μοι κάλει. καὶ ὑμεῖς ἀνάβητε. ΜΑΡΤΥΡΕΣ. Τῶν μὲν μαρτύρων ἀκηκόατε. τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστὰς, ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, κακῶν δὲ πολλῶν. καί τοι εἴπερ ἦν ἀνὴρ ἀγαθὸς, ἐχρῆν ἂν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν, καὶ Βάτραχος καὶ Ἀρχολίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τἀληθῆ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. καὶ μὲν δὴ, ὦ Ἄνδρες Δικασταὶ, ὅσοι κακόνοι ἦσαν τῷ ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σκοπῶντες. ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες, ὧν οὐχ

οἷόν

οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. ὁπόσοι δ' εὖνοι φασὶν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λήγοντες, καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες; ἴσως δ' ἂν ἔχοι εἰπεῖν ὅτι ἐδεδοίκει (καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται) ὅπως τι μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος· εἰ δὲ μὴ, ἐνταῦθα δῆλο; ἔσται, ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσοῦτον ἐδύνατο, ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν· χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν. ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς, φίλους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γινομένας, ὁπότεροί μοι ταῦτα πράξουσι, καὶ τῆς πόλεως ἄρξουσι. καὶ γὰρ εἰ ὑπὲρ τῶν ἀδικουμένων ἐστασίαζον, ποῦ κάλλιον ἂν ἦν ἀνδρὶ ἄρχοντι, ἢ Θρασυβούλου Φυλὴν κατειληφότος, τότε ἐπιδείξασθαι τὴν αὑτοῦ συνουσίαν; ὁ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ὀπὶ Φυλῇ, ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσίνα δὲ, τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων θάνατον κατεπηφίσατο. ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν, καὶ αἱ ταραχαὶ γεγενημέναι ἦσαν, καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγίνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι ὡς ἀμφότεροι ἔδοξαν. οἱ μὲν γὰρ ἐκ Πειραιέως, κρείττους ὄντες, εἴασαν αὐτοὺς ἀπελθεῖν, οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες, τοὺς μὲν τριάκοντα ἐξέβαλον, πλὴν Φείδωνος καὶ Ἐρατοσθένους· ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίστους εἵλοντο, ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι, καὶ τοὺς ἐν Πειραιεῖ φιλεῖσθαι. Τούτων τοίνυν Φείδων ὁ τῶν τριάκοντα γενόμενος, καὶ Ἱπποκλῆς, καὶ Ἐπιχάρης ὁ Λαμπρεὺς, καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώ-

τα-

πατοι Χαιρωνείᾳ καὶ Κειτίῳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὐτοὺς εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω βάσιν καὶ πόλεμον ὅτι τοὺς ἐν Πειραιεῖ, ἢ τοὺς ἐξ ἄστεως ἐποίησαν. οἱ δὲ φανερῶς ἐπεδείξαντο, ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ, οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀποκτυμένων ἐστασίαζον, οὐδ' οἱ τεθνεῶτες αὐτοὺς ἐλύπων, οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι, ἀλλ' οἱ μεῖζον δυνάμενοι, καὶ θάσσον πλουτοῦντες. λαβόντες δὲ τὰς ἀρχὰς τὴν πόλιν, ἀμφοτέροις ἐπολέμουν, τοῖς τε τειχίουσι πάντα κακὰ εἰργασμένοις, καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι. καίτοι τοῦτο πᾶσι δῆλον ἦν, ὅτι εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως· εἰ δ' ὑμεῖς ἀδίκως, οἱ τειχίοντες δικαίως. οὐ γὰρ δὴ ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων. ὥστε σφόδρα χρὴ ὀργίζεσθαι, ὅτι Φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν, τῶν αὐτῶν ἔργων Ἐρατοσθένει μετεῖχε, καὶ τῇ αὐτῇ γνώμῃ τοὺς μὲν κρείττους αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν ἕτοιμος ἦν, ὑμῖν δὲ ἀδίκως φεύγουσιν οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν· ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα, ἔπειθεν αὐτοὺς στρατεύεσθαι, διαβάλλων ὅτι Βοιωτῶν ἡ πόλις ἔσται, καὶ ἄλλα λέγων, οἷς ᾤετο πείσειν μάλιστα. ὁ δυνάμενος δὲ τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων, εἴτε καὶ αὐτῶν τῶν βουλομένων, ἑκατὸν πάλαντα ἐδανείσατο, ἵνα ἔχῃ ὅπλα παρ' ὧν μισθοῦται, καὶ Λύσανδρον ἄρχοντα ἡτήσατο, δυνατώτατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ, πικρότατον δὲ τῇ πόλει, μισοῦντα δὲ μάλιστα τοὺς ἐν Πειραιεῖ. μισθοφόροι δὲ πάντες ἄνθρωποι ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες, καὶ πολιτῶντες Λακεδαιμονίους, καὶ τῶν συμμάχων ὁπόσους ἐδύναντο πεῖσαι, καὶ διαλλάξαι, ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν πόλιν· εἰ μὴ δι' ἄνδρας ἀγαθοὺς ἐκωλύθησαν· οὓς ὑμεῖς ζηλώσατε παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες, ὅπως καὶ ἐκείνοις χάριν ἀποδώσετε. πῶς δὲ δεῖ καὶ αὐτοὺς, καὶ οἷ δ' ὅτι οὐ δεῖ μάρτυρας παρέχεσθαι. ὅμως δὲ παρέχομαι·

ἐγὼ

ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλεῖστον τοὺς αὐτοὺς λόγους ἀκούειν. ΜΑΡΤΥΡΕΣ. Φέρε δὲ καὶ περὶ Θηραμένους ὡς δύναμαι διὰ βραχυτάτων διδάξω. Δέομαι δ' ὑμῶν ἀκοῦσαι ὑπὲρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς Ἐρατοσθένους κινδυνεύοντος, Θηραμένους κατηγορῶ. πυνθάνομαι γὰρ ταῦτα ἀπολογήσασθαι αὐτὸν, ὅτι ἐκείνοις φίλος ἦν, καὶ τῶν αὐτῶν ἔργων μετεῖχε. καί τοι σφόδρ' ἂν αὐτὸν οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον, προσποιεῖσθαι πράττειν, ὅπως οἰκοδομηθήσεται τὰ τείχη· ὁπότε δὲ μετὰ Θηραμένους, ὅπως καθαιρεθήσεται. οὐ γάρ μοι δοκοῦσιν, ἴσου ἄξιοι γεγενῆσθαι. ὁ μὲν γὰρ Λακεδαιμονίων ἀκόντων ᾠκοδόμησεν αὐτὰ, οὗτος δὲ τοὺς πολίτας ἐξαπατήσας καθεῖλε. περιέστηκεν οὖν τῇ πόλει τἀναντίον ἢ ὡς εἰκὸς εἶ. ἄξιον μὲν γὰρ καὶ τοὺς φίλους τοῦ Θηραμένους προσαπολωκέναι, πλὴν εἴ τις ἐτύγχανεν ἐκείνῳ τἀναντία πράττων. νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας, τοὺς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰτίους, ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένους. ὃς πρῶτον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο, πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέσθαι. καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὢν ταῦτ' ἔπραττεν, αὐτὸς δὲ, δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι, στρατηγὸς ὑπ' αὐτοῦ ᾑρέθη. καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει παρεῖχεν· ἐπειδὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαισχρον καὶ ἑτέρους ἑώρα προτιμωτέρους αὐτοῦ γινομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον τούτων ἀκροᾶσθαι, τότ' ἤδη, διά τε τὸν πρὸς ἐκείνους φθόνον, καὶ τὸ παρ' ὑμῶν δέος, μετέσχε τῶν Ἀριστοκράτους ἔργων. βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι, Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον φιλτάτους ὄντας αὐτῷ κατηγορῶν, ἀπέκτεινεν. εἰς τοσοῦτον δὲ κακίας ἦλθεν, ὥστε ἅμα μὲν διὰ τὴν πρὸς ἐκείνους πίστιν ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς τοὺς

φί-

φίλης ἀπώλεσαν. τιμώμενος δὲ, καὶ τῶν μεγίστων ἀξιούμενος, αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν, αὐτὸς ἀπώλεσε, φάσκων πρᾶγμα δίκαιον μέγα καὶ πολλοῦ ἄξιον. ὑπέσχετο δὲ εἰρήνην ποιήσειν, μήτε ὅμηρα δοὺς, μήτε τὰ τείχη καθελών, μήτε τὰς ναῦς παραδούς. πάντα δὲ εἰπεῖν μᾶλλον ἢ δρᾶσαι ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, παραπόντος μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν, ὑπολεγόντων δὲ πολλῶν Θηραμένην, εἰδότες δὲ ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων ἕνεκα τὰ πράγματα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὐτοῦ πολίταις καὶ ἠθέλησεν εἰπεῖν ταῦθ' ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπεξέφυγε αὐτῷ παιδιὰ, καὶ παῖδας, καὶ γυναῖκας, καὶ ὑμᾶς αὐτούς. ὁ δὲ ὧν μὲν ὑπέσχετο, οὐδὲν ἐποίησεν, ἃ δὲ ἐπετήδευσε, ταῦτα ἐπράξατο, ὥστε δὲ ἐπετήδευσε, ὡς καὶ μικρῶν καὶ ἀδόκητον γενέσθαι τὴν πόλιν. ὥστε τοιγὰρ ἂν οὐδεὶς πώποτε, οὔτε τῶν πολεμίων ἐμνήσθη, οὔτε τῶν πολιτῶν ἥλπισε, ταῦτ' ὑμᾶς ἔπεισε πρᾶξαι, καὶ ὑπὸ Λακεδαιμονίων ἀναγκαζόμενος, ἀλλ' αὐτοῖς ἐκείνοις ἐπαγγελόμενος, τότε Πειραιῶς τὰ τείχη καθελεῖν, καὶ τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι. εὖ οἶδας ὅτι εἰ μὴ πάντων τῶν ἐλπίδων διεσφηλήσεσθε, παχεῖαν παρ' αὐτῶν τὴν τιμωρίαν κομιεῖσθε. καὶ τὸ τελευταῖον, ὦ Ἄνδρες δικασταὶ, ὃ πρότερον εἶπον τὴν ἐκκλησίαν γνῶναι, ἵνα ὁ λεγόμενος ὑπ' ἐκείνου καιρὸς ὑπομενῶς ὑπ' αὐτῶν ἐπρίθη. καὶ μετεπέμψατο μὲν τὴς μετὰ Λυσάνδρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε δὲ τῶν πολεμίων στρατόπεδον. τότε δὲ πάντων ὑπαρχόντων, καὶ παρόντων Λυσάνδρου καὶ Φιλοχάρους καὶ Μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν. ἵνα μήτε ῥᾴθυμον αὐτοῖς μηδεὶς ἐναντιοῖτο, ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἔλεισθε, ἀλλὰ τοῖς ἐκείνοις δοκοῦντα ψηφίσαισθε. ἀνάσας δὲ Θηραμένης ἐκέλευσεν ἡμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν, καὶ τὴν πολιτείαν θεῖναι, ὡς Δρακοντίδης ἀπέφαινεν· ὑμεῖς δ' ὅμως

καὶ οὕτω διακείμενοι, ἐθορυβεῖτε, ὡς οὐ ποιήσοντες ταῦτα. ἐγινώσκετε γὰρ ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε. Θηραμένης δὲ, ὦ Ἄνδρες δικασταὶ, (καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξομαι) εἶπεν ὅτι οὐδὲν αὐτῷ μέλοι τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι. μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς ἄλλατε πολλὰ τολμηρῶς εἶπε, καὶ ὅτι παρασσόνδους ὑμᾶς ἔχοι, καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται, ἀλλὰ περὶ σωτηρίας ὁ λόγος, εἰ μὴ ποιήσεσθ' ἃ Θηραμένης κελεύοι. τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες ἡσυχίαν ἦγον, οἱ δὲ ᾤχοντο ἀπιόντες. τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο, ὀλίγοι δέ τινες, καὶ πονηροὶ καὶ κακῶς βουλευόμενοι, τὰ προσταχθέντα ἐχειροτόνησαν. παρηγγέλλετο γὰρ αὐτοῖς δέκα μὲν, οὓς Θηραμένης ἀπέδειξε, χειροτονῆσαι, δέκα δὲ, οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δὲ ἐκ τῶν παρόντων. οὕτω γὰρ τὴν ἡμετέραν ἀσθένειαν ἑώρων, καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ᾔδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. ταῦτα δὲ οὐκ ἐμοὶ δοκεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ, πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν, ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν, οὐδὲν φροντίζων δὲ τῶν Λακεδαιμονίων. ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ αὐτὸς αἴτιος γεγενημένος, τοιούτων τυγχάνει, πολλὰς πίστει αὐτοῖς ἔργῳ δεδωκὼς, καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς. καὶ τοσούτων καὶ ἑτέρων κακῶν καὶ αἰσχῶν, καὶ πάλαι καὶ νεωστὶ, καὶ μικρῶν καὶ μεγάλων αἴτιοι γεγενημένοι, τολμήσουσιν αὐτὸς φίλους ὄντας ἀποφαίνειν; οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος Θηραμένους, ἀλλ' ὑπὲρ τῆς αὐτῶν πονηρίας, καὶ δικαίως μὲν

ἐν

ἐν ὀλιγαρχίᾳ δίκην δόντος, (ἤδη γὰρ αὐτὴν κατέλυσε) δικαίως δ' ἂν ἐν δημοκρατίᾳ· δὶς γὰρ ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν, τῶν δὲ ἀπόντων ἐπιθυμῶν, καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος, δεινοτάτων ἔργων διδάσκαλος καταστάς. Περὶ μὲν τοίνυν Θηραμένους ἱκανά μοι ἐστὶ τὰ κατηγορημένα· ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρὸς, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις, ἀλλὰ τοῦτο Ἐρατοσθένους, καὶ τῶν τούτου συναρχόντων δίκην λαβεῖν. μηδὲ μαχομένους, κρείττους εἶναι τῶν πολεμίων, ψηφιζομένους δὲ, ἥττους τῶν ἐχθρῶν. μηδ' ὧν φασὶ μέλλειν τοράξειν, πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε. μηδ' ἀποῦσι μὲν τοῖς τριάκοντα ἐπιβουλεύετε, παρόντας δ' ἀφῆτε· μηδὲ τῆς τύχης, ἢ τούτοις παρέδωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε. κατηγορεῖτε δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει, καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. ὁ μέν τοι ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει. οὗτος μὲν γὰρ, κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν τῶν γινομένων· ὑμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέστημεν. Καί τοι οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας ἀκρίτως ἀπέκτειναν, ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν, κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν. παρ' ὧν οὐδ' ἂν ἀδυνάμως βουλόμενοι δίκην λαμβάνειν ἀξίαν τῶν ἀδικημάτων, ὧν τὴν πόλιν ἠδικήκασι, λάβοιτε. τί γὰρ ἂν παθόντες, δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες; πότερον, εἰ αὐτοὺς ἀποκτείνοιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν, ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτως ἀπέκτειναν; ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσετε, καλῶς ἂν ἔχοι, ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις, ὧν οἰκίας ἐξεπόρθησαν; ἐπειδὴ τοίνυν πάντα ποιοῦντες, δίκην παρ' αὐτῶν οὐκ ἂν δύνησθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡντιναοῦν ἀπολιπεῖν ἡντινάτις;

βοῦ-

βούλοιτο παρὰ τούτων λαμβάνειν; Πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι ὅς τις νυνὶ, οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπολογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονηρίας. τοσοῦτον ἢ ὑμῶν καταπεφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν. ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι, ἐνθυμουμένοις ὅτι οὔτ' ἂν ἐκεῖνα δύναιντο ποιεῖν, μὴ ἑτέρων συμπραττόντων, οὔτ' ἂν νῦν ἐπεχείρησαν ἑλεῖν, μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι. οἱ οὐ τούτους ἥκουσι βοηθήσοντες, ἀλλ' ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι τῶν πεπραγμένων, καὶ τοῦ λοιποῦ ποιεῖν ὅ, τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες ἀφήσετε. Ἀλλὰ καὶ τῶν συνεργούντων αὐτοῖς ἄξιον θαυμάζειν, πότερον ὡς κακοὶ, ἢ ἀγαθοὶ αἰτήσονται, τὴν αὑτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς πονηρίας. ἐβουλόμην μέντ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀποδοῦναι, ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται, καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν. ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὔτε τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν. Ἀλλὰ καὶ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἱ τούτοις μαρτυροῦντες, αὐτῶν κατηγοροῦσι, σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν, διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τεθνειότων ἐπ' ἐκφορὰν ἐλθεῖν. καὶ τοιοῦτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι· ἐκεῖνοι δὲ οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. οὐκοῦν δεινὸν εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν, ἤπου εἰς τὴν ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε τοσοῦτοι παρασκευάζονται. καὶ μὲν δὴ πολὺ ῥᾴδιον ἡγοῦμαι εἶναι, ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. Καί τοι λέγου-

σιν

σιν ὡς Ἐρατοσθένει ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργα-
σται, καὶ διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι. ὅτι δὲ τῶν ἄλ-
λων Ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται
χρῆναι αὐτὸν ἀπολέσθαι. ὑμεῖς δὲ δείξατε ἥν τινα γνώμην
ἔχετε περὶ τῶν πραγμάτων. εἰ μὲν γὰρ τούτου καταψηφιεῖ-
σθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις. εἰ δὲ
ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τού-
τοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα
προσταχθέντα ἐποιεῖτε. νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκά-
ζει παρὰ τὴν ὑμετέραν γνώμην ἀποψηφίζεσθαι, ὥστε συμβου-
λεύω, μὴ τούτων ἀποψηφισαμένους, ὑμῶν αὐτῶν καταψηφί-
σασθαι. μηδ' οἴεσθε κρύβδην τὴν ψῆφον οἴσειν. φανερὰν γὰρ
τῇ πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε. Βούλομαι δὲ ὀλί-
γα ἑκατέρους ἀναμνήσας, καταβαίνειν, τούς τε ἐξ ἄστεος καὶ τοὺς
ἐκ Πειραιέως, ἵνα τὰς ὑμῖν διὰ τούτων γεγενημένας συμ-
φορὰς παραδείγματα ἔχοντες, τὴν ψῆφον φέρητε. καὶ πρῶτον
μὲν ὅσοι ἐξ ἄστεος ἐστὲ, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω σφόδρα
ἤρχεσθε, ὥστε ἀδελφοῖς καὶ υἱέσι καὶ πολίταις ἠναγκάζεσθε
πολεμεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν, τοῖς νική-
σασι τὸ ἴσον εἴχετε, νικήσαντες δ' αὖ, τούτοις ἐδουλεύετε. καὶ
τοὺς ἰδίους οἴκους οὗτοι μὲν αὖ ἐκ τῶν πραγμάτων μεγάλους
ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον ἐλάττους
εἴχετε. συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν, συνδιαβάλ-
λεσθαι δ' ἠνάγκαζον, εἰς τοσοῦτον ὑπεροψίας ἐλθόντες, ὥστε
οὐ τῶν ἀγαθῶν κοινούμενοι, πιστοὺς ἡμᾶς ἐκτῶντο, ἀλλὰ τῶν
ὀνειδῶν μεταδιδόντες, εὔνους ᾤοντο εἶναι. ἀνθ' ὧν ὑμεῖς νῦν
ἐν τῷ θαρραλέῳ ὄντες, καθόσον δύνασθε, καὶ ὑπὲρ ὑμῶν
αὐτῶν, καὶ ὑπὲρ τῶν ἐκ Πειραιέως τιμωρήσασθε. ἐνθυμη-
θέντες μὲν ὅτι ὑπὸ τούτων πονηροτέρων ὄντων ἤρχεσθε, ἐν-
θυμηθέντες δὲ ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων πολιτεύεσθε,
καὶ τοῖς πολεμίοις μάχεσθε, καὶ περὶ τῆς πόλεως βουλεύεσθε,

ἀνα-

ἀναμνησθέντες δὲ τῶν ἐπικούρων, οὓς οὗτοι φύλακας τῆς ὑμετέρας ἀρχῆς καὶ τῆς ὑμετέρας δουλείας εἰς τὴν ἀκρόπολιν κατέστησαν. Καὶ πρὸς ὑμᾶς μὲν, ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσαῦτα λέγω. ὅσοι δ' ἐκ Πειραιέως ἐστὲ, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι, οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὸ τούτου εἰρήνης οὔσης ἀφῃρέθητε τὰ ὅπλα· ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως ὧν ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων ἐζητοῦντο. ἀνθ' ὧν ὀργίσθητε μὲν ὥσπερ ὅτ' ἐφεύγετε· ἀναμνήθητε δὲ καὶ τῶν ἄλλων κακῶν, ἃ πεπόνθατε ὑπ' αὐτῶν, οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς, τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες, βιαίως ἀπέκτανον, τοὺς δὲ, ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφελόντες, φονέας αὐτῶν ἠνάγκασαν γενέσθαι, καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν, ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι τῆς παρὰ τῶν Θεῶν τιμωρίας. ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες, καὶ εἰς πολλὰς πόλεις πλανηθέντες, καὶ πανταχόθεν ἐκκηρυττόμενοι, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν ἐν πολιμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων, ἤλθετε εἰς τὸν Πειραιᾶ. πολλῶν δὲ καὶ μεγάλων κινδυνίων ὑπαρξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι, τοὺς μὲν ἠλευθερώσατε, τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε. εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε, μὴ πάθητε τοιαῦτα οἷα καὶ πρότερον· καὶ οὔτε ἂν ἱερὰ, οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτηρία γίνεται. οἱ δὲ παῖδες ὑμῶν, ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο, οἱ δ' ἐπὶ ξένης, μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον, ἐρημίᾳ τῶν ἐπικουρησόντων. Ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τού-

των δ' δυνάμθυος εἰπεῖν. οὐδὲ γὰρ ενὸς κατηγόρυ, οὐδὲ δυοῖν ἔργον ὄξὶν, ἀλλὰ πολλῶν. ὅμως δὲ τῆς ἐμῆς προθυμίας ἐλλέλειπται ὑπὲρ τῶν ἱερῶν· ἃ ὅτοι τὰ μὲν ἀπέδοντο, τὰ δ' εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως, ὧ μικρὰ ἐποίων, ὑπέρ τε τῶν νεωσίων, ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν τεθνεώτων, οἷς ὑμεῖς ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδυνάσθε, ἀποθανοῦσι βοηθήσατε. οἶμαι δ' αὐτὰς ὑμῶν τε ἀκροᾶσθαι, καὶ ὑμᾶς εἰσεσθαι τὰς τοῦ ψήφου φέρουσας. ἡγημένους, ὅσοι μὲν αὖ πάντων ἀποψηφίσησθε, αὐτῶν θανάτου καταψηφιεῖσθαι· ὅσοι δ' αὖ παρὰ πάντων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν τιμωρίας πεποιημένους. παύσομαι κατηγορῶν. ἀκηκόατε, ἑωράκατε, πεπόνθατε, ἔχετε, δικάζετε.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΤΑΦΙΟΣ ΕΙΣ

Τὰς Κορινθίων βοηθάς.

ΕΙ' μὲν ἡγεμόνα οἷόν τε εἶναι, ὦ παρόντες, ὅτι τῷ δὲ τῷ πάρῳ, λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετὴν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν. ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐκ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, δοκεῖ καὶ τοῦτο καλῶς ἡ πόλις μοι δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσαξιν ποιεῖσθαι, ἡγουμένη ἕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσόντων τυγχάνειν. Ὅμως δὲ, ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δὲ ἀγὼν οὐ περὶ τούτων ἔργα, ἀλλὰ περὶ τῶν πρότερον ἐπ' αὐτοῖς εἰρημένων. τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασαν ἡ τούτων ἀρετὴ καὶ τοῖς πεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥστε πολλὰ μὲν πολλὰ τοῖς ὑστέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ

δὲ

δὲ καὶ ἐκείνοις παραλελεῖφθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξῆν εἰπεῖν. Οὔτε γὰρ γῆς ἄπειροι, οὔτε θαλάττης οὐδεμιᾶς, πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις οἱ τὰ αὐτῶν πενθοῦντες κακὰ, τὰς τούτων ἀρετὰς ὑμνοῦσι. Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι, μνήμην παρὰ τῆς φήμης λαβών. ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δὲ ἐν ταῖς τῶν ἀγαθῶν μνήμαις, τιμῶντας δ' ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ' ἐν τοῖς τῶν τεθνεώτων ἔργοις τοὺς ζῶντας. Ἀμαζόνες μὲν γὰρ Ἄρεως τὸ παλαιὸν ἦσαν θυγατέρες, οἰκοῦσαι δὲ παρὰ τὸν Θερμώδοντα ποταμὸν, μόναι δὲ ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτὰς, πρῶται δὲ τῶν πάντων ἐφ' ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως δι' ἀπειρίαν τῶν ἐναντίων, ἥρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας. Ἐνομίζοντο δὲ διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες, ἢ διὰ τὴν φύσιν γυναῖκες. πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν, ἢ ταῖς ἰδίαις ἐλλείπειν. Ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν τοὺς περὶ αὐτὰς καταδεδουλωμέναι, λόγῳ δὲ περὶ τῆς δὲ τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν, ἐστράτευσαν ἐπὶ τὴν δὲ τὴν πόλιν. τυχοῦσαι δὲ ἀγαθῶν ἀνδρῶν. ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει. καὶ ἐναντίαν τὴν δόξαν τῆς προτέρας λαβοῦσαι, μᾶλλον ἐκ τῶν κινδύνων, ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες. μόναις δὲ αὐταῖς οὐκ ἐξεγένετο ἐκ τῶν ἡμαρτημένων μαθούσαις περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδὲ οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι, τήν τε σφετέραν αὐτῶν δυστυχίαν, καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν. αὐτοῦ γὰρ ἀποθανοῦσαι, καὶ δοῦσαι δίκην τῆς ἀνοίας, τῆς δὲ μὲν τῆς πόλεως διὰ τὴν ἀρετὴν ἀθάνατον τὴν μνήμην ἐποιήσαντο, τὴν δὲ ἑαυτῶν πατρίδα, διὰ τὴν ἐνθάδε συμφορὰν ἀνώνυμον κατέστησαν. Ἐκεῖναι μὲν

οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι, τὴν ἑαυτῶν δικαίως ἀπώλεσαν. Ἀδράστου δὲ καὶ Πολυνείκους ἐπὶ Θήβας στρατευσάντων, καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων τῶν Καδμείων θάπτειν τοὺς νεκροὺς, Ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μὲν, εἴτι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ ἑαυτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων τοὺς ἄνω Θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον πέμψαντες κήρυκας, ἐδέοντο αὐτῶν δοῦναι τῶν νεκρῶν τὴν ἀναίρεσιν, νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι, ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς, ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι. οὐ δυνάμενοι δὲ τούτων τυχεῖν, ἐστράτευσαν ἐπ' αὐτοὺς, οὐδεμιᾶς διαφορᾶς πρότερον πρὸς Καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσιν Ἀργείων χαριζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν πρὸς τοὺς ἑτέρους ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν. ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες πλείω περὶ τοὺς Θεοὺς ἐξυβρίσωσιν, ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὐτῶν ἀπέλθωσι, πατρίου τιμῆς ἀτυχήσαντες, καὶ Ἑλληνικοῦ νόμου στερηθέντες, καὶ κοινῆς ἐλπίδος ἡμαρτηκότες. Ταῦτα διανοηθέντες, καὶ τὰς ἐπὶ τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον, ἐνίκων μαχόμενοι· καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες, μείζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο· αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα, ὧν περ ἕνεκα ἀφίκοντο, τοὺς Ἀργείων νεκροὺς ἔθαψαν ἐν τῇ αὐτῶν Ἐλευσῖνι. Περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν. ὑστέρῳ δὲ χρόνῳ, ἐπειδὰν Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη, οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένων μὲν τοῖς ἔργοις, φο-

βουμέ-

βουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τὴν δὲ τὴν πόλιν, ἱκέται ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο. ἐξαιτουμένου δὲ αὐτοὺς Εὐρυσθέως, Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο, ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο· καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶλλον, ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι. Ἐπιστρατεύσαντος δὲ Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς τῶν δεινῶν γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην, ἥπερ πρότερον, ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες, ἐκείνους τ' οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι, δίκαιον δὲ νομίζοντες εἶναι, (οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου, πλὴν δόξης ἀγαθῆς) τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ᾔραντο. τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δὲ ὑβρίζοντας μισοῦντες. καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δὲ ἐπικουρεῖν ἀξιοῦντες. ἡγούμενοι ἐλευθερίας μὲν σημεῖον εἶναι μηδὲν ποιεῖν ἄκοντας, δικαιοσύνης δὲ τοῖς ἀδικουμένοις βοηθεῖν, εὐψυχίας δὲ ὑπὲρ τούτων ἀμφοτέρων εἰ δέοι, μαχομένους ἀποθνήσκειν. τοσοῦτον δὲ ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετὰ Εὐρυσθέως οὐδὲν παρ' ἑκόντων ἐζήτουν εὑρίσκεσθαι, Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα αὐτὸν ἱκετεύοντες, τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. Παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατιὰν ἐλθοῦσαν, ἐνίκων μαχόμενοι, καὶ τῶν παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, ἀπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχᾶς ἠλευθέρωσαν διὰ τὴν τοῦ πατρὸς ἀρετὴν, ἐκείνους δὲ τοῖς αὐτῶν κινδύνοις ἐστεφάνωσαν. τοσοῦτον δὲ εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός. ὁ μὲν γὰρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον, καὶ φιλόνικον, καὶ φιλότιμον αὐτῷ καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα δὲ καὶ

ἐχθρὸν ὄντα, καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα· οὐκ οἷός τε ἦν τι μωρήσασθαι. οἱ δὲ παῖδες αὐτῶν ἀξιοῦσι τὸν δῆμον τὸν τῶνδε τὴν πόλιν τῇ αὐτῇ ἁπάσῃ ἡμέρᾳ τὴν τούτων σωτηρίαν, καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν. Πολλὰ μὲν ἂν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μὴ γνώμῃ χαριζομένοις περὶ τῶν δικαίων διαμάχεσθαι· ἥτε γὰρ ἀρχὴ τῶν βίᾳ δικαία, καὶ γὰρ ἄπορ οἱ πολλοὶ, πανταχόθεν συνειλεγμένοι, καὶ ἑτέρους ἐκβαλόντες, τὴν ἀλλοδαπὴν ᾤκησαν, ἀλλ' αὐτόχθονες ὄντες τὸν αὐτὸν ἐκέκτηντο μητέρα καὶ πατρίδα. Πρῶτοι δὲ καὶ μόνοι ἐν ἠπείρῳ τῷ χώρῳ ἐκβαλόντες τοὺς ἐνοφίσιν αὐτοῖς δυναστείας, δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὸν τῶν πολιτῶν ἐλευθερίαν, ὁμόνοιαν εἶναι μεγίστην. κοινὰς δ' ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες, ἐλευθέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο, τόμῳ τοὺς ἀγαθοὺς τιμῶντες, καὶ τοὺς κακοὺς κολάζοντες, ἡγησάμενοι θεμιτὸν μὲν ἔργον εἶναι ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν, νόμῳ μὲν ὁρίσαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι, ἔργῳ δὲ τοῖς ὑπηρετεῖν, ὑπὸ νόμων μὲν βασιλευομένοις, ὑπὸ λόγων δὲ διδασκομένοις. Τοιγάρτοι καὶ φυόντες καλῶς, καὶ γενόμενοι ὅμοια, πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα καὶ πανταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες ἔργα δόξαν τῇ ἑαυτῶν ἀρετὴν κατέλιπον, μόνοι δὲ ὑπὲρ ἁπάντων τῶν τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. Ὁ γὰρ τῆς Ἀσίας βασιλεὺς οὐκ ἀγαπῶν τῆς ὑπαρχούσης ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσεσθαι, ἔσπευδε πανστρατιᾷ μυριάδας στρατιῶν. ἡγησάμενοι δὲ, εἰ τῶνδε τὴν πόλιν, ἣ ἐκόσμουν φίλην ποιήσαιντο, ἢ ἅπασαν καταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα, νομίσαντες ὅπως ἂν ἐρημοτάτης εἴη συμμάχων τοὺς Ἕλληνας, οὕτω καὶ ἔτι σασταζούσης τῆς Ἑλλάδος ᾧ τινι χρὴ ξόπῳ τοὺς δουλοῦντας ἀμυνάσθαι, τὸν κίνδυνον ποιήσαιντο. Ἔτι

δὲ

δὲ αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ τῆς πόλεως τοιαύτη δόξα περιεστήκει, ὡς εἰ μὲν πρότερον ἐπ' ἄλλην πόλιν ἴωσιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσι, προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες. εἰ δ' ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν, ἑτέρους σώζοντας, φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. Οἱ μὲν τοίνυν ταῦτα διενοοῦντο. οἱ δὲ ἡμέτεροι πρόγονοι οὐ λογισμῷ εἰδότες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον, ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὐτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν, καὶ αἰσχυνόμενοι ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνεμείναν πύθεσθαι, οὐδὲ βοηθῆσαι τοὺς συμμάχους, οὐδ' ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας. ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες, ἀπήντων ὀλίγοι πρὸς πολλοὺς, ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθοὺς δὲ εἶναι μετ' ὀλίγων. καὶ τὰς μὲν ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. Ἠξίουν δ' οὓς μὴ μόνοι νικῷεν, οὐδ' ἂν μετὰ συμμάχων δύνασθαι, καὶ ἡττηθέντες μὲν, ὀλίγῳ τῶν ἄλλων προαπολεῖσθαι, νικήσαντες δὲ, καὶ τοὺς ἄλλους ἐλευθερώσειν. ἄνδρες δὲ ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς φιλοψυχήσαντες, καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυνόμενοι, ἔστησαν μὲν τρόπαιον ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων ἐν τῇ αὐτῶν ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων παρὰ τοὺς ὅρους τῆς χώρας. Οὕτω δὲ διὰ ταχέων τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις ἀπήγγειλαν, τὴν ἐνθάδε ἄφιξιν τῶν βαρβάρων, καὶ τὴν τῶν προγόνων νίκην. καὶ γάρ τοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὐτῶν ἐλευθερίας ἥσθησαν. ὥστε οὐδὲν θαυ-

μαστὸν, παλαιῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν ὄντων, ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι. Μετὰ δὲ ταῦτα Ξέρξης, ὁ τῆς Ἀσίας βασιλεὺς, καταφρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμφορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν, καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασάμενος, χιλίαις μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο· τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι. Τὸ δὲ μέγιστον σημεῖον τοῦ πλήθους. ἐξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι καὶ τὸ στενότατον τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι. ἀλλ' ὑπερειδὼν καὶ τὰ φύσει πεφυκότα, καὶ τὰ θεῖα πράγματα, καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς θαλάττης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι, ζεύξας μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω, ὑφισταμένου οὐδενὸς, ἀλλὰ τῶν μὲν ἀκόντων ἐπακουόντων, τῶν δὲ ἑκόντων προδιδόντων. οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δὲ ὑπὸ χρημάτων διεφθαρμένοι, ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος καὶ δέος. Ἀθηναῖοι δὲ οὕτω διακειμένης τῆς Ἑλλάδος, αὐτοὶ μὲν εἰς τὰς ναῦς εἰσβάντες ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν. Λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι εἰς Θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον οἷοί τε ἔσεσθαι διαφυλάξαι. γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον, Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ. Λακεδαιμόνιοι δὲ οὐ ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι, ἀλλὰ τοῦ πλήθους ψευσθέντες, καὶ οὓς φυλάξειν ᾤοντο, καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον, οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι. Τούτῳ δὲ τῷ τρόπῳ

τῶν

τῶν μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων, οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν. Οἱ δὲ ἡμέτεροι πρόγονοι πυθόμενοι μὲν τὴν γενομένην Λακεδαιμονίοις συμφορὰν, ἀποροῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν, εἰδότες δὲ ὅτι εἰ μὲν κατὰ τὴν γῆν τοῖς βαρβάροις ἀπαντήσονται, ἐπιπλεύσαντες χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν λήψονται. εἰ δὲ εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς ἁλώσονται, ἀμφότερα δὲ οὐ δυνήσονται, ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν. δυοῖν δὲ προκειμένοιν, πότερον χρὴ τὴν πατρίδα καταλιπεῖν, ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν, ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ἵνα ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν. ὑπεκθέμενοι δὲ παῖδας καὶ γυναῖκας, καὶ μητέρας εἰς Σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. Οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ, καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὃ τίς οὐκ ἂν ἰδὼν ἐφοβήθη; οἷος μέγας καὶ δεινὸς τῇ δὲ τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; ποίαν δὲ γνώμην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις (οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου, καὶ τοῦ προσιόντος κινδύνου) ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς φιλότητος, ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμινίοις; τοσοῦτον πανταχόθεν περιεστήκει πλῆθος πολεμίων, ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τῶν αὐτῶν τῷ αὐτὸν προειδέναι, μεγίστην δὲ συμφορὰν ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέντας ἤλπιζον πείσεσθαι. Ἤπου διὰ τὴν ὑπάρχουσαν ἀπορίαν πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο. εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς

τὰς

τὰς τῶν πολεμίων, ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ χώραν πορθουμένην, καὶ μεστὴν τῶν βαρβάρων, ἱερῶν μὲν καιομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν δεινῶν, ἀκούοντες δὲ ἐν ταὐτῷ συμμεμιγμένου Ἑλληνικοῦ καὶ Βαρβαρικοῦ παιᾶνος, παρακελευσμοῦ δ' ἀμφοτέρων, καὶ κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων, καὶ φιλίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας, δοκοῦντες τοτέμεν νενικηκέναι καὶ σεσῶσθαι, τοτέδε ἡττῆσθαι καὶ ἀπολωλέναι. ἦπου, διὰ τὸν παρόντα φόβον, πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν οὐκ εἶδον, πολλὰ δ' ἀκοῦσαι ὧν οὐκ ἤκουσαν. Ποῖαι δὲ οὐχ ἱκετεῖαι Θεῶν ἐγένοντο, ἢ θυσιῶν ἀναμνήσεις; ἔλεός τε παίδων, καὶ γυναικῶν πόθος, οἶκτός τε πατέρων καὶ μητέρων; λογισμός τε, εἰ δυστυχήσειαν, τῶν μελλόντων ἔσεσθαι κακῶν; τίς οὐκ ἂν Θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτοὺς οὐκ ἂν ἠγάσθη; Ἢ πολὺ πλεῖστον ἐκεῖνοι μετὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν καὶ ἐν τοῖς βουλεύμασι, καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ' ἐσβάντες, τὰς δ' αὐτῶν ψυχὰς ὀλίγας οὔσας ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς Ἀσίας. ἐπέδειξαν δὲ πᾶσιν ἀνθρώποις, νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. Πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συνεβάλοντο, στρατηγὸν μὲν Θεμιστοκλέα, ἱκανώτατον εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι, ναῦς δὲ πλείους τῶν ἄλλων ἁπάντων συμμάχων, ἄνδρας δὲ ἐμπειροτάτους. καί τοι τίνες ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν γνώμῃ, καὶ πλήθει, καὶ ἀρετῇ; ὥστε δικαίως μὲν ἀναμφισβητήτως ἀριστεῖα τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως δὲ

τὴν

τὴν εὐτυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο, γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο. Ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὐτοὺς παρασχόντες, καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες, τῇ ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν τοῖς ἄλλοις ἐκτήσαντο. Ὕστερον δὲ Πελοποννησίων διατειχιζόντων τὸν Ἰσθμὸν, καὶ ἀγαπώντων μὲν τῇ σωτηρίᾳ, νομιζόντων δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιϊδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες Ἀθηναῖοι συνεβούλευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἕξουσι, περὶ ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν. εἰ γὰρ αὐτοὶ ὑπὸ Ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ' ἐκείνοις δεήσειν χιλίων νεῶν, οὔτε τούτους ὠφελήσειν τὸ ἐν ἰσθμῷ τεῖχος. ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάσσης ἀρχὴν τοῦ Βασιλέως. διδασκόμενοι δὲ καὶ νομίζοντες αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν, καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς. ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων, διὰ τὸ πλῆθος τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν καὶ Τεγεάται τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ καὶ Πλαταιεῖς πάντας τοὺς Ἕλληνας ἐνίκων μαχόμενοι τοὺς ἀπυγνόντας τῆς ἐλευθερίας, καὶ ὑπομείναντας τὴν δουλείαν. ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατειργάσαντο, ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες, καὶ ναυμαχοῦντες, καὶ πρὸς βαρβάρους, καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ' ὧν ἐκινδύνευον καὶ πρὸς οὓς ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος. Ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος, διὰ ζῆλον τῶν γεγενημένων, καὶ φθόνον τῶν πεπραγμένων,

μέ-

μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δὲ ἐγκλημάτων ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθηναίοις πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γινομένης, ἑβδομήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. πολιορκούντων δὲ κατὰ τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ τῆς ἡλικίας ἀπούσης, ἔν τε ταῖς ναυσὶ, καὶ ἐν τῷ πεζῷ στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι ἡγούμενοι, ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν, ἢ ἐξ Αἰγίνης ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ Γεράνειαν κατέλαβον. Ἀθηναῖοι δὲ, τῶν μὲν ἀπόντων, τῶν δ' ἐγγὺς ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι· ταῖς δ' αὐτῶν ψυχαῖς πιστεύσαντες, καὶ τῶν ἐπιόντων καταφρονήσαντες, οἱ γεραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες, ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι. οἱ μὲν ἐμπειρίᾳ τὴν ἀρετὴν, οἱ δὲ φύσει κεκτημένοι· καὶ οἱ μὲν, αὐτοὶ πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δὲ ἐκείνους μιμούμενοι, τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπιταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων, Μυρωνίδου στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν, ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων, τοῖς ἤδη ἀπειρηκόσι, καὶ τοῖς οὔπω δυναμένοις, τοὺς εἰς τὴν σφετέραν ἐμβαλεῖν ἀξιώσαντας εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες, τρόπαιον δὲ στήσαντες, καλλίστου μὲν αὐτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκ ἔτι τοῖς σώμασιν, οἱ δ' οὔπω δυνάμενοι, ταῖς δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὐτῶν ἀπελθόντες, οἱ μὲν πάλιν ἐπανδεύοντο, οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο. Καθ' ἕκαστον μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα ὑφ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. τίς γὰρ ἂν χρόνος, ἢ λόγος, ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνύσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλείστων γὰρ πόνων, καὶ φανερωτάτων ἀγώνων, καὶ καλλίστων

ςων κινδύνων, ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγίςην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα, ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀςασιάςους δὲ παραχόντες τοὺς συμμάχους, οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες, οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιςάντες, καὶ τὴν αὑτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας Βασιλεὺς οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ, καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο. καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησι κατέςη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη. τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν, ὧν ἕνεκα δεῖ μόνους καὶ προςάτας τῶν Ἑλλήνων καὶ Ἡγεμόνας τῶν πόλεων γίγνεσθαι. Ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυςυχίαις τὴν ἑαυτῶν ἀρετήν. ἀπολλυμένων γὰρ τῶν νεῶν ἐν Ἑλλησσόντῳ εἴτε Ἡγεμόνος κακίας, εἴτε Θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκείνης μεγίςης γενομένης καὶ ἡμῖν τοῖς δυςυχήσασι, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσεν, οὐ πολλῷ χρόνῳ ὕςερον, ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία. Ἑτέρων γὰρ Ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλασσαν οὐκ ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην, δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ' ἐγκαθιςᾶσιν, οἱ μὲν μετὰ τὴν ἡμετέραν συμφορὰν, οἱ δὲ μετὰ τὴν νίκην τῶν βαρβάρων. ὥςτ' ἄξιον ἦν ἐπὶ τῷ δὲ τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι, καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους, ὡς συγκαθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ. Ὡς δυςυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας Βασιλεὺς ἑτέρων Ἡγεμόνων λαβόμενος. τῇ μὲν γὰρ τούτων ςερηθείσῃ δουλεία περιέςηκε, τῷ δ' ἄλλων ἀρξάντων,

ζη-

ζῆλος ἐνῆν τῆς τῶν προγόνων διανοίας. Ἀλλὰ ταῦτα μὲν ἐξήχθω ὑπὲρ πάσης ὁλοφύρασθαι τῆς Ἑλλάδος. ἐκείνων δὲ τῶν ἀνδρῶν ἄξιον, καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἳ φεύγοντες τὴν δουλείαν, καὶ περὶ τὴν δίκαιαν μαχόμενοι, καὶ ὑπὲρ τῆς δημοκρατίας φασιάσαντες πάσας πολεμίους κεκτημένοι, εἰς τὸν Πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, καὶ οἷς κινδυνίοις τὴν παλαιὰν τῶν προγόνων ἀρετὴν μιμησάμενοι ταῖς αὐτῶν ψυχαῖς κοινὴν τὴν πολιν καὶ τοῖς ἄλλοις κτησάμενοι, θάνατον μετ' ἐλευθερίας αἱρούμενοι, ἢ βίον μετὰ δουλείας, οὐκ ἧττον ταῖς συμφοραῖς ἀσχαλῶντες, ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι, μᾶλλον βουλευσάμενοι ἐν τῇ αὐτῶν ἀποθνήσκειν, ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, συμμάχους μὲν ὅρκους, καὶ σπονδὰς ἔχοντες, πολεμίους δὲ τοὺς πρόσθεν ὑπάρχοντας καὶ τοὺς πολίτας τοὺς ἑαυτῶν. Ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες; τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὐτῶν ἀρετῆς ἐγγὺς ὄντας τῇ δε τῇ μνήματος τοὺς Λακεδαιμονίων τάφους παρέχονται. Καὶ γάρ τοι μεγάλῃ μὲν αὐτὴ μικρᾶς ἀνέδειξεν τὴν πόλιν, ὁμονοοῦσαν δὲ αὐτὴ στασιάζουσης ἀπέφηνεν, τεῖχη δὲ αὐτὴ τῶν καθημμένων ἀνέστησεν. Οἱ δὲ κατελθόντες αὐτῶν, ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπιδεικνύντες, οὐκ ὅτι τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ὅτι σωτηρίαν τῆς πόλεως ἐζήτουν. καὶ ὅτε ἐλαττοῦσθαι δυνάμενοι, ὅτε αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὐτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις δουλεύειν μετέδωκαν, τῆς δὲ ἐκείνων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν. Ἔργοις δὲ μεγίστοις καὶ καλλίστοις ἀπελογίσαντο, ὅτι οὐ καινῇ τῇ αὐτῶν ἀρετῇ τῶν πολεμίων πρότερον ἐδυσύχησεν ἡ πόλις. εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους, βίᾳ, παρόντων Πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν, εἰς τοὺς αὐτῶν οἷοί τε ἐγίνοντο κατελθεῖν, δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες

πο-

πολεμεῖν αὐτοῖς ἐδύναντο. Ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται. ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ τῷ πλήθει βοηθήσαντες, καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς. Οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες Κορινθίοις ὑπὸ παλαιῶν φίλων ἀδικουμένοις, καὶ κοινοὶ σύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔσχον. οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς ἠλέουν, οὐ τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιούμενοι, πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαντες. ἐτόλμησαν γὰρ μεγάλην ποιοῦντες τὴν Ἑλλάδα, οὐ μόνον περὶ τῆς αὑτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνήσκειν. τοῖς γὰρ Λακεδαιμονίων συμμάχοις περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο· νικήσαντες μὲν γὰρ ἂν ἐκείνους, τῶν αὐτῶν ἠξίουν, δυστυχήσαντες δὲ, βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον. ἐκείνοις μὲν οὖν οὕτω διακειμένοις ὁ βίος οἰκτρὸς, καὶ ὁ θάνατος εὐκτός. οὗτοι δὲ, καὶ ζῶντες καὶ ἀποθανόντες ζηλωτοί. παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι, τήν τε ἐκείνων δόξαν διασώσαντες, καὶ τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαντες. πολλῶν μὲν γὰρ καλῶν αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι, ἐπηνώρθωσαν δὲ τὰ ὑφ' ἑτέρων δυστυχηθέντα, πόρρω δ' ἀντὸ τῆς αὑτῶν τὸν πόλεμον κατέστησαν. ἐτελεύτησαν δὲ τὸν βίον ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνήσκειν, τῇ μὲν πατρίδι τὰ τροφεῖα ἀποδόντες, τοῖς δὲ θρέψασι λύπας καταλιπόντες. ὥστε ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν, καὶ σφὰς αὐτοὺς ὀλοφύρεσθαι, καὶ τοὺς προσήκοντας αὐτῶν ἐλεεῖν τοῦ ἐπιλοίπου βίου. τὶς γὰρ αὐτοῖς ἔτι

ἡδο-

ἡδονὴ καταλείπεται, τοιούτων ἀνδρῶν θαπτομένων; οἳ πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι, αὐτὸς μὲν ἀπεστέρησαν βίου, χήρας δὲ γυναῖκας ἐποίησαν; ὀρφανοὺς δὲ τοὺς αὑτῶν παῖδας ἀπέλιπον; ἐρήμους δ' ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν; πολλῶν δὲ δεινῶν ὑπαρχόντων, τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ, ὅτι νεώτεροί εἰσιν, ἢ ὥστε εἰδέναι οἵων πατέρων ἐστέρηνται· ἐξ ὧν δ' οὗτοι γεγόνασιν οἰκτείρω, ὅτι πρεσβύτεροι, ἢ ὥστε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν. τί γὰρ ἂν τούτων ἀνιαρώτερον γένοιτο, ἢ τεκεῖν μὲν καὶ θρέψαι καὶ θάψαι τοὺς αὑτῶν; ἐν δὲ τῷ γήρᾳ ἀδυνάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ' ἀπεστερημένους τῶν ἐλπίδων, ἀφίλους καὶ ἀπόρους γεγονέναι; ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦσθαι, καὶ νῦν ἐλεεῖσθαι; ποθεινότερον δ' αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου; ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν, τοσούτῳ τοῖς καταλειπομένοις τὸ πένθος μεῖζον. πῶς δ' αὐτοὺς χρὴ λῆξαι τῆς λύπης; πότερον ἐν ταῖς τῆς πόλεως συμφοραῖς; ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι. ἀλλ' ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς; ἀλλ' ἱκανὸν λυπῆσαι, τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς. ἀλλ' ἐν τοῖς ἰδίοις κινδύνοις; ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους, φεύγοντας τὴν αὐτῶν ἀπορίαν, τοὺς δ' ἐχθροὺς μέγα φρονοῦντας ἐπὶ ταῖς δυστυχίαις ταῖς τούτων; Μόνοι δ' ἄν μοι δοκοῦμεν ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως ὥσπερ ἐκεῖνοι περὶ πολλοῦ ποιοίμεθα, τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα, ὥσπερ αὐτοὶ πατέρες ὄντες, ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοηθοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἷοί περ ἐκεῖνοι ζῶντες ἦσαν. τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῶμεν τῶν ἐνθάδε κειμένων; τίνας δ' ἂν τῶν ζώντων δικαιότερον περὶ πολλοῦ ποιοίμεθα, ἢ τοὺς τούτοις προσήκοντας; οἳ τῆς μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν, ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυ-

χίας

χίας μετέχουσιν. ἀλλὰ οὐκ οἶδα εἴτι δεῖ τοιαῦτα ὀλοφύρεσθαι· οὐ γὰρ λανθάνομεν ἡμᾶς αὐτοὺς ὄντες θνητοί. ὥστε τί δεῖ, ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι; ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς, ἐπισταμένους ὅτι ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε γὰρ τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει, ἀλλ' ἴσον ἑαυτὸν παρέχει πᾶσιν. εἰ μὲν γὰρ οἷόν τε ἦν τοῖς τοὺς ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν, ἀθανάτους εἶναι τὸν λοιπὸν χρόνον, ἄξιον ἦν τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας. νῦν δὲ ἥτε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ, τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος· ὥστε προσήκει τούτους εὐδαιμονεστάτους ἡγεῖσθαι, οἵ τινες ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες, οὕτως τὸν βίον ἐτελεύτησαν, οὐκ ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ, οὐδὲ ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον. καὶ γὰρ ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δ' αὐτῶν ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί. οἳ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοὶ, ὑμνοῦνται δ' ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. καὶ γάρ τοι θάπτενται δημοσίᾳ, καὶ ἀγῶνες τίθενται ἐπ' αὐτοῖς ῥώμης, καὶ σοφίας, καὶ πλούτου, ὡς ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. Ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵ τινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὐτῶν κατέλιπον· ὅμως δ' ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πάτριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

10367

ΛΙΒΑΝΙΟΥ

ΥΠΟΘΕΣΙΣ,

Τοῦ Ὀλυνθιακοῦ Πρώτου Λόγου.

Ὄλυνθος ἦν πόλις ἐπὶ Θρᾴκης· Ἑλληνικὸν δὲ ταύτῃ τῶν ἐνοικούντων τὸ γένος ἀπὸ Χαλκίδος τῆς ἐν Εὐβοίᾳ· ἡ δὲ Χαλκὶς Ἀθηναίων ἄποικος. πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου. Ἀθηναίοις τε γὰρ ἐπολέμησεν ἄρχουσι τῶν Ἑλλήνων τὸ παλαιὸν, καὶ αὖθις Λακεδαιμονίοις. χρόνῳ τε εἰς δύναμιν προῆλθε μεγάλην, καὶ τῶν συγγενῶν πόλεων ὑπερεῖχεν. ἦν γὰρ ἐπὶ Θρᾴκης πολύ τι γένος Χαλκιδικόν. Φιλίππῳ δὲ τῷ Μακεδόνων Βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς Ἀθηναίους τὸ κατ' ἀρχὰς, καὶ τοῦτο μὲν, Ἀνθεμοῦντα παρὰ τοῦ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ, Ποτίδαιαν, ἦν Ἀθηναίων ἐχόντων, ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν. ὕστερον ἐπιπτεύειν ἤρξαντο τὸν Βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. ἀποδημοῦντα δὲ τηρήσαντες αὐτὸν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον. συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους, κἂν ἄλλοτι δόξῃ, κοινῇ πρεῖσασθαι. ὁ δὲ Φίλιππος πάλαι μὲν προφάσεως ἐπ'

αὐτὸς

αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβὼν, ὡς τὰς συνθήκας παραβεβηκόσι, καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐπιεισμένοις, πόλεμον ἐπηνέγκεν. οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας· οἷς ὁ Δημοσθένης συναγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. καί φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν τῶν Ἀθηναίων εἶναι. σωζομένων γὰρ τῶν Ὀλυνθίων οὐδέποτε ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν, κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον. εἰ δὲ ὑπὸ Φιλίππῳ γένηται ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τοὺς Ἀθηναίους ὁδὸν τῷ Βασιλεῖ. φησὶ δὲ δύσμαχον εἶναι τὸν Φίλιππον, οὐχ ὡς ὑπείληπται, θαρσύνων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους. διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων ποιῆσαι αὐτὰ στρατιωτικὰ, ἀντὶ θεωρικῶν. καὶ τὸ ἔθος οὐ πρόδηλον ὄν, ᾧ ἐχρῶντο οἱ Ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι. οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἱκρίων, καὶ πάντων καταλαμβάνειν τύπον ἀσευδόντων, πληγαί τε ἐγίνοντο, καί που καὶ τραύματα. τοῦτο κωλύσαι βουληθέντες οἱ προεστῶτες τῶν Ἀθηναίων, ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους. καὶ ἕκαστον ἔδει διδόναι δύω ὀβολοὺς, καὶ καταβαλόντα θέαν ἔχειν. ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες τῷ ἀναλώματι λυπεῖσθαι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύω ὀβολούς. ἐντεῦθεν μὲν οὖν τὸ ἔθος ἤρξατο. προῆλθε δὲ εἰς τοσοῦτον, ὥστε οὐκ εἰς τοῦτο μόνον ἐλάμβανον, ἀλλ' ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. πάλαι μὲν γὰρ στρατευόμενοι μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον, τότε δὲ ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες διενέμοντο τὰ χρήματα. οὐκ ἔτι οὖν ἤθελον ἐξιέναι, καὶ κινδυνεύειν· ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεω-

ρικῶν τούτων χρημάτων, θάνατον ἀπειλοῦντα τῷ γράψαντι μετατεθῆναι ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν, καὶ γενέσθαι στρατιωτικά. διὸ ὁ Δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς. καὶ ὑπερωτήσας ἑαυτὸν, ὅτι σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά; ἐπιφέρει, μὰ Δί' οὐκ ἔγωγε. τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν. διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτοὺς στρατεύεσθαι, καὶ μὴ διὰ ξένων ὥς περ εἰώθεσαν ποιεῖσθαι τὴν βοήθειαν. τοῦτο γὰρ αἴτιον εἶναι ἔφη τοῦ τὰ πράγματα ἀπόλλυσθαι.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΟΛΥΝΘΙΑΚΟΣ.

ΛΟΓΟΣ, Α'.

Ἀντὶ πολλῶν ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει, περὶ ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν. οὐ γὰρ μόνον εἴτι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτο ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω, πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν, ὥστ' ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι. Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι, μονονουχὶ λέγει φωνὴν ἀφιεὶς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστὶν, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. ἡμεῖς δ' ἐκ οἶδ' ὅντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. Ἔστι δὴ τάγ' ἐμοὶ δοκοῦντα, ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ παρασκευάσασθαι τὴν ταχίστην, ὅπως ἐνθένδε βοηθήσητε, καὶ μὴ πάθητε ταυτὸν, ὅπερ καὶ πρότερον· πρεσβείαν δὲ πέμπειν, ἥτις ταῦτ' ἐρεῖ, καὶ παρέσται τοῖς πράγμασιν. ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν, καὶ δεινὸς ἄνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν εἰκὼν ἡνίκα ἂν τύχῃ, τὰ δ' ἀπειλῶν, ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο, τὰ δ' ἡμᾶς διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν, τρέψηται καὶ παραπάσηταί τι τῶν ὅλων πραγμάτων. οὐ μὴν ἀλλ' ἐπιεικῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὅπερ δυσμαχώτατόν ἐστι τῶν Φιλίπ-

λίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν. τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον, καὶ ῥητῶν, καὶ ἀπορρήτων, καὶ ἅμα στρατηγὸν, καὶ δεσπότην, καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι, πολλῷ προέχει· πρὸς δὲ τὰς καταλλαγὰς, ἃς ἂν ἐκεῖνος ποιήσαιτο ἄσμενος πρὸς Ὀλυνθίους, ἐναντίως ἔχει. δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις, ὅτι νῦν οὐ περὶ δόξης, οὐδ' ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ' ἀναστάσεως, καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος· καὶ ἴσασιν ἅ, τ' Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν, καὶ Πυδναίων τοὺς ὑποδεξαμένους· καὶ ὅλως ἄπιστον, οἶμαι, ταῖς πολιτείαις ἡ τυραννὶς, ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσι. Ταῦτ' οὖν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τἄλλ' ἃ προσήκει πάντα ἐνθυμουμένους, φημὶ δεῖν ἐθελῆσαι, καὶ παροξυνθῆναι, καὶ τῷ πολέμῳ προσέχειν, εἴπερ ποτε, καὶ νῦν χρήματα εἰσφέροντας προθύμως, καὶ αὐτοὺς ἐξιόντας, καὶ μηδὲν ἐλλείποντας. οὐδὲ γὰρ λόγος, οὐδὲ σκῆψις ἔθ' ὑμῖν τοῦ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν, ὑπολείπεται. νυνὶ γὰρ ὃ πάντες ἐθρυλλεῖτε ὡς Ὀλυνθίους ἐκ πολεμοῦσαι δεῖ Φιλίππῳ, γέγονεν αὐτόματον, καὶ ταῦτα, ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. εἰ μὲν ὑφ' ἡμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμαχοι, καὶ μέχρι τοῦ ταῦτ' ἂν ἐγνωκότες οὖσαν ἴσως. ἐπειδὴ δὲ ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς ὑπὲρ ὧν φοβοῦνται καὶ πεπόνθασιν, ἔχειν. Οὐδεὶ δὴ τοιοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, παραπεπτωκότα καιρὸν ἀφεῖναι, οὐδὲ παθεῖν ταυτὸν, ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε. εἰ γὰρ, ὅθ' ἥκομεν Εὐβοεῦσι βιβοηθηκότες, καὶ παρῆσαν Ἀμφιπολιτῶν Ἱέραξ, καὶ Σξουτοκλῆς ἐπὶ τοῦτο τὸ βῆμα, κελεύοντες ὑμᾶς ἐκπλεῖν, καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ' ἡμεῖς καὶ ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν, ἧν περ ὑπὲρ τῆς τῶν Εὐβοέων σωτηρίας, εἴχετ'

ἂν

ἂν Ἀμφίπολιν τότε, καὶ πάντων τῶν μὲν ταῦτα ἂν ἦτε ἀπηλλαγμένοι πραγμάτων. καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαὶ, τἄλλα, ἵνα μὴ καθέκαστα λέγων διατρίβω, πολιορκούμενα ἀπηγγέλλετο, εἰ τότε τούτων ἐνὶ τῷ πρώτῳ προθύμως καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοὶ, ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. νῦν δὲ, τὸ μὲν παρὸν ἀεὶ προϊέμενοι, τὰ δὲ μέλλοντα αὐτόματα οἰόμενοι χήσειν καλῶς, καὶ ηὐξήσαμεν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον ἡμεῖς, καὶ κατεστήσαμεν τηλικοῦτον, ἡλίκος οὐδείς πω Βασιλεὺς γέγονε Μακεδονίας. Νυνὶ δὲ καιρὸς ἥκει· τίς; οὗτος, ὁ τῶν Ὀλυνθίων αὐτόματος τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν προτέρων ἐκείνων. Καὶ ἔμοιγε δοκεῖ τις ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν Θεῶν ἡμῖν ὑπηργμένων καταστὰς, καί περ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν αὐτοῖς χάριν, εἰκότως. τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον, τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως· τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι, πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων ἀντίρροπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέτημ' ἂν ἔγωγε θείην. Ἀλλ' οἶμαι, παρόμοιόν ἐστιν, ὅπερ καὶ περὶ τῆς τῶν χρημάτων κτήσεως. ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δ' ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. καὶ περὶ τῶν πραγμάτων οὕτως. οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδ' εἰ συνέβη τι παρὰ τῶν Θεῶν χρηστὸν, μνημονεύουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν προϋπαρξάντων ὡς τὰ πολλὰ κρίνεται. Διὸ καὶ σφόδρα δεῖ τῶν λοιπῶν, ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φροντίσαι, ἵνα ταῦτ' ἐπανορθωσάμενοι τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα. εἰ δὲ προησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ' Ὄλυνθον ἐκεῖνος καταστρέψεται, φρασάτω τις ἐ-

μοὶ, τί τὸ κωλύον ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται; Ἆρά γε λογίζεταί τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρεῖ τὸν τρόπον, δι' ὃν μέγας γέγονεν, ἀσθενὴς ὢν τὸ κατ' ἀρχὰς Φίλιππος; τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη. μετὰ ταῦτα Φερὰς, Παγασὰς, Μαγνησίαν, πάνθ' ὃν ἐβούλετο εὐτρεπίσας τρόπον, ᾤχετ' εἰς Θρᾴκην. εἶτ' ἐκεῖ τοὺς μὲν ἐκβαλὼν, τοὺς δὲ καταστήσας τῶν Βασιλέων ἠσθένησε. πάλιν ῥαΐσας οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν, ἀλλ' εὐθὺς Ὀλυνθίοις ἐπεχείρησε. τὰς δ' ἐπ' Ἰλλυριοὺς, καὶ Παίονας αὐτοῦ, καὶ πρὸς Ἀρύμβαν, καὶ ὅπῃ τίς ἂν εἴποι, παραλείπω στρατείας. Τί οὖν, τις ἂν εἴποι, ταῦτα λέγεις ἡμῖν νυῦ; ἵνα γνῶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αἴσθησθε ἀμφότερα, καὶ τὸ προΐεσθαι καθέκαστον αἰεί τι τῶν πραγμάτων, ὡς ἀλυσιτελὲς, καὶ τὴν φιλοπραγμοσύνην, ᾗ πρὸς ἅπαντας χρῆται, καὶ συζῇ Φίλιππος, ὑφ' ἧς οὐκ ἔστιν ὅπως ἀγαπήσας τοῖς πεπραγμένοις ἡσυχίαν σχήσει. εἰ δ' ὁ μὲν, ὡς ἀεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν ἐγνωκὼς ἔσται, ὑμεῖς δὲ, ὡς οὐδενὸς ἀντιληπτέον ἐῤῥωμένως τῶν πραγμάτων, σκοπεῖτε εἰς τίποτε ἐλπίς ταῦτα τελευτῆσαι. Πρὸς Θεῶν τίς οὕτως εὐήθης ἐστὶν ὑμῶν, ὅς τις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον, ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις μικρὸν εὐπορήσαντες χρόνον, ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς ἂν ἐπὶ πολλῷ φανῶμεν ἐῤῥαθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ, ὧν οὐκ ἠβουλόμεθα, ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ. Τὸ μὲν οὖν ἐπιτιμᾶν, ἴσως φήσαι τις ἂν ῥᾴδιον, καὶ παντὸς εἶναι, τὸ δ' ὑπὲρ τῶν παρόντων ὅ, τι δεῖ πράττειν ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβούλου. ἐγὼ δὲ οὐκ ἀ-

γνοῶ

γνοῶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὅτι πολλάκις ὑμεῖς οὐ τοὺς αἰτίους, ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ γνώμην ἐκβῇ. οὐ μὴν οἶμαί γε δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοποῦνθ' ὑποστείλασθαι, περὶ ὧν ὑμῖν συμφέρειν ἡγοῦμαι. Φημὶ δὴ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σώζειν, καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν, καὶ τριήρεσι, καὶ στρατιώταις ἑτέροις. εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιος ἡμῖν ἡ στρατεία γένηται. εἴτε γὰρ ὑμῶν τὴν ἐκείνου κακῶς ποιούντων, ὑπομείνας τοῦτο, Ὄλυνθον παραστήσεται, ῥᾳδίως ἐπὶ τὴν οἰκίαν ἐλθὼν ἀμυνεῖται. εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς Ὄλυνθον, ἀκινδύνως ὁρῶν ἔχοντα τὰ οἴκοι, προσκαθεδεῖται καὶ προσεδρεύσει τοῖς πράγμασι, περιέσται τῷ χρόνῳ τῶν πολιορκουμένων. δεῖ δὴ πολλὴν καὶ διχῇ τὴν βοήθειαν εἶναι. Καὶ περὶ μὲν τῆς βοηθείας ταῦτα γιγνώσκω· περὶ δὲ χρημάτων πόρου, ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι, χρήματα ὑμῖν, ἔστιν, ὅσα οὐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιωτικά. ταῦτα δὲ ὑμεῖς, οὕτως ὡς βούλεσθε, λαμβάνετε. εἰ μὲν οὖν ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου, εἰ δὲ μὴ, προσδεῖ, μᾶλλον δ' ἅπαντος ἐνδεῖ τοῦ πόρου. τί οὖν, ἄν τις εἴποι, σὺ χράφεις ταῦτ' εἶναι στρατιωτικά; μὰ Δί', οὐκ ἔγωγε. ἐγὼ μὲν γὰρ ἡγοῦμαι στρατιώτας δεῖν κατασκευασθῆναι, καὶ ταῦτ' εἶναι στρατιωτικὰ, καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τοῦτο λαμβάνειν, καὶ τοῦ ποιεῖν τὰ δέοντα. ὑμεῖς δὲ οὕτω πως ἄνευ πραγμάτων λαμβάνετε εἰς τὰς ἑορτάς. ἔστι δὴ λοιπὸν, οἶμαι, πάντας εἰσφέρειν, ἂν πολλῶν δέῃ, πολλά· ἂν ὀλίγων, ὀλίγα. Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων. λέγουσι δὲ καὶ ἄλλους τινὰς ἄλλοι πόρους, ὧν ἕλεσθε, ὅς τις ὑμῖν ἂν συμφέρειν δοκῇ, καὶ ἕως ἐστὶ

καὶ-

καιρὸς, ἀντιλάβεσθε τῶν πραγμάτων. Ἄξιον δὲ ἐνθυμηθῆναι καὶ λογίσασθαι, τὰ πράγματα ἐν ᾧ καθέστηκε νυνὶ τὰ Φιλίππου. οὔτε γὰρ ὡς δοκεῖ, καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, εὐπρεπῶς, οὐδ' ὡς ἂν κάλλιστα αὐτῷ τὰ παρόντ' ἔχῃ. οὔτ' ἂν ἐξηνέγκε τὸν πόλεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πολεμεῖν ᾠήθη δεήσειν αὐτὸν, ἀλλ' ὡς ἐπιὼν ἅπαντα τότε ἤλπιζε τὰ πράγματα ἀναιρήσεσθαι, κἄτα διέψευσται. τοῦτο δὴ πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγονὸς, καὶ πολλὴν ἀθυμίαν αὐτῷ παρέχει, εἶτα τὰ τῶν Θετταλῶν. ταῦτα γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει καὶ ἀεὶ πᾶσιν ἀνθρώποις, κομιδῇ δ' ὥσπερ ἦν, καὶ ἔστι νῦν τούτῳ. καὶ γὰρ Παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι, καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν. ἤκουον δ' ἔγωγέ τινων, ὡς οὐδὲ τοὺς λιμένας, καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι, τὰ γὰρ κοινὰ τῶν Θετταλῶν, ἀπὸ τούτων δέοι διοικεῖν, οὐ Φίλιππον λαμβάνειν. ἂν δὲ τούτων ἀποστερηθῇ τῶν χρημάτων, εἰς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται. ἀλλὰ μὴν τόν γε Παίονα, καὶ τὸν Ἰλλυριὸν, καὶ ἁπλῶς τούτους ἅπαντας ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους, ἢ δούλους εἶναι. καὶ γὰρ ἀήθεις τοῦ κατακούειν τινός εἰσι, καὶ ἄνθρωπος ὑβριστὴς, ὥσφασι, καὶ μὰ Δί' οὐδὲν ἄπιστον ἴσως. Τὸ γὰρ εὐπράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον εἶναι. Δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου καιρὸν ἡμέτερον νομίσαντας, ἑτοίμως συνάρασθαι τὰ πράγματα, καὶ πρεσβευομένους ἐφ' ἃ δεῖ, καὶ στρατευομένους αὐτοὺς, καὶ παροξύνοντας τοὺς ἄλλους ἅπαντας, λογιζομένους ὡς εἰ Φίλιππος λάβοι καθ' ἡμῶν τοιοῦτον καιρὸν, καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἴεσθε ἑτοίμως ἐφ' ἡμᾶς ἐλθεῖν; εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἂν, εἰ δύνετ'

ἐκεῖ-

ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες ἀ τολμήσετε; Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μηδὲ τῶν ἡμᾶς λανθανέτω, ὅτι νυνὶ αἵρεσίς ἐστιν ὑμῖν, πότερον ὑμᾶς ἐκεῖ χρὴ πολεμεῖν, ἢ παρ' ὑμῖν ἐκεῖνον. ἐὰν μὲν γὰρ αὐτέχη τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε, καὶ τὰ ἐκείνου καλῶς ποιήσετε, τὰ ὑπάρχοντα, καὶ τὰ οἰκεῖα ταύτῃ ἀδεῶς καρπούμενοι· ἂν δ' ἐκεῖνα Φίλιππος λάβῃ, τίς αὐτὸν ἔτι κωλύσει δεῦρο βαδίζειν; Θηβαῖοι; μὰ λίαν πικρὸν εἰπεῖν μέν, καὶ σφαλερὸν ἐτοίμως. ἀλλὰ Φωκεῖς; οἱ τὰ οἰκεῖα αὐτοῖς οὐκ ἐῶντες φυλάττειν, ἐὰν μὴ βοηθήσητε ὑμεῖς. ἢ ἄλλος τις; ἀλλ' οὐκ ἔστιν· οὐκ ἐβουλήσετο. τῶν ἀπορωτάτων μέν τ' ἂν εἴη, εἰ ἃ νῦν αὐτοῖς ὀφλισκάνων ὅμως ἐκλαλεῖ, ταῦτα δυνηθεὶς μὴ πράξει. Ἀλλὰ μὴν ἥλιξ γ' ὅδε τὰ δέοντα ἂν δέδοκε, ἢ ἐκεῖ πολεμεῖν, ἢ δόγμα πρόσθεν ἤγαγεν. εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτὸς τριάκοντα ἡμέρας μόνας ἔξω βλέπεσθαι, καὶ ὅσα ἂν ἀγαγὼν στρατοπέδῳ χωμάτων, τῷ ἐκ τῆς χώρας λαμβάνειν, μισθωτὸς ὢν ἐν αὐτῇ πολεμεῖν λέγω, πλέον ἂν οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας ὑμῶν, ἢ ὅσα εἰς ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνηται. εἰ δὲ δὴ πόλεμός τις ἥξει, πόσα χρὴ ἰσμίσαι ζημιωθήσεσθαι; καὶ πρόσεισαι ἢ ὕβρις, καὶ ἔτι ἡ τῶν πραγμάτων αἰχμὴ μόλις ἐλάττων· ζημίας τοῖς γε σώφροσι. Πάντα δὴ ταῦτα δεῖ σωιδόντας ἅπαντας βοηθεῖν, καὶ πρωθεῖν ἐκεῖσε τὸν πόλεμον, τοὺς μὲν δι' πόρους, ἵν' ὑπὲρ τῶν πολλῶν, ὧν καλῶς ποιοῦντες ἔχουσι, μικρὰ ἀναλίσκοντες τὰ λοιπὰ παρῶνται ἀδεῶς· τοὺς δ' ἐν ἡλικίᾳ, ἵνα τοῦ τὸ πολεμεῖν ἐμπειρίαν ἐν τῇ τοῦ Φιλίππου χώρᾳ κτησάμενοι, πρόβιροι φύλακες τῆς οἰκείας ἀκριβεῖ θήσονται· τοὺς δὲ λήγοντας, ἵν' αἱ τῶν πεπολιτευμένων αὐτοῖς δόξαι ῥᾴδιαι θήσονται, ὡς ὅποι ἄττ' ἂν ὑμᾶς τρέψῃ τὰ πράγματα, ταῦτα κεῖται καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. χρησὰ δὲ ἔστω πᾶσιν εἶναι.

ΛΙΒΑ-

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ Ο'ΛΥΝΘΙΑΚΗΣ, Β'.

ΠΡοσήκωτο μεν τὴν πρεσβείαν τῶν Ο'λυνθίων οἱ Α'θηναῖοι, καὶ βοηθεῖν αὐτοῖς ἐκελεύσατε. μέλλοντι δὲ περὶ τὴν ἔξοδον, καὶ διδόσιν αἰς θυσιολεμίαν ἔντος τὰ Φιλίππε, παρελθὼν ὁ Δημοσθένης πειρᾶται θαρρύνειν τὸν δῆμον, ὑπιδεικνὺς ὡς ἀσθενῆ τὰ τῶ Μακεδόνος πράγματα. καὶ ὅτι τοῖς συμμάχοις ὕποπτον αὐτὸν εἶναι φησι, καὶ κατὰ τὴν ἰδίαν δύναμιν ἰσχυρόν· τὰς γὰρ Μακεδόνας ἀσθενεῖς εἶναι καθ' ἑαυτάς.

ΤΟΥ ΑΥΤΟΥ Ο'ΛΥΝΘΙΑΚΟΣ Δεύτερος.

ΕΠὶ πολλῶν μεν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Α'θηναῖοι, δοκεῖ μοι, τὴν περὶ τῶν θεῶν εὔνοιαν φανερὰν ἡμῖν ποιεῖσθαι τῇ πόλει, καὶ πλεῖστα δὲ ἐν τοῖς παρῶσι πράγμασι. τὸ γὰρ τὰς πολεμίους Φιλίππῳ γεγενῆσθαι, καὶ χώραν ἅμορον, καὶ δύναμίν τινα κεκτημένας, καὶ τὸ μέγιστον ἁπάντων τὴν ὑπὲρ τῶ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε πρὸς ἐκεῖνον ἀλλαγὰς, πρῶτον μεν ἀπίστως, εἶπε τῆς ἑαυτῶν πατρίδος νομίζειν πάσασιν εἶναι, δαιμονίᾳ τινὶ, καὶ θείᾳ πομπεύσαντι τύχῃ ἔοικεν ἀνθρωπείᾳ. Δεῖ τοίνυν, ὦ ἄνδρες Α'θηναῖοι, πάντ' ἤδη σκοπεῖν αὐτὰς, ὅπως μὴ χείρως περὶ ἡμᾶς αὐτὰς εἶναι δόξωμεν τῶν ὑπαρχόντων· αἳς ἔστι τῶν μὲν χρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνον πόλεως καὶ τόπων, ὧν ἡμεῖς ποτε κύριοι, φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης προσκεκτημένων συμμάχων τε, καὶ πιστῶν. Τὸ μεν οὖν, ὦ ἄνδρες

Α'θη-

Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι· διὰ τί; ὅτι μοι δοκεῖ πάνθ' ὅσα ἂν εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν τινὰ, ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι. ὁ μὲν γὰρ, ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δὲ ὅσῳ χεῖρον, ἢ προσῆκε, κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. ταῦτα μὲν οὖν παραλείψω· καὶ γὰρ εἰ μετ' ἀληθείας τις, ὦ ἄνδρες Ἀθηναῖοι, σκοποῖτο, ἐνθένδ' ἂν μέγαν αὐτὸν ἴδοι γεγενημένον, οὐχὶ παρ' αὐτοῦ· ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, καὶ βέλτιστόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη, βουλομένοις ὀρθῶς δοκιμάζειν, ταῦτ' εἰπεῖν πειράσομαι. Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι, λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν δικαίως. Τὸ δὲ πάνθ' ὅσα πώποτ' ἔπραξε διεξιόντα, ἐφ' ἅπασι τούτοις ἐλέγχειν, καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεκα οὐγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦτ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι, καὶ τοῦ τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα τὸν Φίλιππον, ἰδεῖν, ὅτι πάντα διεξελήλυθεν, οἷς πρότερον παρακρουόμενος μέγας νῦν ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματα αὐτῷ. Ἐγὼ μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν εἶναι καὶ θαυμαστὸν τὸν Φίλιππον, εἰ τὰ δίκαια πράττον, ἑώρων αὐτὸν ηὐξημένον· νῦν δὲ θεωρῶν, καὶ σκοπῶν, εὑρίσκω τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχὰς, ὅτε Ὀλυνθίους ἀπήλαυόν τινες ἐνθένδε, βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τὸ

θρυλ

θρυλλούμενόν ποτε ἀπόῤῥητον ἐκεῖνο κατασκευάσειν, τούτῳ προσαγόμενον. τὴν δὲ Ὀλυνθίων φιλίαν μετὰ ταῦτα, τῷ Ποτίδαιαν οὖσαν ἡμετέραν ἐξελεῖν, καὶ τοὺς μὲν πρότερον συμμάχους ἡμᾶς ἀδικῆσαι, παραδοῦναι δὲ ἐκείνοις. Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα, τῷ Μαγνησίαν παραδώσειν ἀποσχέσθαι, καὶ τὸν Φωκικὸν πόλεμον ὑπὲρ αὐτῶν πολεμήσειν ἀναδέξασθαι. ὅλως δὲ οὐδείς ἐστιν. ὅν τιν' οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων. τὴν γὰρ ἑκάστων ἀνοίαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν, καὶ προσλαμβάνων, οὕτως ηὐξήθη. ὥσπερ οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων, καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται. Καιροῦ μὲν δὴ, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα, ἢ παρελθών τις ἐμοὶ, μᾶλλον δὲ ἡμῖν δειξάτω, ἢ ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω, ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατημένοι, τὰ λοιπὰ πιστεύουσιν αὐτῷ, ἢ ὡς οἱ παρὰ τὴν αὐτῶν ἀξίαν δεδουλωμένοι Θετταλοὶ, νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι. καὶ μὴν εἴτις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα, τῷ τὰ χωρία, καὶ λιμένας, καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴεται. Ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα συστῇ, καὶ πᾶσι ταυτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου, καὶ συμπονεῖν, καὶ φέρειν τὰς συμφορὰς, καὶ μένειν ἐθέλουσιν οἱ ἄνθρωποι· ὅταν δ' ἐκ πλεονεξίας, καὶ πονηρίας τις, ὥσπερ οὗτος, ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταίσμα, ἅπαντα ἀνεχαίτισε, καὶ διέλυσεν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα, καὶ ἐπιορκοῦντα, καὶ ψευδόμενον, δύναμιν βεβαίαν κτήσασθαι, ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ, καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδραγε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν ἂν τύχῃ, τῷ χρόνῳ δὲ φωρᾶται, καὶ περὶ αὑτὰ καταῤῥεῖ.

ῥεῖ· ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων, τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς, καὶ τὰς ὑποθέσεις, ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει· τοῦτο δὲ οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ. Φημὶ δὴ δεῖν ἡμᾶς ἅμα, τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα, καὶ τάχιστα, οὗτος ἀρέσκει μοι. πρὸς δὲ Θετταλοὺς, πρεσβείαν πέμπειν, ἢ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δὲ, παροξυνεῖ· καὶ γὰρ νῦν εἰσὶν ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν, καὶ περὶ Μαγνησίας λόγους ποιεῖσθαι. σκοπεῖτε μέν τοι τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ἡμῶν πρέσβεις, ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν, ἐξεληλυθότων ὑμῶν ἀξίως τῆς πόλεως, καὶ ὄντων ἐπὶ τοῖς πράγμασιν. Ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενὸν, μάλιστα δὲ ὁ περὶ τῆς ἡμετέρας πόλεως. ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ. πολλὴν δὲ τὴν μετάστασιν, καὶ μεγάλην δεικτέον τὴν μεταβολὴν, εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. κἂν ταῦτα ἐθελήσητε ὡς προσήκει καὶ δεῖ, περαίνειν, οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ ἀσθενῶς, καὶ ἀπίστως ἔχοντα φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ δυνάμεως, κακῶς ἔχοντα ἐξελεγχθήσεται. ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ, ἐν μὲν προσθήκης μέρει ἐστί τις οὐ σμικρὰ, οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους. πάλιν αὖ, πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφανή τι τοῦτο συναμφότερον. νυνὶ δὲ Θετταλοῖς νοσοῦσι, καὶ στασιάζουσι, καὶ τεταραγμένοις, ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε. καὶ ὅπῃ τις ἂν οἶμαι προσθῇ, κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστι μεστή· καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις, καὶ

ταῖς

ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν αὐτὴν, ἢ ὑπῆρχε φύσει, κατεσκεύακεν ἑαυτῷ. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν, καὶ τοὺς ἀρχομένους· ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ, καὶ τοῦτο ἐζήλωκε, καὶ τοροῄρηται, πράττων, καὶ κινδυνεύων, ἂν συμβῇ τι παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων Βασιλεὺς δόξαν, ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· τοῖς δὲ, τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι· κοπτόμενοι δὲ αἰεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω τε καὶ κάτω, λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ' ἐπὶ τοῖς ἔργοις, οὔτ' ἐπὶ τοῖς αὐτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν πορίσωσιν οὕτως ὅπως ἂν δύνωνται, ταῦτ' ἔχοντες διαθέσθαι, κεκλεισμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. Οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄντις σκέψαιτο οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν, ὡς εἰσὶ θαυμαστοὶ, καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου· ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἴου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους· εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάντα αὐτοῦ δοκεῖν εἶναι τὰ ἔργα. πρὸς γὰρ αὖ τοῖς ἄλλοις, καὶ τὴν φιλοτιμίαν πάνδρος, ἀνυπέρβλητον εἶναι· εἰ δέ τις σώφρων, ἢ δίκαιος ἄλλως, τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου, καὶ μέθην, καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεῶσθαι, καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον. λοιποὺς δὴ περὶ αὐτὸν εἶναι λῃστὰς καὶ κόλακας, καὶ τοιούτους ἀνθρώπους, οἵους μεθυσθέντας ὀρχεῖσθαι τοιαῦτα, οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι· δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν δημόσιον, καὶ τοιούτους ἀνθρώπους μίμους γελοίων, καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων, ὧν εἰς τὰς

συ-

σιωπῶντες ποιῆσαι σιγὴν τῷ γελασθῆναι, τῶτας ἀγαπᾷ, ἢ πε-
ρὶ αὐτὸν ἔχει. Καίτοι ταῦτα εἰ μὴ μικρά τις ἡγεῖται, με-
γάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δείγματα τῆς ἐκείνου γνώμης
καὶ καταδαιμονίας ὄντι τοῖς εὖ φρονοῦσιν. ἀλλ' οἶμαι νῦν μὲν
ὑπερκοτεῖ τῶτοις τὸ κατορθοῦν. αἱ γὰρ ὑπεραξίαι δεινὰ συγ-
κρούουσι, καὶ συσχιάσαι τὸ τοιοῦτον ὀφείλει. εἰ δέ τι πταί-
σειε, τότε ἀκεραίως αὐτῷ πάντ' ἐξεταθήσεται. δοκεῖ δ' ἐμοί-
γε, ὦ ἄνδρες Ἀθηναῖοι, δεῖξαι ἡμῖν εἰς μάχην, ἂν οἵτε
Θεοὶ θέλωσι, καὶ ὑμεῖς βούλησθε· ὡσαύτως γὰρ ἡμᾶς σώσειν
ἡμῶν ἕως μὲν ἂν ἐρρωμένος ἦ τις, καὶ διαρκεῖ τῶν
καθ' ἕκαστα σωθρῶν, ἐπὰν δέ τι σφαλῇ, πάντα
κινεῖται, κἂν ῥῆγμα, κἂν τρῶμα, κἂν ἄλλο τι τῶν ὑπάρ-
χόντων σωθρῶν ἦ· ὥτω καὶ τῶν πόλεων, καὶ τῶν τυράννων, ἕως
μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἔστι·
ἐπειδὰν δὲ ὅμορος πόλεμος συμπλακῇ, πάντα ἐποίησε ἐκ-
δῆλα. Εἴ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον
εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει,
σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη δὲ ῥοπὴ,
μᾶλλον δὲ ὅλον, ἡ τύχη. τέθεικε πάντ' ὄξω τὰ τῶν ἀνθρώπων
πράγματα. ἃ μὲν οὖν ἐγὼ γνοίην, εἴ τις αἵρεσίν μοι δοίη, τού-
της ἡμετέρας πόλεως τύχοιμι ἂν ἐλοίμην, ἐθελόντων ἃ προ-
σήκει ποιεῖν ἡμῶν αὐτῶν, καὶ μὴ μικρόν, ἢ τοῦ ἐκείνου. πο-
λὺ δὲ πλείους ἀφορμὰς εἰς τὸ τοῦ τῶν Θεῶν εὐνοϊκῶς ἔ-
χειν ὁρῶ ὑμῖν ἐνοῦσας, ἢ ἐκείνῳ. ἀλλ' οἶμαι καθήμεθα,
οὐδὲν ποιοῦντες. Οὐκ οἶδ' αὐτὸν ἀργοῦντα, οὐδὲ φίλοις ὄν-
τινα ὑπὲρ αὐτοῦ τι ποιεῖν, μήτιγε δὴ τοῖς Θεοῖς. καὶ δὴ ἔχυ-
ρωσόν ὄξω, καὶ στρατοῦται, καὶ πονῶν ἐκεῖνος αὐτός, καὶ
καιρὸν ἐφ' ἅπασι, καὶ μηδένα καιρὸν, μηδ' ὥραν ἀφιεὶς
πω, ἡμῶν μελλόντων, καὶ ψηφιζομένων, καὶ παυσανοιλ-
νων, τοῦ γίγνεσθαι. καὶ δὴ θαυμάζω πῶτο ἐγώ· τυραννίον
οὐ ἂν μὴ θαυμαστὸν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολ-

μοῦσι προσήκει, τοῦ πάντα ποιοῦντος ἃ δεῖ, περιῆμεν. ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πολλὰ ἴδια πλεονεκτῆσαι πολλάκις ὑμῖν ἐξὸν, οὐκ ἠθελήσατε, ἀλλ' ἵνα οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερα αὐτῶν ἀνηλίσκετε εἰσφέροντες, καὶ προεκινδυνεύετε στρατευόμενοι· νυνὶ δὲ ὀκνεῖτε ἐξιέναι, καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων. καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας, καὶ καθ' ἕνα αὐτῶν ἕκαστον ἐν μέρει, τοὺς δὲ ὑμέτερα αὐτῶν ἀπολωλεκότες κάθησθε. ταῦτα θαυμάζω· καὶ ἔτι πρὸς τούτοις, εἰ μὴ δὲ εἷς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δύναται λογίσασθαι, πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ τί ποιούντων ὑμῶν, ἅπας ὁ χρόνος διελήλυθεν οὗτος. ἴστε γὰρ δήπου τοῦθ' ὅτι μελλόντων ὑμῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταῦτα, ἅπερ νυνὶ, ποιούντων, ὁ χρόνος ἅπας διελήλυθεν. Εἶτα οὕτως ἀγνωμόνως ἔχετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν φαῦλα τὰ πράγματα γέγονε τῆς πόλεως, διὰ τῶν αὐτῶν τούτων ἐλπίζετε πράξεων, ἐκ φαύλων αὐτὰ χρηστὰ γενήσεσθαι; ἀλλ' οὔτ' εὔλογον, οὔτ' ἔχον ἐστὶ φύσιν τοῦτό γε. Πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν, ἢ κτήσασθαι πάντα πέφυκε. νυνὶ δὲ ὅ, τι μὲν φυλάξομεν, οὐδέν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον, κτήσασθαι δὲ δεῖ· αὐτῶν οὖν ὑμῶν τοῦτο ἔργον ἤδη. Φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδένα αἰτιᾶσθαι, πρὶν ἂν τῶν πραγμάτων κρατήσητε. τηνικαῦτα δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας, τοὺς μὲν ἀξίους ἐπαίνου, τιμᾶν, τοὺς δὲ ἀδικοῦντας, κολάζειν, τὰς προφάσεις δ' ἀφελεῖν, καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα. Οὐ γάρ ἐστι, πικρῶς ἐξετάσαι, τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα. Τίνος γὰρ ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε, τοῦτον μὲν φεύγειν τὸν πόλεμον

πάν-

πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγοὺς, ἰδίους δ' εὑρίσκειν πολέμους, εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν; ὅτι ἐνταῦθα μὲν ἐστι τὰ ἆθλα, ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος, ἡμέτερα. Ἀμφίπολις κἂν ληφθῇ, πρόχρημα αὐτὴν ὑμεῖς κομιεῖσθε· οἱ δὲ κίνδυνοι, τῶν ἐφεστηκότων ἴδιοι, μισθὸς δ' οὐκ ἔστιν. ἐκεῖ δὲ κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων καὶ τῶν στρατιωτῶν, Λάμψακος, Σίγειον, τὰ πλοῖα ἃ σύλωσιν. ὅπῃ οὖν τὸ λυσιτελοῦν αὐτοῖς, ἕκαστοι χωροῦσιν. ὑμεῖς δὲ ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε. ὅταν δὲ δόντες λόγον τὰς ἀνάγκας ἀκούσητε ταύτας, ἀφίετε. περίεστι τοίνυν ὑμῖν ἀλλήλοις ἐρίζειν καὶ διεστάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις, τοῖς δὲ ταῦτα, τὰ κοινὰ δὲ ἔχειν φαύλως· πρότερον μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, εἰσεφέρετε κατὰ συμμορίας, νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοηθησόμενοι τριακόσιοι, οἱ δὲ ἄλλοι προσνενέμησθε, οἱ μὲν ὡς τούτους, οἱ δὲ ὡς ἐκείνους. δεῖ δὴ ταῦτα ἐπανέντας, καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νυνεγενομένους, κοινὸν καὶ τὸ λέγειν, καὶ τὸ βουλεύεσθαι, καὶ τὸ πράττειν ποιῆσαι· εἰ δὲ τοῖς μὲν ὥσπερ ἐκ τυραννίδος ὑμῶν ἐπιτάττειν ἀποδόσετε, τοῖς δὲ ἀναγκάζεσθαι τριηραρχεῖν, εἰσφέρειν, στρατεύεσθαι, τοῖς δὲ ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλο δὲ μηδοτιοῦν συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων ἡμῖν οὐδὲν ἐν καιρῷ. τὸ γὰρ ἠδικημένον αἰεὶ μέρος ἐλλείψει, εἶθ' ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν περιέσται. λέγω δὴ κεφάλαιον, πάντας εἰσφέρειν, ἀφ' ὧν ἕκαστος ἔχει, τὸ ἴσον, πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρατεύσησθε. πᾶσι τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα ὧν καὶ ἀκούσητε, αἱρεῖσθαι, μὴ ἃ ἂν ὁδεῖνα ἢ ὁδεῖνα εἴπῃ. κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον πρόχρημα ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, πολλῷ βέλτιον τῶν ὅλων πραγμάτων ἡμῖν ἐχόντων.

ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΟΛΥΝΘΙΑΚΟΥ

Τρίτου.

Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι, καί τι κατορθοῦν ἔδοξαν δι' αὐτῆς, καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρὴς, οἵτε ῥήτορες περικαλοῦντες ἐπὶ τιμωρίαν τοῦ Φιλίππου. ὁ δὲ Δημοσθένης δεδοικὼς, μὴ θαρσήσαντες ὡς τὰ πάντα νενικηκότες, καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι, διὰ τοῦτο παρελθὼν ἐπικύπτει τὴν ἀλαζονείαν αὐτῶν, καὶ πρὸς εὐλάβειαν σώφρονα τὴν γνώμην μεθίστησι, λέγων, οὐ περὶ τῆς Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας. οἶδε γὰρ ὅτι καὶ Ἀθηναῖοι, καὶ ἄλλοι που τινὲς τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι ποιοῦντες φροντίδα, περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν. ἐν τούτῳ τῷ λόγῳ καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους τοὺς ἐπιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικὰ, ἵνα δειχθῇ τὸ συμβουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι καὶ στρατεύεσθαι σώμασιν οἰκείοις, καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου τέως ἐκλελυμένου, καὶ τῶν δημαγωγῶν, ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

ΤΟΥ ΑΥΤΟΥ ΟΛΥΝΘΙΑΚΟΣ
Τρίτος.

Οὐχὶ ταυτὰ περίσταταί μοι γινώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν εἰς τοὺς λόγους οὓς ἀκούω. τοὺς μὲν γὰρ λόγους, περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους· τὰ δὲ πράγματα, εἰς τοῦτο προήκοντα, ὥστε ὅπως μὴ πεισώμεθα αὐτοὶ πρότερον κακῶς, σκέψασθαι δέον. Οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες, ἢ τὴν ὑπόθεσιν περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παρισταντες ὑμῖν, ἁμαρτάνειν. Ἐγὼ δ' ὅτι μέν ποτε ἐξῆν τῇ πόλει, καὶ τὰ αὐτῆς ἔχειν ἀσφαλῶς, καὶ Φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα. ἐπ' ἐμοῦ γὰρ, οὐχὶ πάλαι, γέγονε ταῦτα ἀμφότερα. νῦν μέν τοι πέπεισμαι, τοῦθ' ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην, ὅπως τοὺς συμμάχους σώσωμεν. ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον, ἐξέσται σκοπεῖν. πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντιναοῦν ποιεῖσθαι λόγον. Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ ποτε, καὶ νῦν πολλῆς φροντίδος καὶ βουλῆς δεῖται· ἐγὼ δὲ, οὐχ ὅ,τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι, χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖνο ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι, τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ συνιέναι. Ἀξιῶ δὲ ὑμᾶς, ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας, εἰ τἀληθῆ λέγω, καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ βελτίω γένηται. ὁρᾶτε γὰρ ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους, εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα

πράγματα. Ἀναγκαῖον δὲ ὑπολαμβάνω, μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θράκῃ, τρίτον, ἢ τέταρτον ἔτος τουτὶ, Ἡραῖον τεῖχος πολιορκῶν. τότε τοίνυν, μὴν μὲν ἦν Μαιμακτηριών. πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν, ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν, καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν αὐτοὺς ἐμβαίνειν, καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν. καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, ἑκατομβαιὼν, μεταγειτνιὼν, βοηδρομιὼν, τούτου τοῦ μηνὸς μόλις μετὰ τὰ μυστήρια, δέκα ναῦς ἀπεστείλατε ἔχοντα Χαρίδημον κενὰς, καὶ πέντε τάλαντα ἀργυρίου. ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν, καὶ τεθνεὼς (ἦλθε γὰρ ἀμφότερα) οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες, ἀφήκατε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀπόστολον· ἦν δ' οὗτος, ὁ καιρὸς αὐτός. εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα, προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος τότε σωθείς. Τὰ μὲν δὴ τότε πραχθέντα, οὐκ ἂν ἄλλως ἔχοι. νῦν δ' ἑτέρου πολέμου καιρὸς ἥκει. τίς; οὗτος, δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσητε παντὶ σθένει κατὰ τὸ δυνατὸν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες πάντα ἔσεσθε ὑπὲρ Φιλίππου. Ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα, οὔτε Φίλιππος ἐθάρρει τούτους, οὔθ' οὗτοι Φίλιππον. ἐπράξαμεν ἡμεῖς, κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην· ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ καὶ δυσχερὲς, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς διηλλαγμένην πρὸς ἡμᾶς· ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου, καὶ ὃ πάντες ἐθρύλλουν τέως, τοῦτο πέπρακται νῦν ὅπως δήποτε. Τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες Ἀθηναῖοι, πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως; ἐγὼ μὲν οὐχ ὁρῶ· χωρὶς γὰρ τῆς

πε-

περιστάσης ἂν ἡμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐ δὲ τὸν φόβον, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν ὁρᾶ τὸν τῶν μετὰ ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων δὲ χρήμασι Φωκέων, μηδενὸς δ' ἐμποδὼν ὄντος Φιλίππῳ, τὰ παρόντα καταστρεψαμένῳ, πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα. Ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινὰ, ἐξὸν ἀκούειν ἄλλοθι γινόμενα· καὶ βοηθοὺς αὐτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν. ὅτι μὲν γὰρ εἰς τοῦτο περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν ἅπαντες δήπου. Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο λέγε. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, θαυμάσητε, ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς. νομοθέτας καθιστᾶτε, ἐν δὲ τούτοις τοῖς νομοθέταις, μὴ θῆσθε νόμον μηδένα· εἰσὶ γὰρ ὑμῖν ἱκανοὶ, ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς, λύσατε· λέγω δὲ, τοὺς περὶ τῶν θεωρικῶν σαφῶς οὑτωσὶ, καὶ τοὺς περὶ τῶν στρατευομένων ἐνίους. ὧν οἱ μὲν τὰ στρατιωτικὰ τοῖς οἴκοι μένουσι διανέμουσι θεωρικά· οἱ δὲ, τοὺς ἀτακτοῦντας, ἀθώους καθιστᾶσιν. εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους, ἀθυμοτέρους ποιοῦσιν. ἐπειδὰν δὲ ταῦτα λύσητε, καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ, τηνικαῦτα τὸν γράψοντα, ἃ πάντες ἴστε ὅτι συμφέρει, ζητεῖτε. πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ σκοπεῖτε τίς εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν, ὑφ' ὑμῶν ἀπολέσθαι βουλήσεται· οὐ γὰρ εὑρήσετε. ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι μέλλοντος, τοῦ παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ' εἰπόντα καὶ γράψαντα, μηδὲν δὲ ὠφελῆσαι τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι ἢ νῦν, τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι. καὶ λύειν γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ τούτους τοὺς αὐτοὺς ἀξιοῦν, οἵπερ καὶ τεθείκασιν. οὐ

γάρ ἐστι δίκαιον τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τοῖς τότε θεῖσιν ὑπάρχειν· τὴν δ' ἀπέχθειαν δι' ἧς ἅπαντες ἂν ἄμεινον τοράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι. πρὶν δὲ ταῦτα εὐτρεπίσαι, μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδένα ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους τούτους τοῦ βαίνοντα μὴ δοῦναι δίκην· μηδ' οὕτως ἀνόητον, ὥστε εἰς τοῦπτον κακὸν αὑτὸν ἐμβαλεῖν. Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ψήφισμα οὐδενός ἐστιν ἄξιον, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύμως ἡμᾶς. εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν, ἢ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει πράττειν, ἢ περὶ ὧν γράφει δεῖ τοράξασθαι, οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρὰ, μᾶλλον δ' οὐδὲν ἐπράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον· πάλαι γὰρ ἂν ἕνεκά γε ψηφισμάτων ἐδεδώκει δίκην· ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει. Τὸ γὰρ πράττειν, τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι. τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει. καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν εἰσὶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυνάμενοι· καὶ γνῶναι πάντων ὑμεῖς ἐξύτατοι τὰ ῥηθέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε. Τίνα γὰρ χρόνον, ἢ τίνα καιρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν ἡμῶν τὰ χωρία προείληφεν ἄνθρωπος; εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα. οὐχ οὓς εἰ πολεμήσειεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν πολεμοῦνται; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ὑμέτερα; οὐ βάρβαρος; οὐχ ὅ, τι ἂν εἴποι τις; ἀλλὰ πρὸς Θεῶν ἅπαντα ταῦτα ἐάσαντες, καὶ μονονουχὶ συγκατασκευάσαντες αὐτῷ, τότε τοὺς αἰτίους, οἵ τινές εἰσι τούτων ζητήσομεν; οὐ γὰρ αὐτοί γ' αἴτιοι φήσομεν εἶναι, σαφῶς οἶδα τοῦτ' ἐγώ· οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, τῶν φευγόντων

οὐδεὶς

κὐδεὶς ἑαυτῦ κατηγορεῖ, ἀλλὰ κ᾽ τῦ στρατηγεῖ, κ᾽ τῷ πλησίον, κ᾽ πάντων μᾶλλον· ἥττηται. δ᾽ ὅμως δῆ πάντας τὰς φυγόντας δίπτε. μᾶθέειν γὰρ ὀξέως, τῷ κατηγορᾶντι τῷ ἄλλων. εἰ δὲ τῦτ᾽ ἐποίει ἕκαστος, ὁσίων ἄν. κ᾽ νῦν ὃ λέγειτις τὰ βέλτιστα ἁπάντων ἄλλος εἰπάτω, μὴ τᾶτον αἰτιάσθω. ἕτερος λέγειτις βελτίω; παῦτα ποιεῖτε ἀγαθῇ τύχῃ· ἀλλ᾽ ἐχ ἡδέα παῦτα; ὑκέτι τᾶθ᾽ ὁ λέγων ἀδικεῖ, πλὴν εἰ δέον εὔξασθαι, παρελείπει. εὔξασθαι μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾴδιον εἰς παῦτὸ πιὼν θ᾽ ὅσα βέλτιστ᾽ ἂν δόξειε συνθέμενος. ἐλέσθαι δὲ ὅταν περὶ πραγμάτων προτεθῇ σκοπεῖν, ὑκέθ᾽ ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστα αὐτὰ τῷ ἡδέως, αὐ μὴ ἀμφοῖν ὀξέως λαμβάνειν. Εἰ δέτις ὑμῖν ἔχοι κ᾽ τὰ θεσπίσματ᾽ ἐᾶν, κ᾽ πάρεργ᾽ ἑτέρως λέγειν στρατιωτικῶς, ὑχ ὅτως ἂν εἴποι τις ἃ φημὶ ἔγωγε, εἰπάρδην, ὦ ἄνδρες Ἀθηναῖοι. ἀλλὰ θαυμάζω εἴτ᾽ πο. ἀνθρώπων ἢ γόγονεν ἢ γενήσεται, ὃν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῷ δέοντων δυπορῆσαι πρὸς ἃ δεῖ. ἀλλ᾽ οἶμαι μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρεκάστα βάλλησις. διόπερ ῥᾷον ἀπάντων ὄξιν αὐτὸν ἐξαπατῆσαι· ὃ γὰρ βάλεται, τᾶθ᾽ ἕκαστος κ᾽ οἴεται· τὰ δὲ πράγματα πολλαχῆς, ὑχ ὅπη πέφυκεν· ὁρᾶτε δῆν, ὦ ἄνδρες Ἀθηναῖοι, παῦθ᾽ ὅτως, ὅπως κ᾽ τὰ πράγματα ἐνδέχεται, κ᾽ διανοεῖσθε ἐξεῖναι, κ᾽ μισθὸν ἔξειν. ὅταν σωφρόνων, κἀδὲ θρασέων ὄξιν ἀνθρώπων, ἐλλείπουσίν τι δ᾽ ἐνδεᾶν χρημάτων τῷ τὰ πολέμια, δυχερῶς τὰ τοιαῦτα ἐνεργὰ φέρειν. ἐδ᾽ ὅτι μὲν Κορινθίους, κ᾽ Μεγαρέας, ἁρπάσαντα τὰ ὅπλα πορεύεσθαι, Φίλιππον δ᾽ ἐᾷν πόλεις ἐλλιμένδας ἀνδραποδίζεσθαι, δ᾽ ἀσφαλείων ἐφοδίων τοῖς στρατευομένοις. κ᾽ παῦτ᾽ ὑχ ἵν᾽ ἀπέχθωμέθ᾽τισιν ὑμῶν, τὰληθῶς προθύμως λέγειν· κ᾽ γὰρ ἔτως ἄφρων κἀδὲ ἀτυχὴς εἰμὶ ἐγὼ, ὥστε ἀπεχθάνεσθαι βέλεσθαι, μηδὲν ὠφελεῖν νομίζων. ἀλλὰ δικαίᾳ πολίτᾳ χρέωμαι τὰ τῷ πράγματ᾽ σωτηρίᾳ, ἀντὶ τῆς ἐν τῷ λέγειν χά-

ριτος

ειτος αἱρεῖσθαι. καὶ γὰρ τὰς ὑπὸ τῶν προγόνων ἡμῶν λεγομένας ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς, ἃς ἐπαινοῦσι μὲν οἱ πολῖται ἅπαντες, μιμοῦνται δ' ὐδὲ παῦροι, πίστιν τῆς ἔπειτα καὶ τῆς ἔθους τῆς πολιτείας ἔχειν, τὸν Ἀριστείδην ἐκεῖνον, τὸν Νικίαν, τὸν ἀμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. εἰς δὲ οἱ διερωτῶντες ὑμᾶς ὅτου πεφιλύκασι ῥήτορες, τί βούλεσθε; τί χαίρω; τί ὑμῖν χαρίσωμαι; προπέπωται τῆς ἀξιοῦντικα ἡδονῆς καὶ χάριτος, τοῦ τῆς πόλεως πράγματος, καὶ τοιοῦτ' συμβαίνει. καὶ τὰ μὲν τῶν πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς. Καίτοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἄτις οὐκ ἀφάλλεται εἰπεῖν ἔχει, τῶν τ' ὑπὸ τῶν προγόνων ἔργων, καὶ τῶν ἐφ' ὑμῶν. ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος. ὑπὲρ, ἀλλοτρίοις ὑμῖν χωρίοις ἀγωνίσασθαι, ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, ὑδαίμοσιν ἕξεσι γενέσθαι. ἐκεῖνος τοίνυν, οἷς οὐκ ἐχαρίζοντ' οἱ λέγοντες, ὑφ' ἑαυτῶν, ὥσπερ ὑμᾶς ὅτε νυνῖ, πολὺ μὲν καὶ πανταχοῦ τῶν Ἑλλήνων ἦρξαν ἁπάντων, πλείω δ' ἢ μυρία πάλαντα εἰς τὴν ἀκρόπολιν σωτήριον. ὑπῆρχε δὲ αὐτῷ ἔχων τὴν χώραν αὐτοῖς Βασιλεύς, ὥσπερ ὄντι προσῆκον βάρβαρον Ἕλλησι, πολλὰ δὲ καὶ καλὰ, καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν ἔργα, αὐτοὶ στρατοῦμενοι. μόνοι δὲ ἀνθρώπων, χρείττω τὴν ὑπὸ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. ὑπὸ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι. Ἐν δὲ τοῖς καὶ τὴν πόλιν αὐτὴν, διέσαθαι ὁποῖοι εἴτε τοῖς κοινοῖς, καὶ τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα, καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν, ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ὑπηγγυωμένων ὑπερβολὴν λελεῖφθαι· ἰδίᾳ δ' ἕτω σώφρονες ἦσαν, καὶ σφόδρα ἐν τῇ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου, καὶ τὴν Μιλτιάδου, καὶ τῶν τότε λειμπρῶν οἰκίαν, εἴτις ἄρα οἶδεν ὑμῶν, ὁποία ποτ' ἐστὶν, ὁρᾷ τῆς τῶν γειτόνων κρείττονος καὶ σεμνοτέρου ἔσαν. καὶ γὰρ οὐς ἐφυσίων

ἐπαρά-

ἐπραττετο αὐτοῖς τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πίστεως, τὰ δὲ πρὸς τοὺς θεοὺς δεισιδαίμονας, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλως εἰκότως ἐκπέπτωκεν ἐς δυσμορίαν. Τότε μὲν δὴ, τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις χαμαιζήλοις οἷς εἶπον προστάταις. νυνὶ δὲ πῶς ὑμῖν ἔστω τῶν χρημάτων τῶν νυνὶ τὰ πράγματα ἔχοντα; ἆρά γε ὁμοίως καὶ ἁπλουστίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ, πολλὰ δ' ἂν ἔχω εἰπεῖν· ἀλλ' ὅσοις ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ Λακεδαιμονίων μὲν δεινολωλότων, Θηβαίων δὲ ἀχόλων ὄντων, τῶν δ' ἄλλων ἐδυνὸς ὄντος ἀξιόχρεω τῷ πρωτείῳ ὑμῖν ἀντιπάξασθαι· ὑμῖν δὲ καὶ τὰ ὑμέτερ' αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας, πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀπηλώκαμεν, εἰς ἅδου δέον· ὧς θ' ἅμα τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρωνίης ὕστις, δεινολωλέκατεν ἔστοι, ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς πλικτὸν ἠσκήκαμεν. ἢ φράσατέ τις ἐμοὶ παριλθὼν, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῶν αὐτῷ Φίλιππος; Ἀλλ' ἀτάρ, εἰ ταῦτα φαύλως, τάγ' ἐν αὐτῇ τῇ πόλει, νυνὶ ἄμεινον ἔχει. καὶ τί ὦ τις εἰπεῖν ἔχοι; πῶς ἐπαλλάξεις ἀς κονιῶμεν; καὶ πῶς ὀδὰς ἃς ὑποσκαλίζομεν; καὶ χρημάτων καὶ λιμένων; δεινοβλέψατε δή, πρὸς τοὺς τε τοιαῦτα πολιτευομένους, οὓς οἱ μὲν, ἐκ πτωχῶν, πλουσίους γεγένηνται, οἱ δ' ἐξ ἀδόξων, εὐτιμοι· οὗτοι δὲ τὰς ἰδίας οἰκίας, τῶν δημοσίων οἰκοδομημάτων πεμπτέρας εἰσὶ κατεσκευασμένοι. ὅσῳ δὲ πρὸ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τε πέπαται αὔξηται. Τί δὴ τὸ πάντων αἴτιον τούτων, καὶ τί δήποτε ἅπαντ' εἶχε καλῶς τότε, καὶ νυνὶ διόρθωται; ὅτι τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι τολμᾶν αὐτὸς ὁ δῆμος, δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν. καὶ ἀγαπητὸν ἦν τῷ δήμῳ τῶν ἄλλων ἑκάστῳ, καὶ τιμῆς, καὶ ἀρχῆς, καὶ ἀγαθοῦ τινος μεταλαβεῖν.

νυνὶ

τῶν δὲ τοὐναντίον, κύριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττεται. ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι, καὶ περιῃρημένοι χρήματα, συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν, ἢ βοηδρόμια πέμψωσιν οὗτοι. καὶ τὸ πάντων ἀνανδρότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετο, οἱ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς, ὑπάγουσιν ἐπὶ ταῦτα, καὶ τιθασσεύουσι χειροήθεις αὐτοῖς ποιοῦντες. Ἔστι δ' οὐδέ ποτ' οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαῦλα πράττοντας. ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ φρόνημα ἔχειν. Ταῦτα μὰ τὴν Δήμητρα οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπόντι ἐμοὶ γένοιτο παρ' ὑμῶν βλάβη, τῶν πεποιηκότων αὐτὰ γενέσθαι. οὐδὲ γὰρ παρρησία περὶ πάντων αἰεὶ παρ' ὑμῖν ἐστιν, ἀλλ' ἔγωγε, ὅ,τι καὶ νῦν γέγονε θαυμάζω. ἐὰν οὖν, ἀλλὰ νῦν γ' ἔτι ἀπαλλαγέντες τούτων τῶν ἐθῶν, ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν, καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύταις ἀφορμαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἂν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσεσθε ἀγαθὸν, καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε· καὶ γὰρ οὔτε ἰσχὺν ἐκεῖνα ἐντίθησιν, οὔτ' ἀποθνήσκειν ἐᾷ. καὶ ταῦτα ἃ νῦν ἔσθε νῦν ὑμεῖς, οὔτε τοιαῦτά ἐστιν, ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ' ἀπογνόντας, ἄλλό τι πράττειν ἐᾷ, ἀλλ' ἔστι ταῦτα τὴν ἑκάστου ῥᾳθυμίαν ὑμῶν ἐπαυξάνοντα. οὐκοῦν σὺ μισθοφορὰν λέγεις, φήσεις τις; καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις, εἰς τοῦθ' ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι. ἔξεστιν ἄγειν ἡσυχίαν; οἴκοι μένων εἶ βελτίων, τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος; συμβαίνει τι τοιοῦτον, οἷον καὶ τὰ νῦν;

στρα-

στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων ὥσπερ ἔστι δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τις ἔξω τῆς ἡλικίας ὑμῶν; ὅσα οὗτος ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τάξει λαμβανέτω, πάντ' ἐφορῶν καὶ διοικῶν, ἃ χρὴ πράττεσθαι. Ὅλως δὲ, οὔτ' ἀφελὼν, οὔτε προσθεὶς πλὴν μικρῶν, τὴν ἀταξίαν ἀνελὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν τὴν αὐτὴν, τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' ὅ,τι καθ' ἡλικίαν ἕκαστος ἔχει, καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας. οὐκ ἔστιν ὅπου τοῖς μηδὲν ἐγὼ ποιοῦσι τὰ τῶν ποιησόντων εἶπον ὡς δεῖ νέμειν. οὐδ' αὐτοὺς μὲν ἀργεῖν, καὶ σχολάζειν, καὶ ἀπορεῖν, ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι, ταῦτα πυνθάνεσθαι. ταῦτα γὰρ νυνὶ γίνεται. καὶ οὐχὶ μέμψομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὑπὲρ ὑμῶν αὐτῶν, ἀξιῶ πράττειν ταῦτα, ἐφ' οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ἡμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον. σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν. ὑμεῖς δὲ ἕλοισθε ὅ,τι καὶ τῇ πόλει καὶ ἅπασιν ὑμῖν συνοίσειν μέλλει.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ

Φιλίππου Πρώτου Λόγου.

Κακῶς ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι, συνεληλύθασιν εἰς Ἐκκλησίαν ἀθυμοῦντες. ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν, λέγων οὐδὲν εἶναι θαυμαστὸν, εἰ ῥᾳθυμοῦντες κεκράτηνται. καὶ εἰσηγεῖται, πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν. κελεύω δὴ δύω δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω

πο-

πολιτικὴν, ἥτις οἴκοι μὲν ὄσα πρὸς τὴν ἐπιχείρων χρείας ἕτοιμος ὑπάρξει, ἑτέρων δὲ ἐλαττονε, ξενίων ὄντων τῶν στρατευομένων, τοσαυτηγμένων δὲ καὶ κελεύει τὴν δύναμιν μὴ Ἀθηναίοις μόνον, μηδὲ ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας, ἀλλὰ καὶ ἐκ τῆς Μακεδονίας ἀναστρέφεσθαι πολεμοῦσαν ἀδιαλείπτως, ἵνα μὴ τὰς ἐπιστίας πυνθάνεσθαι ὀπτηρήσας ὁ Φίλιππος, ἢ καὶ τὸν χειμῶνα, λυσιτελῆ Ἀθηναίοις εἰς Μακεδονίαν πλεῖν ἢ δυνατὸν, ἐπιχειρῇ τοῖς πράγμασι, καὶ ἐκ τῆς ἀπουσίας τὴν τῶν Ἀθηναίων ἀπαντῶν κρατῇ. ἀλλ' ἐγγὺς ἡ παρὸν αὐτὸν ἀντιτάξομένη δύναμις ὑπάρχῃ.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ

Λόγος, Α'.

Εἰ μὲν ἐκ καινῆς τινος παράγματος παρεστήκει, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπιχειρῶν ἂν ἔως οἱ πλείους τῶν εἰωθότων γνώμην ἀπεφαίνοντο, εἰ μή τι ἄρεσκέ μοι τῶν ὑπὸ τῶν ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μή, τότ' ἂν αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν. ἐπειδὴ δὲ περὶ ὧν πολλάκις εἰρήκασιν ἅπαντες πρότερον, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ παρὼν ἀναστὰς εἰκότως ἂν συγγνώμης τυγχάνειν· εἰ γὰρ ἐκ τοῦ παρελθόντος χρόνου τὰ δέοντα αὐτοὶ συνεβούλευσαν, οὐδὲν ἂν ὑμᾶς νυνὶ ἔδει βουλεύεσθαι. Πρῶτον μὲν οὖν οὐκ ἀθυμητέον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ· ὃ γὰρ βέλτιον αὐτῷ ἐκ τοῦ παρελθόντος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιον ὑπάρχει. τί οὖν ἐστὶ τοῦτο; ὅτι οὐδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν, πάντως τὰ πράγματα ἔχει· ἐπεὶτοιγε εἰ πάνθ' ἃ προσῆκε, κρατοῦντων ἂν ἦν ἅπερ εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι· ἐπεὶ

ἔπειτα ἐνθυμητέον, καὶ παρ' ἄλλων ἀκούσαι, καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκων πότ' ἐχόντων δυνάμιν Λακεδαιμονίων, ἐξ οὗ χρόνος ἐστὶ πολύς, ὡς καλῶς καὶ σωφρονοῦντας οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων τὸν μετὰ ἐκείνους πόλεμον. Τίνος δ' ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεάσησθε, ὅτι οὐδὲν ἔστι φυλαττομένοις ὑμῖν δεινὸν, ἢν' ἂν ὀλιγωρῆτε, τοιοῦτον, οἷον ὦν ὑμεῖς βούλησθε, παραδείγμασι χρώμενοι, τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων, ἧς ἐκράτειτε ἐκ τοῦ προσέχειν τοῖς παράγμασι τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει πάσῃ, δι' ἣν παραπόμεθα ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐχρῆν. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό, τε πλῆθος τῆς νῦν ὑπαρχούσης αὐτῷ δυνάμεως, καὶ τὸ τὰ χωρία πάντα ἀπολωλεκέναι τῇ πόλει, ὀρθῶς μοι οἴεται. λογισάσθω μοι τοίνυν τοῦτο, ὅτι εἴχομεν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν, καὶ Ποτίδαιαν, καὶ Μεθώνην, καὶ πάντα τὸν τόπον τοῦτον τὸν οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνους νῦν ὄντων ἐθνῶν αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε, καὶ μᾶλλον ὑμῖν ἐβούλετ' ἔχειν οἰκείως, ἢ ἐκείνῳ. εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἔστιν Ἀθηναίοις ἔχουσι τοιαῦτα ὀχυρώματα τῆς αὑτοῦ χώρας, ἕρημον ὄντα συμμάχων; οὐδὲν ἄν, ὧν νυνὶ πεποίηκεν, ἔπραξεν, οὐδὲ τοσαύτην ἐκτήσατο δύναμιν. ἀλλ' οἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μὲν ἔστιν ἅπαντα τὰ χωρία, ἄθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ, φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων. καὶ γάρ τοι, ταύτῃ χρησάμενος τῇ γνώμῃ, πάντα κατέσκαπται καὶ ἔχει, τὰ μὲν ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ, τὰ δὲ σύμμαχα καὶ φίλα ποιησάμενος. καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν πᾶσι ἐθέλουσιν ἅπαν-

τες,

τες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους, καὶ πράττειν ἐθέλοντας ἃ χρή. Ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν γέ τι, ἐπειδή περ οὐ πρότερον, καὶ ἕκαστος ὑμῶν οὗ δεῖ καὶ δύναιτ' ἂν παραχεῖν αὐτὸν χρήσιμον τῇ πόλει, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν, ἕτοιμος πράττειν ὑπάρξῃ· ὁ μὲν χρήματα ἔχων, εἰσφέρειν· ὁ δ' ἐν ἡλικίᾳ, στρατεύεσθαι· συνελόντι δ' ἁπλῶς εἰπεῖν, ἢν ὑμῶν αὐτῶν ἐθελήσητε γενέσθαι, καὶ παύσησθε, αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ πράξειν. καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε, ἂν Θεὸς θέλῃ, καὶ τὰ κατερραθυμημένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε. Μὴ γὰρ ὡς Θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πράγματα ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον, καὶ δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δοκούντων οἰκείως ἔχειν αὐτῷ. καὶ ἅπανθ' ὅσα περ καὶ ἐν ἄλλοις τισὶν ἀνθρώποις ἐνῖ, ταῦτα κἂν τοῖς μετ' ἐκείνου χρὴ νομίζειν ἐνεῖναι. κατέπτηχε μέν τοι ταῦτα πάντα νῦν, οὐκ ἔχοντα ἀποστροφὴν, διὰ τὴν ὑμετέραν βραδύτητα καὶ ῥᾳθυμίαν, ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη. ὁρᾶτε γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα, οἷ προελήλυθεν ἀσελγείας ἄνθρωπος, ὃς οὐδ' ἄρρεσιν ὑμῖν δίδωσι τοῦ πράττειν, ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ, καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει, καὶ οὐχ οἷός τέ ἐστιν ἔχων ἃ κατέστραπται, μένειν ἐπὶ τούτων, ἀλλ' αἰεί τι πρεσπεριβάλλεται, καὶ κύκλῳ πανταχῇ μέλλοντας ὑμᾶς καὶ καθημένους περιστοιχίζεται. Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδάν τι γένηται; ἐπειδὰν νὴ Δία ἀνάγκη τις ᾖ; νῦν δέ τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι; Ἐγὼ μὲν γὰρ οἶμαι τοῖς ἐλευθέροις, μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι. ἢ βούλεσθε, εἰπέ μοι, περιϊόντες αὐτῶν πυνθάνεσθαι κατὰ τὴν ἀγορὰν, λέγεταί τι καινόν; γένοιτο γὰρ ἄν τι καινότερον, ἢ Μακεδὼν ἀνὴρ, Ἀθηναίους

κα-

καταπολεμῶν, καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; τέθνηκε Φίλιππος; οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ. τί δ' ὑμῖν διαφέρει; καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε, ἄν περ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν· οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται, ὅσον παρὰ τὴν ὑμετέραν ἀμέλειαν. καί τοι καὶ τοῦτο εἴ τι πάθοι, καὶ τὰ τῆς τύχης ἡμῖν ὑπάρξοι, ἥπερ αἰεὶ βέλτιον, ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα, καὶ τοῦτο ἐξεργάσαιτο, ἴσθ' ὅτι πλησίον μὲν ἐντες ἅπασιν ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπιστάντες, ὅπως ἂν βούλησθε, διοικήσαισθε. ὡς δὲ νῦν ἔχετε, οὐδὲ διδόντων ὑμῖν τῶν καιρῶν, Ἀμφίπολιν δέξασθαι δύναισθ' ἄν, ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις. Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας, ὑπάρχειν ἅπαντας ἑτοίμους, ὡς ἐγνωκότων ὑμῶν, καὶ πεπεισμένων, παύομαι λέγων. τὸν δὲ τρόπον τῆς παρασκευῆς, ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς ἡγοῦμαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕς τινας χρημάτων, καὶ τἄλλα ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα δοκῇ παρασκευασθῆναι, καὶ δὴ πειράσομαι λέγειν· δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον, ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, καὶ μὴ πρότερον προλαμβάνετε· μήδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινι καινὴν παρασκευὴν λέγειν, ἀναβάλλεσθαί με τὰ πράγματα ἡγείσθω. οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες, μάλιστα εἰς δέον λέγουσιν. οὐ γὰρ ἂν τάγε ἤδη γεγενημένα τῇ νυνὶ βοηθείᾳ κωλύσαι δυνηθείημεν, ἀλλ' ὃς ἂν δείξῃ, τίς πορισθεῖσα παρασκευὴ, καὶ πόση, καὶ πόθεν διαμεῖναι δυνήσεται, ἕως ἂν ἢ διαλυσώμεθα πεισθέντες τὸν πόλεμον, ἢ παραγενώμεθα τῶν ἐχθρῶν. οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ πάσχοιμεν ἂν κακῶς. οἶμαι τοίνυν ἐγὼ ταῦτα λέγειν ἔχειν, κωλύων εἴ τις ἄλλος ἐπαγγέλλεταί τι. ἡ μὲν οὖν ὑπόσχεσις, οὕτω μεγάλη· τὸ δὲ πρᾶγμα, ἤδη τὸν ἔλεγχον δώσει. κριταὶ δ' ὑμεῖς ἔσεσθε. Πρῶτον μὲν

τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαί φημι δεῖν, εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν, ὡς ἐάν τι δέῃ, πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσι. πρὸς δὲ τούτοις, τοῖς ἡμίσεσι τῶν ἱππέων, ἱππαγωγοὺς τριήρεις, καὶ πλοῖα ἱκανὰ εὐτρεπίσαι κελεύω. ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν ἐπὶ τὰς ἐξαίφνεις ταύτας ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ στρατείας, εἰς Πύλας, καὶ Χερρόνησον, καὶ Ὄλυνθον, καὶ ὅποι βούλεται. δεῖ γὰρ ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ παραστῆναι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν, ὥσπερ εἰς Εὔβοιαν, καὶ πρότερόν ποτέφασιν εἰς Ἁλίαρτον, καὶ τὰ τελευταῖα πρώην εἰς Πύλας, ἴσως ἂν ὁρμήσαιτε· οὔτι παντελῶς, οὐδ' εἰ μὴ ποιήσαιτ' ἂν τοῦτο, ὡς ἔγωγέ φημι δεῖν, εὐκατα φρόνητόν ἐστιν· ἵν' ἢ διὰ τὸν φόβον εἰδὼς εὐτρεπεῖς ὑμᾶς (εἴσεται γὰρ ἀκριβῶς, εἰσὶ γάρ εἰσιν οἱ πάντ' ἐξαγγέλλοντες ἐκείνῳ παρ' ἡμῶν αὐτῶν πλείους τοῦ δέοντος) ἡσυχίαν ἔχῃ, ἢ παριδὼν ταῦτα, ἀφύλακτος ληφθῇ, μηδενὸς ὄντος ἐμποδὼν πλεῖν ἐπὶ τὴν ἐκείνου χώραν ὑμῖν, ἂν ἐνδῷ καιρός. Ταῦτα μέν ἐστιν ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν, καὶ παρασκευάσασθαι προσήκειν οἶμαι· πρὸς δὲ τούτοις, δυνάμιν τίνα, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ, προχειρίσασθαι δεῖν ὑμᾶς, ἢ συνεχῶς πολεμήσει, καὶ κακῶς ἐκεῖνον ποιήσει. μή μοι μυρίους μηδὲ δισμυρίους ξένους, μηδὲ τὰς ἐπιστολιμαίους ταύτας δυνάμεις, ἀλλ' ἡ τῆς πόλεως ἔστω. κἂν ὑμεῖς ἕνα, κἂν πλείους, κἂν τὸν δεῖνα, κἂν ὁντινοῦν χειροτονήσητε στρατηγὸν, τούτῳ πείσεται καὶ ἀκολουθήσει. καὶ τροφὴν ταύτῃ πορίσαι κελεύω· ἔσται δ' αὕτη τίς ἡ δύναμις; καὶ πόση; καὶ πόθεν τὴν τροφὴν ἕξει; καὶ πῶς ταῦτ' ἐθελήσετε ποιεῖν; ἐγὼ φράσω, καθ' ἕκαστον τούτων διεξιὼν χωρίς. ξένους μὲν λέγω, καὶ ὅπως μὴ ποιήσητε τοῦθ' ὃ πολλάκις ὑμᾶς ἔβλαψεν, ἅπαντ' ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος, καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι, ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ

ποιεῖ-

ποιεῖτε. ἀλλὰ τὰ μικρὰ ποιήσαντες καὶ πορίσαντες, τούτοις προστίθετε, ἂν ἐλάττω φαίνηται. λέγω δὴ τοὺς πάντας στρατιώτας δισχιλίους. τούτων δὲ Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους, ἐξ ἧς ἄν τινος ὑμῖν ἡλικίας καλῶς ἔχειν δοκῇ, χρόνον τακτὸν στρατευομένους, μὴ μακρὸν τοῦτον, ἀλλ' ὅσον ἂν δοκῇ καλῶς ἔχειν, ἐκ διαδοχῆς ἀλλήλοις· τοὺς δ' ἄλλους ξένους εἶναι κελεύω. καὶ μετὰ τούτων, ἱππέας διακοσίους· καὶ τούτων, πεντήκοντα Ἀθηναίους τοὐλάχιστον, ὥσπερ τοὺς πεζοὺς τὸν αὐτὸν τρόπον στρατευομένους· καὶ ἱππαγωγοὺς τούτοις· εἶεν. τί πρὸς τούτοις ἔτι; ταχείας τριήρεις δέκα. δεῖ γὰρ ἔχοντος ἐκείνου ναυτικὸν, καὶ ταχειῶν τριηρῶν ἡμῖν, ὅπως ἀσφαλῶς ἡ δύναμις πλέῃ. πόθεν δὴ τούτοις ἡ τροφὴ γενήσεται; ἐγὼ καὶ τοῦτο φράσω καὶ δείξω, ἐπειδὰν διότι τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύναμιν, καὶ πολίτας τοὺς στρατευομένους εἶναι κελεύω, διδάξω. Τοσαύτην μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ ταῦτα, ὅτι οὐκ ἐνὶ νῦν ἡμῖν πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παρατάξομένην, ἀλλὰ λῃστεύειν ἀνάγκη, καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρῆσθαι τὴν πρώτην. οὐ τοίνυν, οὔθ' ὑπέρογκον αὐτὴν, οὐ γάρ ἐστι μισθὸς, οὐδὲ τροφή· οὐδὲ παντελῶς ταπεινὴν εἶναι δεῖ, πολίτας δὲ παρεῖναι, καὶ συμπλεῖν διὰ ταῦτα κελεύω, ὅτι καὶ πρότερόν ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πολύστρατος ἡγεῖτο, καὶ Ἰφικράτης, καὶ Χαβρίας, καὶ ἄλλοι τινὲς, καὶ ὑμᾶς αὐτοὺς συστρατεύεσθαι. καὶ οἶδα ἀκούων ὅτι Λακεδαιμονίους παρατάττομενοι μεθ' ὑμῶν, ἐνίκων οὗτοι οἱ ξένοι, καὶ ὑμεῖς μετ' ἐκείνων. ἐξ οὗ δ' αὐτὰ καθ' αὑτὰ τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ, καὶ τοὺς συμμάχους, οἱ δ' ἐχθροὶ μείζους τοῦ δέοντος γεγόνασι. καὶ παρακύψαντα ἐπὶ τὸν τῆς πόλεως πόλεμον, πρὸς Ἀρτάβαζον καὶ πανταχοῦ μᾶλλον οἴχεται πλέοντα. ὁ δὲ στρατηγὸς ἀκολουθεῖ, εἰκότως. Οὐ γάρ ἐστιν ἄρχειν, μὴ διδόντα μισθόν. τί οὖν κελεύω; τὰς προφάσεις ἀφελεῖν, καὶ τοῦ στρατηγοῦ, καὶ

τῶν στρατιωτῶν, μισθὸν πορίσαντας, καὶ στρατιώτας οἰκείους, ὥσπερ ἐπόπτας τῶν στρατηγουμένων, τοξοκαταστήσαντας. ἐπεὶ νῦν γε, γέλως ἔσθ' ὡς χρώμεθα τοῖς πράγμασιν. εἰ γὰρ ἔροιτό τις ὑμᾶς, εἰρήνην ἄγετε, ὦ ἄνδρες Ἀθηναῖοι; μὰ Δί' οὐχ ἡμεῖς γε εἴποιτ' ἄν, ἀλλὰ Φιλίππῳ πολεμοῦμεν. οὐκ ἐχειροτονεῖτε δὲ ἐξ ὑμῶν αὐτῶν δέκα ταξιάρχους, καὶ στρατηγοὺς, καὶ φυλάρχους, καὶ ἱππάρχους δύω; τί οὖν οὗτοι ποιοῦσι, πλὴν ἑνὸς ἀνδρὸς, ὃν ἂν ἐκπέμψητε ἐπὶ τὸν πόλεμον; οἱ λοιποὶ τὰς πομπὰς πέμπουσιν ὑμῖν μετὰ τῶν ἱεροποιῶν. ὥσπερ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους, εἰς τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους, καὶ τοὺς φυλάρχους, οὐκ ἐπὶ τὸν πόλεμον. οὐ γὰρ ἐχρῆν, ὦ ἄνδρες Ἀθηναῖοι, ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν, ἄρχοντας οἰκείους εἶναι, ἵν' ᾖ ὡς ἀληθῶς τῆς πόλεως ἡ δύναμις. ἀλλ' εἰς μὲν Λῆμνον τὸν παρ' ὑμῶν ἵππαρχον δεῖ πλεῖν, τῶν δ' ὑπὲρ τῆς πόλεως κτημάτων ἀγωνιζομένων, Μενέλαον ἱππαρχεῖν; καὶ οὐ τὸν ἄνδρα μεμφόμενος ταῦτα λέγω, ἀλλ' ὑφ' ὑμῶν ἔδει κεχειροτονημένον εἶναι τοῦτον, ὅς τις ἂν ᾖ. ἴσως δὲ λέγεσθαι, ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε. τὸ δὲ τῶν χρημάτων, πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτε ἀκοῦσαι· τοῦτο δὴ καὶ περαιῶ. χρήματα τοίνυν, ἔστι μὲν ἡ τροφὴ, σιτηρέσιον τοῖς στρατευομένοις μόνον τῇ δυνάμει ταύτῃ, τάλαντα ἐννενήκοντα, καὶ μικρόν τι πρός· δέκα μὲν ναυσὶ ταχείαις τετταράκοντα τάλαντα· εἴκοσιν εἰς τὴν ναῦν μναῖ τοῦ μηνὸς ἑκάστου· στρατιώταις δὲ δισχιλίοις τοσαῦτα ἕτερα, ἵνα δέκα ἕκαστος τοῦ μηνὸς ὁ στρατιώτης δραχμὰς σιτηρέσιον λαμβάνῃ. τοῖς δ' ἱππεῦσι διακοσίοις οὖσιν, ἐὰν τριάκοντα δραχμὰς ἕκαστος λαμβάνῃ τοῦ μηνὸς, δώδεκα τάλαντα. εἰδέ τις οἴεται μικρὰν ἀφορμὴν, σιτηρέσιον τοῖς στρατευομένοις ὑπάρχειν, οὐκ ὀρθῶς ἔγνωκεν. ἐγὼ γὰρ οἶδα σαφῶς, ὅτι εἰ τοῦτο γένηται, προσπορίει τὰ λοιπὰ αὐτὸ τὸ στράτευμα ἀπὸ τοῦ πολέμου, οὐδεία τῶν Ἑλλή-

καὶ πορισταὶ γιγνόμενοι, τῶν δὲ πράξεων παρὰ τοῦ στρατηγοῦ τὸν λόγον ζητοῦντες. παύσεσθ' ἀεὶ περὶ τῶν αὐτῶν βουλευόμενοι, καὶ πλέον οὐδὲν ποιοῦντες. καὶ ἔτι πρὸς τούτοις, πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν μέγιστον τῶν ἐκείνου πόρων ἀφαιρήσεσθε. ἔστι δ' οὗτος τίς; ἀπὸ τῶν ὑμετέρων ὑμῖν πολεμεῖ συμμάχων, ἄγων καὶ φέρων τοὺς πλέοντας τὴν θάλατταν. ἔπειτα τὶ πρὸς τούτῳ; τοῦ πάσχειν αὐτοὶ κακῶς ἔξω γενήσεσθε· οὐχ εἴσσερ τὸν πωρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν, αἰχμαλώτας πολίτας ὑμετέρους ᾤχετ' ἄγων, καὶ πρὸς τῷ Γεραστῷ τὰ πλοῖα συλλαβὼν, ἀμύθητα χρήματα ἐξέλεξε. τὰ τελευταῖα δ' εἰς Μαραθῶνα ἀπέβη, καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ' ἔχων τριήρη. ὑμεῖς δὲ οὔτε ταῦτα ἠδύνασθε κωλύειν, οὔτ' εἰς τῆς χρόνους, οὓς ἂν προέλοισθε, βοηθεῖν. Καί τοι τί δήποτε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε, τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν, καὶ τὴν τῶν Διονυσίων, ἀεὶ τοῦ καθήκοντος χρόνου γίνεσθαι, ἄν τε δεινοὶ λάχωσιν, ἄν τε ἰδιῶται ὡς τούτων ἑκατέρων ἐπιμελησόμενοι, εἰς ἃ τοσαῦτα ἀναλίσκετε χρήματα, ὅσα οὐδ' εἰς ἕνα τῶν ἀποστόλων, καὶ τοσοῦτον ὄχλον, καὶ τοσαύτην παρασκευὴν, ὅσην οὐκ οἶδ' εἴ τις τῶν ἁπάντων ἔχει, τοὺς δὲ ἀποστόλους πάντας ὑμῖν ὑστερίζειν τῶν καιρῶν, τὸν εἰς Μιθώνην, τὸν εἰς Παγασὰς, τὸν εἰς Ποτίδαιαν; ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέτακται, καὶ προεῖδεν ἕκαστος ὑμῶν ἐκ πολλοῦ, τίς χορηγὸς, ἢ γυμνασίαρχος τῆς φυλῆς, πότε, καὶ παρὰ τοῦ, καὶ τί λαβόντα, τί δεῖ ποιεῖν, οὐδὲν ἀνεξέταστον, οὐδ' ἀόριστον ἐν τούτοις ἠμέληται. ἐν δὲ τοῖς περὶ τοῦ πολέμου καὶ τῇ τούτου παρασκευῇ, ἄταστα, ἀόριστα, ἀδιόρθωτα ἅπαντα. τοιγαροῦν, ἅμα ἀκηκόαμέν τι, καὶ τριηράρχους καθίσταμεν, καὶ τούτοις ἀντιδόσεις ποιούμεθα, καὶ περὶ χρημάτων πόρου σκοποῦμεν. καὶ μετὰ ταῦτα, ἐμβαίνειν τοὺς μετοίκους ἔδοξε, καὶ τοὺς χωρὶς οἰκοῦντας, εἶτ' αὐτοὺς πάλιν ἀντεμβιβάζειν. εἶτ' ἐν ὅσῳ ταῦτα μέλλετε, προαπόλωλεν ἐφ' ἃ ἂν

ἐκ-

ἐκπλέωμεν. τὸν γὰρ τοῦ πράττειν χρόνον, εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν. οἱ δὲ τῶν πραγμάτων καιροὶ, οὐκ ἀναμένουσι τὴν ὑμετέραν βραδύτητα, καὶ ῥαθυμίαν· ἃς δ' εἰς τὸν μεταξὺ χρόνον δυνάμεις οἰόμεθα ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τε οὖσαι ποιεῖν, ἐπ' αὐτῶν τῶν καιρῶν ἐξελέγχονται. ὁ δ' εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν, ὥστ' ἐπιστέλλειν Εὐβοεῦσιν ἤδη τοιαύτας ἐπιστολάς. Ἐπιστολή. Τούτων οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀνεγνωσμένων, ἀληθῆ μὲν ἐστι τὰ πολλὰ, ὡς οὐκ ἔδει, οὐ μὴν ἀλλ' ἴσως οὐχ ἡδέα ἀκούειν· ἀλλ' εἰ μὲν ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγματα ὑπερβήσεται, δεῖ πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων χάρις ἂν ᾖ μὴ προσήκουσα, ἔργῳ ζημία γίγνεται. αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, φενακίζειν ἑαυτοὺς, καὶ ἅπαντ' ἀναβαλλομένους ὅσα ἂν δυσχερῆ, πάντων ὑστερίζειν τῶν ἔργων. καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους, οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων· καὶ τὸν αὐτὸν τρόπον, ὥσπερ τῶν στρατευμάτων ἀξιώσειεν ἄν τις τὸν στρατηγὸν ἡγεῖσθαι οὕτω καὶ τῶν πραγμάτων τοὺς εὖ βουλευομένους ἡγεῖσθαι χρὴ, ἵν' ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, καὶ μὴ τὰ συμβαίνοντα ἀναγκάζωνται διώκειν. ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πλείστην δύναμιν ἁπάντων ἔχοντες, τριήρεις, ὁπλίτας, ἱππέας, χρημάτων πρόσοδον, τούτων μὲν μέχρι τῆς τήμερον ἡμέρας οὐδενὶ πώποτε εἰς δέον κέχρησθε, οὐδενὸς δὲ ἀπολείπεσθε. ὥσπερ δὲ οἱ βάρβαροι πυκτεύουσιν, οὕτω πολεμεῖτε Φιλίππῳ. καὶ γὰρ ἐκείνων ὁ πληγεὶς, ἀεὶ τῆς πληγῆς ἔχεται. κἂν ἑτέρωσε πατάξῃ τις, ἐκεῖσέ εἰσιν αἱ χεῖρες. προβάλλεσθαι δὲ, ἢ βλέπειν ἐναντίον, οὔτε οἶδεν, οὔτ' ἐθέλει. καὶ ὑμεῖς, ἐὰν ἐν Χερρονήσῳ πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε· ἐὰν ἐν Πύλαις, ἐκεῖσε· ἐὰν ἄλλοθίπου, συμπεδαθεῖτε ἄνω καὶ κάτω, καὶ στρατηγεῖσθε μὲν ὑπ' ἐκείνου, βε-

βιλλεσθε δὲ ὑμῖν αὐτοῖς συμφέρον περὶ τὸν πόλεμον, καὶ πῶς ἂν
ὑμῖν πραγμάτων παρασκευασθείη, πρὶν ἂν γεγνημένου τινὸς
γιγνόμενον τι πύθησθε. ταῦτα δὲ ἴσως πρότερον μὲν ἐμοῦ
ποιεῖν, νυνὶ δ' ἐπ' αὐτῷ ἥκει τῷ ἀκμῇ, ὥστ' ἤδη ἐγ-
χωρεῖ. Δοκεῖ δέ μοι Θηβαῖός τις, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς
γιγνομένοις ὑπὲρ τῆς πόλεως ἀπεχθόμενος, τῷ φιλοπράγμο-
νι μόνῳ ταύτῃ ἐμβαλεῖν Φιλίππῳ. εἰ γὰρ ἔχων ἃ κατέρρα-
πται καὶ προεῖπεν, ἡσυχίαν ἄγειν ἤθελε, καὶ μηδὲν ἐπρατ-
τον ἔτι, ἀπολελυκὼς ἐνίοις ὑμῶν ἂν μοι δοκεῖ, ὅτῳ μὲ χθίζω,
καὶ ἀναιδείᾳ καὶ πάντα τὰ αἴσχιστα ἀφληκότες ἂν ἦμεν δημο-
σίᾳ. νυνὶ δ' ἐπιχειρῶν ἀδίκημα, καὶ τὸ πλέθρον ὀργόμενος,
ἴσως ἂν ἐκκαλέσαιθ' ὑμᾶς, εἴπερ μὴ πανταπασιν ἑαυτῷ ἀ-
πεγνώκατε. Θαυμάζω δ' ἔγωγε, εἰ μηδεὶς ὑμῶν μήτ' ἐν-
θυμεῖται, μήτε ὀργίζεται ὁρῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν
μὲν ἀρχὴν τοῦ πολέμου γεγονυῖαν περὶ τοῦ τιμωρήσασθαι
Φίλιππον, τὸν δὲ τελευτῶντα ὑπὲρ τοῦ μὴ παθεῖν
αὐτοὺς κακῶς ὑπὸ τοῦ Φιλίππου. ἀλλὰ μὲν ὅτι γε ἀδίκησται,
δῆλον, εἰ μή τις αὐτὸν κωλύσει. εἶτα τοῦτο ἀνεκτὸν ἡμῖν; καὶ
ξυμμαχίας κοινὰς, καὶ πᾶς ἀφ' ἑνὸς ἐλπίδας ἐμοὶ δοκοῦσιν
λῆψεσθαι, παύσεσθαι οἴεσθε καλῶς; ἢ κρινούμεθα; ἢ ἐξι-
μὲν αὐτοὶ μέρος γέ τινι στρατιώτῃ οἰκείων νεῶν, εἰ καὶ μὴ πρό-
τερον; ἢ ὅτι τῷ ἐκείνου πλουσιώτεροι; Ποῖ δὴ προσορμιεῖ-
μεθα, ἢ πρὸς τίνας; δρύψει τὰ σαθρὰ τῆς ἐκείνου πραγμάτων,
ὦ ἄνδρες Ἀθηναῖοι, αὐτὸς ὁ πόλεμος, ἂν ὑπεχωρῶμεν. ἂν
μὲν γὰρ καθώμεθα οἴκοι, λοιδορουμένων ἀκούοντες καὶ αἰτιω-
μένων ἀλλήλους τῶν λεγόντων, ὅδε ποτ' ἂν ἡμῖν ἢ μὴ γέ-
νηται τῶν δεόντων. ὅποι μὲν γὰρ ἂν οἴμαι μέρος τι τῆς πόλεως
σωφρονοῦν, κἂν μὴ πᾶσα παρῇ, καὶ τὸ τῶν Θεῶν δίκαιον,
καὶ τὰ τῆς τύχης ὑμῖν συναγωνίζεται. ὅποι δ' ἂν στρατηγὸν καὶ
ψήφισμα κοινὸν καὶ πᾶς λόγος ἐλπίδας ἐμπέμψη-
ται, κἂν ὑμῖν τῶν δεόντων γίγνεται. ἀλλ' οἱ μὲν ἐχθροὶ

καὶ-

καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι τῷ δέει, τοὺς τοιούτους ἀποστόλους. οὐ γάρ ἐστιν οὐκ ἔστιν ἕνα ἄνδρα ἂν δυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶξαι ἅπανθ' ὅσα βούλεσθε. ὑποσχέσθαι μέν τοι καὶ φῆσαι, καὶ τὸν δεῖνα αἰτιάσασθαι, καὶ τὸν δεῖνα ἔστι, τὰ δὲ πράγματα ἐκ τούτων ἀπόλωλεν. ὅταν γὰρ ἡγῆται μὲν ὁ στρατηγὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν ἂν ἐκεῖνος ἐκεῖ πράξῃ πρὸς ἡμᾶς ψευδόμενοι ῥᾳδίως ἐνθάδε, ὦσιν, ὑμεῖς δ' ἐξ ὧν ἂν ἀκούσητε, ὅ, τι ἂν τύχῃ ῥᾳδίως ψηφίζεσθε, τί καὶ χρὴ προσδοκᾷν; πῶς οὖν ταῦτα παύσεται; ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας, καὶ μάρτυρας τῶν στρατηγουμένων, καὶ δικαστὰς οἴκαδε ἐλθόντας τῶν εὐθυνῶν. οὐ γὰρ ἀκούειν μόνον ὑμᾶς τὰ ὑμέτερα αὐτῶν, ἀλλὰ καὶ παρόντας ὁρᾶν δεῖ. νῦν δ' εἰς τοῦθ' ἥκει τὰ πράγματα αἰσχύνης, ὥστε τῶν στρατηγῶν ἕκαστος δὶς καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θανάτου. πρὸς δὲ τοὺς ἐχθροὺς οὐδεὶς οὐδὲ ἅπαξ αὐτῶν ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ, ἀλλὰ τὸν τῶν ἀνδραποδιστῶν καὶ λωποδυτῶν θάνατον μᾶλλον αἱροῦνται, τοῦ προσήκοντος. Κακούργου μὲν γάρ ἐστι, κριθέντα ἀποθανεῖν· στρατηγοῦ δὲ, μαχόμενον τοῖς πολεμίοις. ἡμῶν δὲ οἱ μὲν περιϊόντες μετὰ Λακεδαιμονίων φασὶ Φίλιππον πράττειν τὴν Θηβαίων κατάλυσιν, καὶ τὰς πολιτείας διασπᾶν, οἱ δ' ὡς πρέσβεις πέπομφεν ὡς Βασιλέα, οἱ δ' ἐν Ἰλλυριοῖς πόλεις τειχίζειν, οἱ δὲ, λόγους πλάττοντες, ἕκαστος περιερχόμεθα. Ἐγὼ δ' οἶμαι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς Θεοὺς ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων, καὶ πολλὰ τοιαῦτα ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τήν τ' ἐρημίαν τῶν κωλυτόντων ὁρῶντα, καὶ τοῖς πεπραγμένοις ἐπηρμένον, οὐ μέν τοι γε μὰ Δία οὕτω προαιρεῖσθαι πράττειν, ὥστε τοὺς ἀνοητοτάτους τῶν παρ' ὑμῖν εἰδέναι, τί μέλλει ποιεῖν ἐκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λογοποιοῦντες. ἀλλ' ἐὰν ἀφέντες ταῦτα ἐκεῖνο εἰδῶμεν, ὅτι ἐχθρὸς ἄνθρωπος, καὶ τὰ ἡμέτερα ὑμᾶς

ἀπο-

δπερεῖ, ἢ χρόνον πολλῶ ὕβεικε, καὶ ἅπαντα ὅσα πώποτε ἠλπίσαμέν τινα παράξειν ὑπὲρ ἡμῶν, παθ' ἡμῶν εὗρηται, καὶ τὰ λοιπὰ ἐν ἡμῖν αὐτοῖς ἐστι, κἂν μὲν νῦν ἐθέλωμεν ἐκεῖ πολεμεῖν αὐτῷ, ἐνθάδ' ἴσως ἀναγκαθησόμεθα τοῦτο ποιεῖν, αὖ παῦτα εἰδῶμεν, ἢ τὰ δέοντα ἐσόμεθα ἐγκωμιάζοντες, ἢ λόγων ματαίων ἀπηλλαγμένοι. ἐγὼ γὰρ οὔτοί ποτ' ἔσται δεῖ ὑποπτεῖν, ἀλλ' ὅτι φαῦλα, ἐὰν μὴ προσέχητε τοῖς παράγουσι τὸν νοῦν, καὶ τὰ προσήκοντα ποιεῖν ἐθέλητε, εὖ εἰδέναι. ἐγὼ μὲν γὰρ, ὅτ' ἄλλοτε πώποτε πρὸς ὑμᾶς εἰλόμην λέγειν, ὅ, τι ἂν μὴ ἢ σωτήριον ὑμῖν πεπεισμένος ὦ, νῦν τε οὐ γιγνώσκων πῶθ' ἁπλῶς οὐδὲν ὑποκειλάμενος ἀποφήσασθαι. ἐβουλόμην δ' ἄν, ὥσπερ ὅτι ὑμῖν συμφέρει τὰ βέλτιστα ἀκούειν οἶδα, οὕτως εἰδέναι σωτήριον ἢ τῷ τὰ βέλτιστα εἰπόντι, πολλῷ γὰρ ἂν ἥδιον εἶπον· νῦν δ' ἐπ' ἀδήλοις ἐσθ' οἷς τῶν λοιπῶν ἅπαντων ἐμαυτῷ θαρραλέος, ὅμως ὅτῳ σωτήριον ὑμῖν ἐὰν πρόσχητε τοῦτο, πεπεῖσθαι λέγειν αἱρήσομαι. νικᾶν δ' ὅ, τι πᾶσιν ὑμῖν μέλλει σωτήριον.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ

Τέτε Λόγε.

Α'Πλῆ τε λόγε τέτε ἡ ὑπόθεσις. Φιλίππε γὰρ λόγῳ μὲν εἰρήνης ἄγοντος, ἔργῳ δὲ πολλὰ ἀδικοῦντος, συμβαλλόμενοι τοῖς Α'θηναίοις ὁ ῥήτωρ, παῦσαί τε καὶ ἀμύνασθαι τὸν βασιλέα, ὡς κινδυνεύοντα μεγάλα καὶ αὐτοῖς ὑπάρχοντα, καὶ πᾶσι κοινὰ τοῖς Ε"λλησι.

ΤΟΥ

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ
Λόγος Τρίτος.

ΠΟλλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν, περὶ ὧν Φίλιππος, ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας ἀδικεῖ, καὶ πάντων εὖ οἶδ' ὅτι φησάντων γ' ἂν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ πράττειν ἅπασι προσήκειν, ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦτο ὑπουγμένα πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ, ὥς τε δέδοικα, μὴ βλάσφημον μὲν εἰπεῖν, ὀληθὲς δὲ ᾖ, εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες, καὶ χειροτονεῖν ὑμεῖς, ἐξ ὧν ὡς φαυλότατα ἔμελλε τὰ πράγματ' ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον, ἢ νῦν διατεθῆναι. Πολλὰ μὲν οὖν ἴσως ἐστὶ τὰ αἴτια τοῦ ταῦθ' οὕτως ἔχειν, καὶ οὐ παρ' ἓν οὐδὲ δύω εἰς τοῦτο τὰ πράγματα ἀφῖκται, μάλιστα δὲ, ἄν περ ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον, ἢ τὰ βέλτιστα λέγειν προαιρουμένους. ὧν τινὲς μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται, ταῦτα φυλάττοντες, οὐδεμίαν περὶ τῶν μελλόντων πρόνοιαν ἔχουσιν, οὐκοῦν οὐδ' ὑμᾶς οἴονται δεῖν ἔχειν. ἕτεροι δὲ τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι, καὶ διαβάλλοντες, οὐδὲν ἄλλο ποιοῦσιν, ἢ ὅπως ἡ μὲν πόλις αὐτὴ παρ' αὑτῆς δίκην λήψεται, καὶ περὶ τοῦτ' ἔσται· Φιλίππῳ δ' ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ,τι βούλεται. αἱ δὲ τοιαῦται πολιτεῖαι σαυήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ τῆς ταραχῆς καὶ τῶν ἁμαρτημάτων. ἀξιῶ δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἐάν τι τῶν ἀληθῶν μετὰ παρ' ῥησίας λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι. σκοπεῖτε γὰρ ὡδί, ὑμεῖς τὴν παρ' ῥησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς

ἐν

ἐν τῇ πόλει, ὡς τε καὶ τοῖς ξένοις καὶ τοῖς ἄλλοις αὐτοῖς μισεῖ-
σθαι τε. καὶ πολλοὺς ἄν τις οἰκίας ἴδοι παρ' ὑμῖν μὴ πλείο-
νος ἀξίους, ὅτι βέλονται, λέγοντας, ἢ πολίτας ἐν ἑνὶ τῶν
ἄλλων πόλεων· ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξε-
λήλαται. εἰθ' ὑμῖν συμβέβηκε τοῦτο, ἐν μὲν ταῖς ἐκ-
κλησίαις θορυβεῖν καὶ πολλάκις θεῖναι πάντα πρὸς ἡδονὴν ἀκού-
σαι, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις, ὧν πόν
ἐγγύτατα ἤδη κινδυνεύειν. εἰ μὲν ἄν καὶ νῦν ἔτι ἀφέλοισθε, ἐπι
ἔχω τί λέγω· εἰ δ' ἃ συμφέρει τοῖς πράγμασι χρεὼν κολα-
κείας ἐθελήσετε ἀκοῦσαι, ἕτοιμος λέγειν. καὶ γὰρ εἰ παύ φαύ-
λως τὰ πράγματα ἔχει, καὶ πολλὰ προεῖται· ὅμως δ' ἔστιν
ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθ' ἔτι καὶ νῦν πεῦτε ἐπα-
νορθώσασθαι. καὶ ἀδόξου μὲν ἴσως ἐστὶν ἃ μέλλω λέγειν,
ἀληθῆ δέ· τὸ χείριστον ἐν τοῖς παρελημυθόσι, τοῦτο πρὸς
τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστι τοῦτο; ὅτι ἥκε
κακῶς, ἅπερ μέγα ἅδον τῶν δεόντων ποιούντων ὑμῶν, καλῶς
τὰ πράγματα ἔχει. ἐπεὶτοι γε εἰ παρῆν ἃ προσήκει πρατ-
τόντων ὑμῶν, οὕτω διέκειτο, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι
βελτίω. νυνὶ δὲ τῆς μὲν ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀ-
μελείας κεκράτηκε Φίλιππος καὶ τῆς πόλεως οὐ κεκράτηκεν,
οὐδ' ἥπτησθε ὑμεῖς, ἀλλ' οὐδὲ κεκίνησθε. Εἰ μὲν οὖν ἅπαντες
ὁμολογοῦμεν Φίλιππον τῇ πόλει πολεμεῖν, καὶ τὰς εἰρήνας
καταβαίνειν, οὐδὲν ἄλλο ἔδει τὸν παριόντα λέγειν καὶ συμ-
βουλεύειν, ἢ ὅπως ἀσφαλέσαιτε καὶ ῥᾷστα αὐτὸν ἀμυνούμεθα·
ἐπειδὴ δὲ ἔστως ἀπόπως οἱ μὲν ἥκειν φασί, καὶ τὸ πόλεις κατα-
λαμβάνοντος ἐκείνου, καὶ πολλὰ τῶν ὑμετέρων ἔχοντος, καὶ
πάντας ἀνθρώπους ἀδικοῦντος, οὐκ ἔχειν τινῶν ἐν ταῖς ἐκκλη-
σίαις λεγόντων πολλάκις, ὡς ἡμῶν τινές εἰσιν οἱ ποιοῦντες
τὸν πόλεμον, ἀναγκαῖον φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τού-
των. ἔστι γὰρ δέος μή ποθ' ὡς ἀμυνούμεθα γραψάμενοι καὶ συμβουλ-
σαντες, εἰς τὴν αἰτίαν ἐμπέσωμεν τοῦ πεποιηκέναι τὸν πόλεμον.

ἐγὼ

ἐγὼ δὲ τοῦτο πρῶτον ἁπάντων λέγω καὶ διορίζομαι· εἰ ἐφ' ἡμῖν ἐστι τὸ βουλεύεσθαι περὶ τοῦ, πότερον εἰρήνην, ἢ πόλεμον ἄγειν δεῖ· εἰ μὲν οὖν ἔξεστιν εἰρήνην ἄγειν τῇ πόλει, καὶ ἐφ' ἡμῖν ἐστι τοῦτο, ἵν' ἐντεῦθεν ἄρξωμαι, φημὶ ἔγωγε ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα γράφειν, καὶ πράττειν, καὶ μὴ φενακίζειν ἀξιῶ. εἰ δ' ἕτερος τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων καὶ δυνάμιν πολλὴν περὶ αὐτὸν, τοὔνομα μὲν τὸ τῆς εἰρήνης ἡμῖν προβάλλεται, τοῖς δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο, πλὴν ἀμαύεσθαι; φάσκειν δὲ εἰρήνην ἄγειν εἰ βούλεσθε, ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι. εἰ δέ τις ταύτην εἰρήνην ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα τὰ ἄλλα λαβὼν, ἐφ' ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα ἐκείνῳ παρ' ὑμῶν, οὐχ ὑμῖν παρ' ἐκείνου τὴν εἰρήνην ἄγειν λέγει. τοῦτο δ' ἐστὶν, ὃ τῶν ἀναλισκομένων χρημάτων ἁπάντων Φίλιππος ὠνεῖται, αὐτὸν μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ μὴ πολεμεῖσθαι. καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν ἀνηθέστατοι. οὐδὲ γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τῆτ' ἐρεῖ, εἴπερ οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ τεκμαίρεσθαι. τοῦτο μὲν γὰρ Ὀλυνθίοις τετταράκοντ' ἀπέχων τῆς πόλεως στάδια, εἶπεν, ὅτι δεῖ δυοῖν θάτερον, ἢ ἐκείνους ἐν Ὀλυνθῷ μὴ οἰκεῖν, ἢ αὐτὸν ἐν Μακεδονίᾳ, πάντα τὸν ἄλλον χρόνον, εἴτις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολογησομένους. τοῦτο δ' εἰς Φωκέας, ὡς πρὸς συμμάχους ἐπορεύετο καὶ φίλους, καὶ πρέσβεις Φωκέων ἦσαν, οἳ παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ' ἡμῖν ἤριζον πολλοὶ, Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάροδον. καὶ μὴν καὶ Φερὰς πρώην, ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν, ἔχει καταλαβών. καὶ τὰ τελευταῖα τοῖς ταλαιπώροις Ὠρείταις τουτοισὶ ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ' εὔνοιαν, πυνθάνεσθαι γὰρ αὐτὸς, ὡς

νοσοῦσι καὶ στασιάζουσιν ἐν αὐτοῖς, συμμάχων δ' εἶναι καὶ φίλων ἀληθινῶν, ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. Εἶτ' οἴεσθε, οἳ μὲν οὐδὲν ἂν αὐτὸν ἐδυνήθησαν ποιῆσαι κακὸν, μὴ παθεῖν δ' ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ' ἐκ προῤῥήσεως πολεμήσειν, καὶ ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; οὐκ ἔστι ταῦτα. καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούντων αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων καὶ κρίνειν βουλομείων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φιλονεικίαν ἐφ' αὑτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο, οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες, ὡς ἐκεῖνός γε οὐ πολεμεῖ τῇ πόλει. Ἀλλ' ἔστιν ὦ πρὸς τοῦ Διὸς, ὅς τις εὖ φρονῶν ἐκ τῶν ὀνομάτων μᾶλλον, ἢ τῶν πραγμάτων, τὸν ἄνθρωπ' εἰρήνην ἢ πολεμοῦνθ' ἑαυτῷ σκέψαιτ' ἄν; οὐδείς που, τοίνυν Φίλιππος ἐξ ἀρχῆς ἄρτι τῆς εἰρήνης γεγονυίας, οὔτω Διοπείθους στρατηγοῦντος, οὐδὲ τῶν ἐν Χερρονήσῳ νῦν ὄντων ἀπεσταλμένων, Σέρριον καὶ Δορίσκον κατελάμβανε, καὶ τοὺς ἐκ Σερρίου τείχους καὶ ἱεροῦ ὄρους στρατιώτας ἐξέβαλεν, οὓς ὁ ἡμέτερος στρατηγὸς κατέστησε. καί τοι ταῦτα πράττων τί ἐς ποίει; εἰρήνην μὲν γὰρ ὠμωμόκει. Καὶ μηδεὶς εἴπῃ, τί δὲ ταῦτ' ἐστὶν, ἢ τί τούτων μέλει τῇ πόλει; εἰ μὲν γὰρ μικρὰ ταῦτά ἐστιν, ἢ μηδὲν ὑμῖν αὐτῶν ἔμελλεν, ἄλλος ἂν εἴη λόγος οὗτος. τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον, ἄντ' ἐπὶ μικροῦ τις, ἄντ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. Φέρε δὴ νῦν, ἡνίκ' εἰς Χερρόνησον, ἣν Βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ἡμετέραν ἐγνώκασιν εἶναι, ξένους εἰσπέμπει καὶ βοηθεῖν ὁμολογεῖ καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ; φησὶ μὲν γὰρ οὐ πολεμεῖν. ἐγὼ δὲ τοσούτου δέω ταῦτα ποιοῦντα ἐκεῖνον ὁμολογεῖν ἄγειν τὴν πρὸς ἡμᾶς εἰρήνην, ὥς τε καὶ Μεγάρων ἀπτόμενον, καὶ ἐν Εὐβοίᾳ τυραννίδα κατασκευά-

ζον-

ζοντα, καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα, καὶ τὰ ἐν Πελοποννήσῳ σκευωρούμενον, καὶ πάνθ' ὅσα πράττει μετὰ τῆς δυνάμεως ποιοῦντα, λύειν φημὶ τὴν εἰρήνην, καὶ πολεμεῖν ὑμῖν. εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσαγάγωσιν· ἀλλ' οὐ φήσετε. ὁ γὰρ, οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ. τίσιν οὖν ὑμεῖς κινδυνεύσαιτ' ἂν, εἴτι γένοιτο; τῷ, τὸν Ἑλλήσποντον ὑμῶν ἀλλοτριωθῆναι, τῷ, Μεγάρων καὶ τῆς Εὐβοίας τὸν πολεμοῦνθ' ὑμῖν γενέσθαι κύριον, τῷ, Πελοποννησίους τἀκείνου φρονῆσαι. εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἐφιστάντα καὶ κατασκευάζοντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς; πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἐφ' ἧς ἡμέρας ἀνεῖλε Φωκέας, ἀπὸ ταύτης ἔγωγ' αὐτὸν πολεμεῖν ὑμῖν ὁρίζομαι. ὑμᾶς δὲ, ἐὰν καὶ ἀμύνησθε ἤδη, σωφρονήσειν φημί. ἐὰν δὲ ἀναβάλησθε, οὐδὲ τοῦτο ὅταν βούλεσθε, δυνήσεσθε ποιῆσαι. καὶ τοσοῦτόν γε ἀφέστηκα τῶν ἄλλων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν συμβουλευόντων, ὥς τε οὐδὲ δοκεῖ μοι περὶ Χερρονήσου νῦν σκοπεῖν, οὐδὲ Βυζαντίου, ἀλλ' ἐπαμῦναι μὲν τούτοις καὶ διατηρῆσαι μή τι πάθωσι, καὶ τοῖς οὖσιν ἐκεῖ νῦν στρατηγοῖς πάνθ' ὅσων ἂν δέωνται, ἀποστεῖλαι· βουλεύεσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων, ὡς ἐν κινδύνῳ μεγίστῳ καθεστηκότων. Βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς ἐξ ὧν ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι. ἵν' εἰ μὲν ὀρθῶς λογίζομαι, μετάσχητε τῶν λογισμῶν, καὶ προνοιάν τιν' ὑμῶν γε αὐτῶν, εἰ καὶ μὴ τῶν ἄλλων ἄρα βούλεσθε, ποιήσησθε. ἂν δὲ ληρεῖν καὶ τετυφῶσθαι δοκῶ, μήτε νῦν, μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε. ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ' ἀρχὰς ὁ Φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασιαστικῶς ἔχουσι πρὸς αὐτοὺς οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ παραδοξότερον ἦν τοσοῦτον αὐτὸν ἐξ ἐκείνου γενέσθαι,

ἢ νῦν

ἢ νῦν ὅθ' οὕτω πολλὰ προείληφε, καὶ τὰ λοιπὰ ὑφ' αὑτῷ ποιήσασθαι, καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι διεξελθεῖν, παραλείψω. ἀλλ' ὁρῶ συγκεχωρηκότας ἅπαντας ἀνθρώπους, ἀφ' ὑμῶν ἀρξαμένους αὐτῷ, ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα χρόνον ἅπαντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλληνικοί. τί οὖν ἐστι τοῦτο; τὸ ποιεῖν ὅ,τι βούλεται, καθ' ἕνα ἕκαστον οὑτωσὶ περικόπτειν καὶ λωποδυτεῖν τὰ τῶν Ἑλλήνων, καὶ καταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα. καί τοι προστάται μὲν ὑμεῖς ἑβδομήκοντα ἔτη καὶ τρία τῶν Ἑλλήνων ἐγένεσθε· προστάται δὲ τριάκοντα ἐνὸς δέοντα Λακεδαιμόνιοι· ἴσχυσαν δέ τι καὶ Θηβαῖοι τοὺς τελευταίους τουτουσὶ χρόνους μετὰ τὴν ἐν Λεύκτροις μάχην. ἀλλ' ὅμως, οὔθ' ὑμῖν, οὔτε Θηβαίοις, οὔτε Λακεδαιμονίοις οὐδὲ πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, συνεχωρήθη τοῦτο ὑπὸ τῶν Ἑλλήνων, ποιεῖν ὅ,τι βούλεσθε. οὐδὲ πολλοῦ δεῖ. ἀλλὰ τοῦτο μὲν ὑμῖν, μᾶλλον δὲ τοῖς τότ' οὖσιν Ἀθηναίοις, ἐπειδή τισιν οὐ μετρίως ἐδόκουν προσφέρεσθαι, πάντες ᾤοντο δεῖν πολεμεῖν, καὶ οἱ μηδὲν ἐγκαλεῖν ἔχοντες αὐτοῖς μετὰ τῶν ἠδικημένων. καὶ πάλιν Λακεδαιμονίοις ἄρξασι, καὶ παρελθοῦσιν εἰς τὴν δυναστείαν τὴν αὐτὴν ταύτην ὑμῖν, ἐπειδὴ πλεονάζειν ἐπεχείρουν, καὶ πέρα τοῦ μετρίου τὰ καθεστηκότα ἐκίνουν, πάντες εἰς πόλεμον κατέστησαν, καὶ οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς. καὶ τί δεῖ τοὺς ἄλλους λέγειν; ἀλλ' ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι, οὐδὲν ἂν εἰπεῖν ἔχοντες ἐξ ἀρχῆς, ὅτι ἠδικούμεθ' ὑπ' ἀλλήλων, ὅμως ὑπὲρ ὧν τοὺς ἄλλους ἀδικουμένους ἑωρῶμεν, πολεμεῖν ᾠήθημεν δεῖν. καί τοι πάνθ' ὅσα ἐξημάρτηται καὶ Λακεδαιμονίοις ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσι, καὶ τοῖς ὑμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἐλάττω ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισὶ καὶ δέκα οὐχ ὅλοις ἔτεσιν οἷς ἐπιπολάζει, ἠδίκησε τοὺς Ἕλληνας, μᾶλλον δὲ, οὐδὲ πολλοστὸν μέρος τούτων ἐκεῖνα. καὶ τοῦτο ἐκ βραχέων ῥημάτων ῥᾴδιον δεῖξαι. Ὄλυνθον μὲν δὴ, καὶ Μεθώ-

θώνην, καὶ Ἀπολλωνίαν, καὶ δύω καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥς τε μηδένα μήδ' εἰ πώποτ' ᾠκίσθησαν, εἶναι ῥᾴδιον προσελθόντα εἰπεῖν. καὶ τὸ Φωκέων ἔθνος τοσοῦτον ἀνῃρημένον σιωπῶ. ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ τὰς πόλεις καὶ τὰς πολιτείας αὐτῶν ἀφῄρηται, καὶ τετραδαρχίας κατέστησε παρ' αὐτοῖς, ἵνα μὴ μόνον κατὰ πόλεις, ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύσωσιν; αἱ δ' ἐν Εὐβοίᾳ πόλεις, οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτα ἐν νήσῳ πλησίον Θηβῶν καὶ Ἀθηνῶν; οὐ δεῖ ῥήδην ἐν ταῖς ἐπιστολαῖς γράφει, ἐμοὶ δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ βουλομένους; καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς ἔργοις δὲ οὐ ποιεῖ, ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται. πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν. Ἥλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ. Μεγάροις ἐπεβούλευσε πρώην. οὔθ' ἡ Ἑλλὰς, οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου. καὶ ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἅπαντες καὶ ἀκούοντες οὐ πέμπομεν πρέσβεις, περὶ τούτων πρὸς ἀλλήλους καὶ ἀγανακτοῦμεν· οὕτω δὲ κακῶς διακείμεθα καὶ διορωρύγμεθα κατὰ πόλεις, ὥστ' ἄχρι τῆς τήμερον ἡμέρας οὐδὲν οὔτε τῶν συμφερόντων, οὔτε τῶν δεόντων πρᾶξαι δυνάμεθα, οὐδὲ συστῆναι, οὐδὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν ποιήσασθαι, ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν, τὸν χρόνον κερδαῖαι τοῦτον, ὃν ἄλλος ἀπόλλυται, ἕκαστος ἐγνωκὼς, ὥς γέ μοι δοκεῖ, οὐχ ὅπως σωθήσεται τὰ τῶν Ἑλλήνων, σκοπῶν οὐδὲ πράττων. ἐπεὶ ὅτι γε ὥσπερ περίοδος, ἢ καταβολὴ πυρετοῦ, ἤ τινος ἄλλου κακοῦ, καὶ τῷ πάνυ πόῤῥω δοκοῦντι νῦν ἀφεστάναι, προσέρχεται, οὐδεὶς ἀγνοεῖ δήπου. καὶ μὴν, κἀκεῖνόγε ἴστε, ὅτι ὅσα μὲν ὑπὸ Λακεδαιμονίων, ἢ ὑφ' ἡμῶν ἔπαχον οἱ Ἕλληνες, ἀλλ' οὖν ὑπὸ γνησίων γε ὄντων τῆς Ἑλλάδος ἠδικοῦντο. καὶ τὸν αὐτὸν τρόπον ἄν τις ὑπέλαβε τοῦτο, ὥσπερ ἂν εἴ τις υἱὸς ἐν οὐσίᾳ πολλῇ γεγονὼς γνήσιος διῴκει τι μὴ καλῶς, μηδ' ὀρθῶς, κατ' αὐτὸ μὲν τοῦτο ἄξιος μέμ-

ψεως εἶναι καὶ κατηγορίας, ὡς δ' οὐ προσήκων, ἢ ὡς οὐ κληρονόμος τούτων ὢν ταῦτα ἐποίει, οὐκ εἶναι λέγειν· εἰ δέ γε δοῦλος, ἢ ὑποβολιμαῖος τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο. Ἡράκλεις ὅσῳ μᾶλλον δεινὸν, καὶ πολλῆς ὀργῆς ἄξιον πάντες ἂν ἔφασαν εἶναι, ἀλλ' οὐχ ὑπὲρ Φιλίππου, καὶ ὧν ἐκεῖνος πράττει νῦν οὐχ οὕτως ἔχουσιν, οὐ μόνον οὐχ Ἕλληνος ὄντος, οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ' ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι. καίτοι τί τῆς ἐσχάτης ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ πόλεις ἀνῃρηκέναι, τίθησι μὲν τὰ Πύθια, τὸν κοινὸν τῶν Ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει, κύριος δὲ πυλῶν, καὶ τῶν ἐπὶ τοὺς Ἕλληνας παρόδων ἐστὶ, καὶ φρουραῖς καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ καὶ τὴν προμαντείαν τοῦ Θεοῦ, παρώσας ἡμᾶς, καὶ Θετταλοὺς, καὶ Δωριέας, καὶ τοὺς ἄλλους Ἀμφικτύονας, ἧς οὐδὲ τοῖς Ἕλλησιν ἅπασι μέτεστι. γράφει Θετταλοῖς, ὅν τινα χρὴ τρόπον πολιτεύεσθαι. πέμπει δὲ ξένους, τοὺς μὲν εἰς πορθμὸν τὸν δῆμον ἐκβαλοῦντας τῶν Ἐρετριέων, τοὺς δ' ἐπ' Ὠρεὸν Φιλιστίδην τύραννον καταστήσοντας. ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, καὶ τὸν αὐτὸν τρόπον, ὅν περ οἱ τὴν χάραζαν ἔμοι γε δοκοῦσι θεωρεῖν, εὐχόμενοι μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν. οὐ μόνον δ' ἐφ' ἧς ἡ Ἑλλὰς ὑβρίζεται ὑπ' αὐτοῦ, οὐδεὶς ἀμύνεται, ἀλλ' οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἀδικεῖται. τοῦτο γὰρ ἤδη τοῦ σχατόν ἐστιν· οὐ Κορινθίων ἐπ' Ἀμβρακίαν ἐλήλυθε καὶ Λευκάδα; οὐκ Ἀχαιῶν Ναύπακτον ἀφελόμενος, ὁμώμοκεν Αἰτωλοῖς παραδώσειν; οὐχὶ Θηβαίων Ἐχῖνον ἀφῄρηται, καὶ νῦν ἐπὶ Βυζαντίους πορεύεται συμμάχους ὄντας οὐχ ὑμῶν; ἐῶ τἄλλα. ἀλλὰ Χερρονήσου τὴν μεγίστην ἔχει πόλιν Καρδίαν. ταῦτα τοίνυν πάσχοντες ἅπαντες μέλλομεν καὶ μαλακιζόμεθα, καὶ πρὸς

τοὺς

τοὺς πλησίον ἀποβλέπομεν ἀπιστοῦντες ἀλλήλοις, οὕτω φανερῶς πάντας ἡμᾶς ἀδικοῦντος. Καί τοι τὸν ἅπασιν ἀσελγῶς οὕτω χρώμενον, τί οἴεσθε, ἐπειδὰν ἑνὸς ἡμῶν ἑκάστου κύριος γένηται, ποιήσειν; Τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λόγου καὶ δικαίας αἰτίας, οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθερίαν ἅπαντες οἱ Ἕλληνες, οὔτε νῦν πρὸς τὸ δουλεύειν. ἦν τι τότ', ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν διανοίαις, ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου, καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα, καὶ οὔτε ναυμαχίας, οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο. νῦν δ' ἀπολωλὸς, ἅπαντα λελύμανται, καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν Ἑλλήνων πράγματα. τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον, οὐδὲ σοφόν. ἀλλ' ὅτι τοὺς παρὰ τῶν ἄρχειν ἀεὶ βουλομένων, ἢ καὶ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν, καὶ χαλεπώτατον ἦν, τὸ δωροδοκοῦντα ἐξελεγχθῆναι. καὶ τιμωρία μεγίστη τοῦτον ἐκόλαζον, καὶ παραίτησις οὐδεμία ἦν, οὐδὲ συγγνώμη. Τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων, ὃν ἡ τύχη καὶ τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων, καὶ τοῖς μηδὲν ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων, πολλάκις παρασκευάζει, οὐκ ἦν πρίασθαι παρὰ τῶν λεγόντων, οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς βαρβάρους καὶ τοὺς τυράννους ἀπιστίαν, οὐδ' ὅλως τῶν τοιούτων οὐδέν. νῦν δ' ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπρακται ταῦτα, ἀντεισῆκται δὲ ἀντὶ τούτων, ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ Ἑλλάς. ταῦτα δ' ἔστι τί; ζῆλος, εἴ τις εἰληφέτι, γέλως, ἂν ὁμολογῇ, συγγνώμη τοῖς ἐλεγχομένοις, μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ, τἄλλα πάντα ὅσα ἐκ τοῦ δωροδοκεῖν ἤρτηται. ἐπεὶ καὶ τριήρεις γε, καὶ σωμάτων πλῆθος, καὶ χρημάτων πρόσοδοι, καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία, καὶ τἄλλα οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπαντα καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ, ἀλλ' ἅπαντα ταῦτα ἄχρηστα, ἄπρακτα,

κτε, ωὐόμητα ὑπὸ τῶν πολλούτων γίγνεται. Ὅτι δ' ὕτω ταῦτ' ἔχει, τὰ μὲν νυῦ ὁρᾶτε δήπου, καὶ ὑδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος. τὰ δ' ἐν τοῖς ὥροις, ὅτι τἀναντία τούτων εἶχεν, ἐγὼ δηλώσω, καὶ λόγους ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν παλαιῶν καὶ μετέρων δεικνύων, ἃ ἐκεῖνοι κατέθεντο εἰς στήλην χαλκῆν γράψαντες εἰς ἀκρόπολιν, καὶ ἵνα αὐτοῖς ᾖ χρήσιμα (καὶ γὰρ ὠφέλει τούτων τῶν γραμμάτων τοὺς δέοντας φρονεῖν) ἀλλ' ἵνα ὑμεῖς ἔχητε ὑπομνήματα καὶ παράδειγματα, ὡς ὑπὲρ τῶν τοιούτων σωφρονίζειν προσήκει. τί δ' ἐν λέγει τὰ γράμματα; Ἄρθμιός, φησιν, ὁ Πυθώνακτος ὁ Ζελείτης, ἄτιμος ἔστω καὶ πολέμιος τοῦ δήμου τῶν Ἀθηναίων, καὶ τῶν συμμάχων, αὐτὸς καὶ γένος. εἶθ' ἡ αἰτία προσγέγραπται, δι' ἣν ταῦτ' ἐγράφη. ὅτι τὸν χρυσὸν τὸν ἐκ τῆς Μήδων εἰς τὴν Πελοπόννησον ἤγαγεν, καὶ Ἀθηναίοις. ταῦτ' ὀρθῶς τὰ γράμματα. λογίζεσθε δὴ πρὸς Διὸς καὶ Θεῶν, καὶ θεωρεῖτε παρ' ὑμῖν αὐτοῖς, τίς ἂν ποτε ἡ δίκαιος τῶν τότε Ἀθηναίων τῶν τοῦτο ποιούντων, ἢ τί τὸ ἀξίωμα. ἐκεῖνοι Ζελείτην τινὰ Ἄρθμιον δῆλον βασιλέως, καὶ ὃν Ζήλεια ἐστι τῆς Ἀσίας, ὅτι τῶν δεσπότου βακτρων χρυσίον ἤγαγεν εἰς Πελοπόννησον ἐπὶ Ἀθηναίοις, ἐχθρὸν αὑτῶν ἀπέγραψαν καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος, καὶ ἀτίμους εἶναι. τοῦτο δ' ἐστὶν, ἐπὶ ᾧ ἂν ἀποστίζητις φύσεσιν ἀτιμίαν. τί δὲ τῷ Ζελείτῃ τοῦτ' ἔμελεν, ἢ τῶν Ἀθηναίων κοινῶν μὴ μισθέξειν ἔμελεν; ἀλλ' ὃ τοῦτο λέγει. ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ δίδῳ δίκας, φόνου δικάσασθαι. ἀλλ' φυγὲς ἐὼ τὸ ἀποκτεῖναι, καὶ ἄτιμός, φησι, τεθνάτω. τοῦτο δὴ λέγει, καθαρὸν τὸν πόνον τινὰ ἀποκτείναντα εἶναι. ἐγὼ δ' οὐκ οἶμαι ἐκεῖνοι τῆς ἀπάντων τῶν Ἑλλήνων σωτηρίας αὐτοῖς ὀλιγωρεῖσθαι. ἢ τῷ ἂν αὐτοῖς ἔμελεν, εἴτις ἐν Πελοποννήσῳ τινὰς ὠνεῖται, ἢ ἀφθείρει, μὴ τοῦ λαμβάνουσιν. ἐκόλαζον δ' ὕτω καὶ ἐτιμωροῦντο, ὡς ἂν αἴσθοντο δωροδοκοῦντες, ὡς τὰ

καὶ

καὶ σιλίτας ποιεῖν. ἐκ δὲ τούτων, εἰκότως τὰ πρὸς Ἕλλησιν ὑμῖν τοῦ βαρβάρου φοβερά, καὶ οὐχ ὁ βάρβαρος τοῖς Ἕλλησιν. ἀλλ' ὑμεῖς μὲν οὐδέν. καὶ γὰρ ὅπως ἔχεθ' ὑμεῖς, ὅτε μὲν πρὸς τὰ τοιαῦτα, ὅτε δὲ πρὸς τὰ ἄλλα. ἀλλὰ πῶς; ἴσε αὐτοί. τί γὰρ δεῖ περὶ πάντων ὑμῶν κατηγορεῖν, καὶ μηδὲν πλησίον δὲ καὶ μηδὲν βέλτιον ὑμῶν ἅπαντες οἱ λοιποὶ Ἕλληνες. διόπερ φημὶ ἐγωγε, καὶ παιδιᾶς πολλῆς, καὶ βουλῆς ἀγαθῆς τὰ παρόντα πράγματα προσδεῖσθαι. τίνος εἶπω; κελεύετε, καὶ ἐκ ὀργιεῖσθε; ἐκ τῶν γραμματείων ἀναγίνωσκε. Ἀναγνώσεις γραμματείων. Εἴ τις οὖν ἀνήθης λόγος καὶ μὴ μηδὲ μηχανᾶσθαι βουλομένων τὴν πόλιν, ὡς ἄρα ἅπαν Φίλιππός ἐστι τοιοῦτος, οἷοι ποτ' ἦσαν Λακεδαιμόνιοι, οἳ θαλάττης μὲν ἦρχον, καὶ γῆς ἁπάσης, Βασιλέα δὲ σύμμαχον εἶχον, ὑφίσατο δὲ οὐδεὶς αὐτούς. ἀλλ' ὅμως ἠμύναντο κἀκείνους ἡ πόλις, καὶ οὐκ ἀνήρπασθη. ἐγὼ δέ, ἀπωτάτω, ὡς ἔπος εἰπεῖν, πολλῷ εἰληφότων ἐπίδοσιν, καὶ οὐδὲν ὁμοίων ὄντων τῶν νυνὶ τοῖς πρότερον, οὐδὲν ἡγοῦμαι πλέον, ἢ τὰ τῷ πολέμῳ κεκινεῖσθαι, καὶ ὑποδιδωκέναι. πρῶτον μὲν οὖν ἀκούω Λακεδαιμονίους τότε, καὶ πάντας τοὺς ἄλλους Ἕλληνας τέτταρας μοίρας, ἢ πέντε τὴν Ὠρεὸν αὐτῷ στρατεύεσθαι, καὶ τοῦτον τὸν χρόνον ἐμβαλόντας καὶ κακώσαντας τοῦ τῶν ἀντιπάλων χώρου ὁπλίτας, καὶ πολιτικοῖς στρατεύμασιν ἀναχωρεῖν ἐπ' οἴκου πάλιν. ἔτω δ' ἀρχαίως εἶχεν, μᾶλλον δὲ πολιτικῶς, ὥστε οὐδὲ χρημάτων ὠνεῖσθαι παρ' οὐδενὸς οὐδέν, ἀλλ' εἶναι νόμιμόν τινα, καὶ τροφὴν τὸν πόλεμον. νυνὶ δ' ἅπαντα μὲν οὐ πλεῖστα τοὺς προδότας ἀπολωλεκότας, οὐδὲν δ', ἐκ παρατάξεως, οὐδ' ἐκ μάχης γιγνόμενον. ἀκούετε δὲ Φιλίππου, οὐχὶ τοὺς φάλαγγας ὁπλιτῶν ἄγειν, βαδίζοντ' ὅποι βούλεται, ἀλλὰ τοὺς ψιλοὺς ἱππέας, τοξότας ξένους, τοιοῦτον ἐξηρτῆσθαι στρατόπεδον. ἐπειδὰν δὲ τούτοις κρατῶν τροπὴν ποιήσηται ἐν αὐτοῖς καὶ τεταραγμένους τροπώσηται, καὶ μηδεὶς ὑπὲρ τῆς χώρας δίκην ἀπιστίαν ὀφλὶ

μηχανήματ' ἐπισήσας πολιορκεῖ, καὶ σιωπῶ θέρος καὶ χειμῶνα, ὡς οὐδὲν αὐτῷ διαφέρει, οὐδ' ἔστιν ἐξαίρετος ὥρα τις, ἣν διαλείπει. πεῖται μὲν τοι πάντες εἰδότας δεῖ καὶ λογιζομένους μὴ παρεῖσθαι τὸν πόλεμον εἰς τὴν χώραν, μηδ' εἰς τὴν οἰκείαν τὴν πρὸ τοῦτε πρὸς Λακεδαιμονίους πολέμου βλέποντας ἐξαχθλιβῆναι. ἀλλ' ὡς ἐκ πλείστου φυλάττεσθαι τοῖς παράγμασι, καὶ ταῖς παρασκευαῖς, ὅπως οἴκοθεν μὴ κινήσεται σκεπτόμενοι, οὐχὶ συμπλακησόμενοι διαγωνίζεσθαι. πρὸς μὲν τὸν πόλεμον πολλὰ φύσει πλεονεκτήματα ὑμῖν ὑπάρχει, ὧν πρῶτον, ὦ ἄνδρες Ἀθηναῖοι, ποιεῖν ἐθέλοντας ἃ δεῖ. ἡ φύσις τῆς ἐκείνου χώρας, ἣν ἄγειν καὶ φέρειν ἐστὶ πολλῶ, καὶ κακῶς ποιεῖν, ἀλλὰ μυρία· εἰς δὲ ἀγῶνα, ἄμεινον ἡμῶν ἐκεῖνος ἥσκηται. καὶ μόνον δὲ δεῖ πεῖραν γενέσθαι, καὶ τοῖς ἔργοις ἐκείνου ἀμυνέσθαι τοῖς τοῦ πολέμου, ἀλλὰ καὶ τῷ λογισμῷ, καὶ τῇ διανοίᾳ, ἃς παρ' ὑμῖν ὑπὲρ αὐτοῦ λέγοντας μισῆσαι, ἐνθυμουμένους, ὅτι οὐκ ἔστι τῷδ' ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ὑπηρετοῦντας ἐκείνῳ. ὃ μὲν τὸν Δία, καὶ τοὺς ἄλλους Θεοὺς ἃ διώλοιθε ὑμεῖς ποιῆσαι, οὐδὲ βούλεσθε, ἀλλ' εἰς τοῦτο ἀφῖχθε μανίας, ἢ κακονοίας, ἢ, οὐκ ἔχω τί λέγω, πολλάκις γὰρ ἔμοιγ' ἐπελήλυθε καὶ τοῦτο φοβεῖσθαι, μήτι δαιμόνιον τι πράγματα ἐλαύνῃ, ὥς τε λοιδορίας, ἢ φθόνου, ἢ σκώμματος ἧς τινος αὖ τύχητε αἰτίας, ἀνθρώπους μισθωτοὺς, ὧν οὐδ' ἂν ἀρνηθεῖεν οἱ ὡς ἐκ εἰσὶ τοιοῦτοι, λέγειν κελεύετε, καὶ γελᾶτε αὐτοῖς λοιδορηθεῖσι. καὶ οὐχὶ τοῦτο δεινόν, καίπερ ὂν δεινόν. ἀλλὰ καὶ μετ' πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις, ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσι. καί τοι θεάσασθε ὅσας συμφορὰς οὗτοι διαπεπολέμικεν, τοῦτ' ἐθέλειν ἀκροᾶσθαι. λέξω δὲ ἔργα, ἃ πάντες ἴστε. Ἦσαν ἐν Ὀλύνθῳ τινὲς ἐν τοῖς πράγμασι, τινὲς μὲν τὰ Φιλίππου φρονοῦντες, καὶ παρ' ὑπηρετοῦντες ἐκείνῳ, τινὲς δὲ ὑπὲρ τοῦ βελτίστου, καὶ ὅπως μὴ δουλώσουσιν οἱ πολῖ-

ται

ται πράττοντες. πότεροι δὲ τὴν πατρίδα ἀπώλεσαν; ἢ πότεροι τοὺς ἱππέας προὔδοσαν, ὧν προδοθέντων Ὄλυνθος ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες, καὶ ὅτ' ἦν ἡ πόλις, τοὺς τὰ βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ διαβάλλοντες οὕτως, ὥς τε τόν γ' Ἀπολλωνίδην καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν Ὀλυνθίων ἐπείσθη. οὐ τοίνυν πολλὰ τούτοις μόνοις τὸ ἔθος τοῦτο πάντα κακὰ εἰργάσατο, ἄλλοθι δ' οὐδαμοῦ. ἀλλ' ἐν Ἐρετρίᾳ, ἐπειδή γε ἀπαλλαγέντος τοῦ Πλουτάρχου καὶ τῶν ξένων, ὁ δῆμος εἶχε τὴν πόλιν, καὶ τὸν πορθμὸν, οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον. ἀκούοντες δὲ τούτων τὰ πολλὰ, μᾶλλον δὲ πάντα οἱ ταλαίπωροι καὶ δυστυχεῖς Ἐρετριεῖς, τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ αὐτῶν λέγοντας ἐκβαλεῖν. καὶ γὰρ τοι πέμψας Ἱππόνικον ὁ σύμμαχος, καὶ φίλος αὐτοῖς Φίλιππος, καὶ ξένους χιλίους, τὰ τείχη περιεῖλε τοῦ προθμοῦ, καὶ τρεῖς κατέστησε τυραννοῦς, Ἵππαρχον, Αὐτομέδοντα, Κλείταρχον, καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς, ἤδη βουλομένους σώζεσθαι, τότε μὲν πέμψας τοὺς μετ' Εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ Πρμενίωνος. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν Ὠρεῷ, Φιλιστείδης μὲν ἔπραττε Φιλίππῳ, καὶ Μένιππος, καὶ Σωκράτης, καὶ Θόας, καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν. καὶ ταῦτ' ᾔδεσαν ἅπαντες. Εὐφραῖος δέ τις ἄνθρωπος, καὶ παρ' ὑμῖν ποτ' ἐνθάδε οἰκήσας, ὅπως ἐλεύθεροι, καὶ μηδενὸς δοῦλοι ἔσονται, οὗτος τὰ μὲν ἄλλα ὡς ὑβρίζετο, καὶ προεπηλακίζετο ὑπὸ τοῦ δήμου τοῦ τῶν Ὠρειτῶν, πολλὰ ἂν εἴη λέγειν. ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς προδότην τὸν Φιλιστείδην, καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττουσι. συστραφέντες δὲ ἄνθρωποι πολλοὶ, καὶ χορηγὸν ἔχοντες Φίλιππον, καὶ πρυτανευόμενοι παρ' ἐκείνου, ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ δεσμωτήριον, ὡς συνταράττοντα τὴν πόλιν. ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν Ὠρειτῶν αὐτὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δ'

ἀποτυμπανίσαι, τοῖς μὲν ἂν ὠργίζετο, τὸν δ' ὑπηρέτην εἶναι τοῦτον ἔφη, καὶ ἐκέλευε. μετὰ ταῦτ' οἱ μὲν ἐπ' ἐξουσίας ὁπόσης ἠβούλοντο, ἐστρατεύοντο ὅπως ἡ πόλις λημφθήσεται καὶ κατασκαφήσεται τῇ παρόξυνσι· τῶν δὲ πολλῶν εἴτις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν Εὐφραῖον οἷα ἔπαθε μεμνημένος. ὕστερον δ' ἀθλίως διέκειντο, ὡς τε ὑπὸ τῶν ἐπόλεμησε δεδοικότες τοιούτων κακῶν προσίοντος ῥᾴδιως φωνὴν, πρὶν ἐξαναστάντες πρὸς τὰ τείχη προσμίσσαι οἱ πολέμιοι. τινικαῦτα δ' οἱ μὲν, ἠμύνοντο, οἱ δὲ, παρέδοσαν. τῆς δὲ πόλεως ὕστερον ἁλούσης αἰσχρῶς καὶ κακῶς οἱ μὲν ἄρχοντι, καὶ τυραννοῦσι τὰς τότε σῴζοντας αὐτοὺς, καὶ τὸν Εὐφραῖον, ἑτοίμως ὄντας ὁ, τιοῦν ποεῖν, τοὺς μὲν, ἐκβαλόντες, τοὺς δὲ, ἀποκτείναντες. ὁ δ' Εὐφραῖος ἐκεῖνος ἀπέσφαξεν ἑαυτὸν, ἔργῳ μαρτυρήσας, ὅτι δικαίως καὶ καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθειστήκει Φιλίππῳ. τί ἂν ποτ' αἴτιον, θαυμάζετ' ἴσως, τοῦ καὶ τοὺς Ὀλυνθίους, καὶ τοὺς Ἐρετριεῖς, καὶ τοὺς Φωκέας ἥδιον πρὸς τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν, ἢ τοὺς ὑπὲρ αὐτῶν, ὅτερ καὶ παρ' ὑμῖν; ὅτι, τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν ἁδὲ βουλομένοις οὐκέτι ἐνίοτε πρὸς χάριν ἁδὺ εἰπεῖν. τὰ δὲ πράγματ' ἀνάγκη σκοπεῖν, ὅπως σωθήσεται. οἱ δ' ἐν αὐτοῖς οἷς χαρίζονται, Φιλίππῳ συμπράττουσιν. εἰσφέρειν ἐκέλευον, οἱ δ' ἁδύ. δεῖν ἔφασαν πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' εἶγεν εἰρήνην, ἕως ἐγκαταλήφθησαν. πάλλα τὸν αὐτὸν τρόπον οἶμαι πρώτ', ἵνα μὴ καθ' ἕκαστα λέγω. οἱ μὲν, ἐφ' οἷς ἤδη χαρίζονται, ταῦτ' ἔλεγον, οἱ δ' ἐξ ὧν ἔμελλον σωθήσεσθαι. πολλὰ δὲ καὶ τὰ τελευταῖα, ἐχ' ὕστερος ὅτε πρὸς χάριν, ὅτε δ' ἀγνοίαν οἱ πολλοὶ προῆντο, ἀλλ' ὑποκαταπλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἥττασθαι ἐνόμιζον. ὃ νὴ τὸν Δία, καὶ τὸν Ἀπόλλω, δεδοικα ἐγωγε, μὴ πάθοιτε ὑμεῖς, ἐπειδὴ [illegible] μᾶλλον μηδὲν ὑμῖν ἐνόν. καὶ τὰς εἰς τοῦθ' ὑπ[illegible]ῶν

οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι. ἢ γὰρ ἐξεπίτηδες, ἢ δι' ἄγνοιαν εἰς χαλεπὸν τοράγμα ὑπάγουσι τὴν πόλιν. καί τοι μὴ γένοιτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ πράγματ' ἐν τούτῳ. τεθνάναι γὰρ μυριάκις κρεῖττον, ἢ κολακείᾳ τί ποιῆσαι Φιλίππῳ, καὶ προέσθαι τῶν ὑπὲρ ὑμῶν λεγόντων τινάς. καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν αὐτούς, τὸν δ' Εὐφραῖον ἐώθουν. καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς ὑμετέρους μὲν πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δὲ ἐνέδωκεν αὐτόν. δουλεύουσί γε μαστιγούμενοι, καὶ στρεβλούμενοι. καλῶς Ὀλυνθίων ἐφείσατο, τῶν τὸν μὲν Λασθένην Ἵππαρχον χειροτονησάντων, τὸν δὲ Ἀπολλωνίδην ἐκβαλόντων. μωρία, καὶ κακία τὰ τοιαῦτα ἐλπίζειν. καὶ κακῶς βουλευομένους αὐτούς, καὶ μηδὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμένους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος, ὥς τε μηδ' ἂν ὁ, τιοῦν ἢ δεινὸν πείσεσθαι. καὶ μὴν ἐκεῖνό γε αἰσχρὸν ὕστερόν ποτ' εἰπεῖν συμβάντος τινός. τίς γὰρ ἂν ᾠήθη ταῦτα γενέσθαι, νὴ τὸν Δία; ἔδει γὰρ τὸ, καὶ τὸ, ποιῆσαι, καὶ τὸ, μὴ ποιῆσαι. πολλὰ ἂν εἰπεῖν ἔχοιεν Ὀλυνθίοι νῦν, ἃ τότε εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πολλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς; ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον, ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην, καὶ κυβερνήτην, καὶ πάντ' ἄνδρα ἐφεξῆς πρόθυμον εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀναστρέψῃ τοῦτο σκοπεῖσθαι. ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρχῃ, μάταιος ἡ σπουδή. Καὶ ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῶοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον, τί ποιῶμεν, πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται; ἐγὼ νὴ Δί' ἐρῶ καὶ γράφω δὲ, ὥς τε ἂν βούλησθε, χειροτονήσετε. αὐτοὶ πρῶτον ἀμυνόμενοι, καὶ σπουδα-

ζό-

ζόμενοι τριήρεσι, χρήμασι, καὶ στρατιώταις λέγω. καὶ γὰρ αἱ ἅπαντες δουλεύειν δήπου συγχωρήσωσιν οἱ ἄλλοι, ὑμῖν γ' ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον. ταῦτα δὴ πάντα παρασκευασάμενοι, καὶ ποιήσαντες τοῖς Ἕλλησι φανερὰ, τοὺς ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπομεν πρέσβεις πανταχοῦ, εἰς Πελοπόννησον, εἰς Ῥόδον, εἰς Χίον, ὡς Βασιλέα λέγω. οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε, τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι, ἵν' ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων, καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ· εἰ δὲ μὴ, χρόνους γε ἐμποιῆτε τοῖς πράγμασιν. ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα, καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ τοῦτ' ἄχρηστον. οὐδ' αἱ πέρυσι πρεσβεῖαι περὶ τὴν Πελοπόννησον ἐκεῖναι καὶ κατηγορίαι, ἃς ἐγὼ, καὶ Πολύευκτος ὁ βέλτιστος ἐκεινοσὶ, καὶ Ἡγήσιππος, καὶ Κλειτόμαχος, καὶ Λυκοῦργος, καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποιήσαμεν ἐπιχεῖν ἐκεῖνον, καὶ μήτ' ἐπ' Ἀμβρακίαν ἐλθεῖν, μήτ' ἐς Πελοπόννησον ὁρμῆσαι. οὐ μέν τοι λέγω μηδὲν αὐτοὺς ὑπὲρ αὐτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν, τοὺς ἄλλους παρακαλεῖν. καὶ γὰρ εὔηθες τὰ οἰκεῖα αὐτοὺς προεμένους τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ τὰ παρόντα περιορῶντας ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους φοβεῖν. οὐ λέγω ταῦτα· ἀλλὰ τοῖς μὲν ἐν Χερρονήσῳ χρήματ' ἀποστέλλειν φημὶ δεῖν, καὶ τἄλλα ὅσα ἀξιοῦσι, ποιεῖν, αὐτοὺς δὲ παρασκευάζεσθαι, καὶ πρώτους ἃ χρὴ ποιοῦντας, τότε καὶ τοὺς ἄλλους Ἕλληνας συγκαλεῖν, συνάγειν, διδάσκειν, νουθετεῖν. ταῦτ' ἐστὶ πόλεως ἀξίωμα ἐχούσης, ἡλίκον ὑμῖν ὑπάρχει. εἰ δ' οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν, ἢ Μεγαρέας, ὑμεῖς δ' ἀποδράσεσθε τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε. ἀγαπητὸν γὰρ ἂν αὐτοὶ σώζοντες τούτων ἕκαστοι. ἀλλ' ὑμῖν τοῦτο πρακτέον, ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας ἐκτήσαντο, καὶ κατέλιπον μετὰ πολλῶν, καὶ καλῶν, καὶ

με-

μεγάλων κινδύνων. εἰ δ' ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται, καὶ ὅπως μηδὲν αὐτὸς ποιήσῃ σκοπῶν, πρῶτον μὲν, οὐδὲ μή ποθ' εὕρῃ τοὺς ποιήσοντας, ἔπειτα δέδοικα, ὅπως μὴ πάντα ὅσα οὐ βουλόμεθα, ποιεῖν ἡμῖν ἀνάγκη γενήσεται. εἰ γὰρ ἦσαν, εὕρηντ' ἂν πάλαι, ἕνεκά γε τοῦ μηδὲν ἡμᾶς αὐτοὺς ποιεῖν ἐθέλειν. ἀλλ' οὐκ εἰσίν. Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω, καὶ οἴομαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα, τούτων γιγνομένων. εἰδέ τις ἔχει τούτων τι βέλτιον, λεγέτω, καὶ συμβουλευέτω. ὅ,τι δ' ὑμῖν δόξειε, τοῦτ', ὦ πάντες Θεοὶ, συνενέγκοι.



ΠΛΟΥ-

ΠΛΟΥΤΑΡΧΟΥ

ΧΑΙΡΩΝΕΩΣ,

Περὶ Παίδων ἀγωγῆς.

Τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων Παίδων ἀγωγῆς, καὶ τίνι χρώμενοι σπουδαῖοι ἂν τοῖς τρόποις ἀποβαῖεν, φέρε σκεψώμεθα. βέλτιον δὲ ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. Τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πατράσιν, ὑποθείμην ἂν ἔγωγε, μὴ ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν, λέγω δὲ οἷον ἑταίραις, ἢ παλλακαῖς. τοῖς γὰρ μητρόθεν, ἢ πατρόθεν οὐκ εὖ γεγονόσιν, ἀνεξάλειπτα παρακολουθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα τὸν βίον, καὶ πρόχειρα τοῖς ἐλέγχειν, καὶ λοιδορεῖσθαι βουλομένοις. καὶ σοφὸς ἦν ἄρα ὁ Ποιητὴς, ὅς φησιν. ὅταν κρηπὶς μὴ καταβληθῇ γένους ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους. Καλὸς οὖν παρρησίας θησαυρὸς εὐγένεια, ἧς δὴ πλεῖστον λόγον ποιητέον τοῖς νομίμου παιδοποιΐας γλιχομένοις. καὶ μὲν δὴ καὶ τὰ φρονήματα τῶν ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος, σφάλλεσθαι καὶ ταπεινοῦσθαι πέφυκε. καὶ μάλα ὀρθῶς ὁ λέγων Ποιητής φησι, δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τι ᾖ, ὅταν συνειδῇ πατρὸς, ἢ μητρὸς κακά. ὥσπερ ἀμέλει τοὐναντίον μεγαλαυχίας ἐμπίπλανται καὶ φρυάγματος, οἱ γονέων δεδοκιμῶν. Διόφαντον γοῦν τὸν Θεμιστοκλέους πολλάκις λέγουσι φάναι καὶ πρὸς πολλοὺς, ὡς ὅ,τι ἂν αὐτὸς βούληται, τοῦτο καὶ τῷ δήμῳ συνδοκεῖ

κεῖ τῶν τῶν Ἀθηναίων. ἃ μὲν γὰρ αὐτὸς ἐθέλει, καὶ ἡ μήτηρ, ἃ δ' ἡ μήτηρ, καὶ Θεμιστοκλῆς, ἃ δ' ἂν Θεμιστοκλῆς καὶ πάντες Ἀθηναῖοι. Πάνυ δὲ ἄξιον ἐπαινεῖν καὶ Λακεδαιμονίους τῆς μεγαλοφροσύνης, οἵ τινες Ἀρχίδαμον τὸν Βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν, ὑπειπόντες, ὡς οὐ Βασιλέας, ἀλλὰ βασιλίσκους παραχεῖν αὐτοῖς διανοοῖτο. Ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν, ὅπερ οὐδὲ τοῖς πρὸ ἡμῶν παρεωρᾶτο. ποῖον; ὅτι τοὺς ἕνεκα παιδοποιΐας πλησιάζοντας ταῖς γυναιξὶν, ἤτοι τὸ παράπαν ἀοίνους, ἢ μετρίως γοῦν οἰνωμένους ποιῆσθαι προσήκει τὸν συνουσιασμόν. φίλοινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν, ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. ἢ καὶ Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν καὶ παραφρονοῦν, νεανίσκε, ἔφησεν, ὁ πατήρ σε μεθύων ἔσπειρε. καὶ περὶ μὲν τῆς γενέσεως τοσαῦτα εἰρήσθω μοι. Περὶ δὲ τῆς ἀγωγῆς, καὶ δὴ λεκτέον. καθόλου μὲν εἰπεῖν, ὃ κατὰ τῶν τεχνῶν, καὶ τῶν ἐπιστημῶν λέγειν εἰώθαμεν, τ' αὐτὸν κατὰ τῆς ἀρετῆς φατέον ἐστίν. ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν, τρία δεῖ συνδραμεῖν, φύσιν, καὶ λόγον, καὶ ἔθος. καλῶ δὲ λόγον μὲν τὴν μάθησιν, ἔθος δὲ τὴν ἄσκησιν. εἰσὶ δὲ αἱ μὲν ἀρχαὶ, τῆς μαθήσεως, αἱ δὲ χρήσεις τῆς μελέτης, αἱ δὲ ἀκρότητες πάντων. καθ' ὃ δ' ἂν λειφθῇ τι τούτων, κατὰ τοῦτ' ἀνάγκη χωλὴν γίνεσθαι τὴν ἀρετήν. ἡ μὲν γὰρ φύσις ἄνευ μαθήσεως τυφλὸν, ἡ δὲ μάθησις δίχα φύσεως, ἐλλιπὲς, ἡ δὲ ἄσκησις χωρὶς ἀμφοῖν ἀτελές. Ὥσπερ δὲ ἐπὶ τῆς γεωργίας, πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα, τὸν αὐτὸν τρόπον, γῇ μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ἐποθῆκαι καὶ τὰ παραγγέλματα. ταῦτα πάντα διατεινάμενος εἴποιμι, ὅτι συνῆλθε καὶ συνέπνευσεν εἰς τὰς τῶν παρ' ἅπασιν ᾀδομένων

ψυ-

ψυχὰς, Πυθαγόρου, καὶ Σωκράτους, καὶ Πλάτωνος, καὶ τῶν ὅσοι δόξης ἀειμνήστου τετυχήκασιν. εὐδαίμων μὲν οὖν καὶ θεοφιλὴς, εἴτῳ ταῦτα πάντα Θεῶν τις ἀπέδωκεν. εἰ δέ τις οἴεται τοὺς οὐκ εὖ πεφυκότας, μαθήσεως καὶ μελέτης τυχόντας ὀρθῆς πρὸς ἀρετὴν, οὐκ ἂν τὴν τῆς φύσεως ἐλάττωσιν εἰς τοὐνδεχόμενον ἀναδραμεῖν, ἴσω πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς διαμαρτάνων. φύσεως μὲν γὰρ ἀρετὴν, διαφθείρει ῥαθυμία, φαυλότητα δὲ ἐπανορθοῖ διδαχή. καὶ τὰ μὲν ῥάδια τοὺς ἀμελοῦντας φεύγει, τὰ δὲ χαλεπὰ, ταῖς ἐπιμελείαις ἁλίσκεται. Καταμάθοις δ' ἂν, ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιουργὸν ἐπιμέλεια καὶ πόνος ἐστὶν, ἐπὶ πολλὰ τῶν γιγνομένων ἐπιβλέψας. σταγόνες μὲν γὰρ ὕδατος πέτρας κοιλαίνουσι. σίδηρος δὲ καὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν χειρῶν ἐκτρίβονται. οἱ δ' ἁρμάτειοι τροχοὶ πόνῳ καμφθέντες, οὐδ' ἂν εἴτι γένοιτο, τὴν ἐξ ἀρχῆς δύναιντο ἂν λαβεῖν εὐθυωρίαν. τάς γε μὴν καμπύλας τῶν ὑποκριτῶν βακτηρίας ἀπευθύνειν ἀμήχανον. ἀλλὰ τὸ παρὰ φύσιν, τῷ πόνῳ τῶν κατὰ φύσιν ἐγένετο κρεῖττον. καὶ μόνα ἄρα ταῦτα τὴν ἐπιμελείας ἰσχὺν διαδείκνυσιν; οὐκ ἀλλὰ καὶ μυρία ἐπὶ μυρίοις. ἀγαθὴ γῆ πέφυκεν, ἀλλ' ἀμεληθεῖσα χερσεύεται. καὶ ὅσῳ τῇ φύσει βελτίων ἐστὶ, τοσούτῳ μᾶλλον ἐξαργηθεῖσα δι' ἀμέλειαν, ἐξαπόλλυται. ἀλλ' ἔστι τις ἀπόκροτος καὶ τραχυτέρα τοῦ δέοντος; ἀλλὰ γεωργηθεῖσα, παραυτίκα γενναίους καρποὺς ἐξηνέγκε. ποῖα δὲ δένδρα, οὐκ ὀλιγωρηθέντα μὲν στρεβλὰ φύεται, καὶ ἄκαρπα καθίσταται, τυχόντα δὲ ὀρθῆς παιδαγωγίας, ἔγκαρπα γίνονται καὶ τελεσφόρα; ποία δὲ σώματος ἰσχὺς οὐκ ἐξαμβλοῦται καὶ καταφθίνει δι' ἀμέλειαν καὶ τρυφὴν καὶ καχεξίαν; τίς δ' ἀσθενὴς φύσις οὐ τοῖς γεγυμνασμένοις, καὶ καταθλήσασι πλεῖστον εἰς ἰσχὺν ἐπέδωκε; τίνες δ' ἵπποι καλῶς πωλοδαμηθέντες, οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις; τίνες δὲ δάμαστοι μείναντες, οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέβη-

σαν;

σαν; καὶ τί δεῖ τ' ἄλλα θαυμάζειν, ὅπου γε τῶν θηρίων τῶν ἀγριωτάτων, ὁρῶμεν πολλὰ καὶ τιθασσευόμενα, καὶ χειροήθη γιγνόμενα τοῖς πόνοις. εὖ δὲ καὶ ὁ Θετταλὸς ἐρωτηθεὶς, τίνες εἰσὶν οἱ ἠπιώτατοι Θετταλῶν; ἔφη. οἱ παυόμενοι πολεμεῖν. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἔθος ἐστὶ πολυχρόνιον, καὶ τὰς ἠθικὰς ἀρετὰς ἐθικὰς ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειεν. ἐνὶ δὲ περὶ τούτων ἔτι παραδείγματι χρησάμενος, ἀπαλλάξομαι τοῦ ἔτι περὶ αὐτῶν μηκύνειν. Λυκοῦργος γὰρ ὁ τῶν Λακεδαιμονίων νομοθέτης δύω σκύλακας τῶν αὐτῶν γονέων λαβὼν, οὐδὲν ὁμοίους ἀλλήλοις ἤγαγεν, ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον καὶ συνάμορον, τὸν δὲ ἐξιχνεύειν καὶ θηρᾶν δυνατόν. εἶτα ποτὲ τῶν Λακεδαιμονίων εἰς ταυτὸ συνειλεγμένων, μεγάλη τις ῥοπὴ πρὸς ἀρετῆς κύησιν ἐστὶν, ἄνδρες, ἔφησε, Λακεδαιμόνιοι, καὶ ἔθη, καὶ παιδεῖαι, καὶ διδασκαλίαι, καὶ βίων ἀγωγαί. καὶ ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά. εἶτα προσαγαγὼν τοὺς δύω σκύλακας διαφῆκε, προτεθειμένων εἰς μέσον λοπάδος, καὶ λαγωοῦ κατευθὺ τῶν σκυλάκων. καὶ ὁ μὲν ἐπὶ τὸν λαγωὸν ἤϊξεν. ὁ δὲ ἐπὶ τὴν λοπάδα ὥρμησε. τῶν δὲ Λακεδαιμονίων οὐδέπω συμβαλεῖν ἐχόντων τί ποτε αὐτῷ τοῦτο δύναται, καὶ τί βουλόμενος τοὺς σκύλακας ἐπεδείκνυεν; οὗτοι γονέων, ἔφη, τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυχόντες ἀγωγῆς, ὁ μὲν λίχνος, ὁ δὲ θηρευτὴς ἀποβέβηκε. Καὶ περὶ μὲν ἐθῶν καὶ βίων, ἀρκείτω ταῦτα, περὶ δὲ τροφῆς, ἐχόμενον ἂν εἴη λέγειν. Δεῖ δὲ ὡς ἐγὼ ἂν φαίην, αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν, καὶ τούτοις ὑπέχειν τοὺς μαστούς· συμπαθέστερόν τε γὰρ θρέψουσι, καὶ διὰ πλείονος ἐπιμελείας, ὡς ἂν εὔδοθεν καὶ τὸ δὴ λεγόμενον, ἐξ ἁπαλῶν ὀνύχων ἀγαπῶσαι τὰ τέκνα. αἱ τίτθαι δὲ καὶ αἱ τροφοὶ τὴν εὔνοιαν ὑποβολιμαίαν καὶ παρέγγραπτον ἔχουσιν, ἅτε μισθοῦ φιλοῦσαι. δηλοῖ δὲ καὶ ἡ φύσις, ὅτι δεῖ τὰς μητέρας ἃ γεγεννήκασιν, αὐτὰς τιτθεύειν, καὶ τρέφειν.

φειν. δεῖ γὰρ τῷ παντὶ ζώῳ τεκόντι, τὴν ἐκ τοῦ γάλακτος τροφὴν ἐχορήγησε. σοφὸν δὲ ἄρα ἡ πρόνοια, δισσοὺς ἐνέθηκε ταῖς γυναιξὶ τοὺς μαστούς, ἵνα κἂν εἰ δίδυμα τέκοιεν, δισσὰς ἔχοιεν τὰς τῆς τροφῆς πηγάς. χωλὸς δὲ τέκνων, ἀνιαρότερα καὶ τοῖς τέκνοις γίγνοιντ' ἄν, καὶ φιλοτιμώτερα. καὶ μὰ Δί' οὐκ ἀπεικότως. ἡ συμφορία γὰρ, ὥσπερ ὀπτόνιόν ἐστι τῆς διανοίας. καὶ δὴ τὰ θηρία τῶν συμφερομένων ἐπιποθοῦντα, ταῦτα ποθοῦντα φαίνεται. Μάλιστα μὲν οὖν, ὥσπερ ἔφην, αὐτὰς πειρατέον τὰ τέκνα τρέφειν τὰς μητέρας. εἰ δ' ἄρα ἀδυνάτως ἔχοιεν, ἢ δι' σώματος ἀδυναμίαν (γένοιτο γὰρ ἄν τι καὶ τοιοῦτον ἢ πρὸς ἕτερον τέκνων ἀποδίδοσθαι γένεσιν, ἀλλὰ τάς γε τίτθας καὶ τροφὰς, καὶ τὰς τυχούσας, ἀλλ' ὡς οἷόν τε μάλιστα ἀπαιδάλης δοκιμαστέον ἐστί. πρῶτον μὲν τοῖς ἤθεσιν Ἑλληνίδας. ὥσπερ γὰρ τὰ μέλη τοῦ σώματος οὐδὲν ὁμοίως πλάττειν ἱκανὸν πέφυκεν ἀναγκαῖον ἐστὶν, ἵνα ταὐτὰ ὀρθὰ καὶ ἀστραβῆ φύηται· τὸν αὐτὸν τρόπον ἐξ ἀρχῆς τὰ τῶν τέκνων ἤθη ῥυθμίζειν πρωτόνικον. Εὔπλαστον δὲ καὶ ὑγρὸν ἡ νεότης, καὶ ταῖς τῶν παίδων ψυχαῖς ἁπαλαῖς ὄντι τὰ μαθήματα ἐνίσταται· πᾶν δὲ τὸ σκληρὸν χαλεπῶς μαλάττεται. καθάπερ γὰρ σφραγῖδες τοῖς ἁπαλοῖς ἐναποτυπάττονται κηροῖς, οὕτως αἱ μαθήσεις ταῖς τῶν ἔτι παίδων ψυχαῖς ἐναποτυποῦνται. καί μοι δοκεῖ Πλάτων ὁ ἡμέτερος ἐμμελῶς παραινεῖν ταῖς τίτθαις, μὴ τοὺς τυχόντας μύθους τοῖς παιδίοις λέγειν, ἵνα μὴ τὰς τῶν ψυχὰς εἰς ἀρχῆς, οἵας καὶ ἁμαρτάνειν ἀναπίμπλασθαι συμβαίνῃ· κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ Ποιητὴς καλῶς παραινεῖν, λέγων· παῖδ' ἔτ' ὄντα χρεὼν δὴ καλὰ διδάσκειν ἔργα. Οὐ τοίνυν μόνον τοῦτο ἀφελητέον ἀξιόν ἐστιν, ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς ξυμφέρουσιν ὑπηρετεῖν, καὶ τύποις σωφρονίζεσθαι, ζητητέον παράτασιν ποιῇ, ἀποδιδοῦσα τοὺς τόκους. ἔτι μέντοι Ἑλληνικὰ καὶ φιλόσοφα λαβεῖν, ἵνα μὴ συνεπιχωνεύωνται βαρβάροις καὶ τὰ ἤθος μιγνύηται, διαστρέφονται τὰ τῆς ἐκείνων φαν-

φαυλότητος. καὶ οἱ παροιμιαζόμενοι δέφασιν, οὐκ ἀπὸ τρόπου λέγοντες, ὅτι ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήνῃ. Ἐπειδὰν τοίνυν ἡλικίαν λάβωσιν, ὑπὸ παιδαγωγοῖς τετάνθαι, ἐνταῦθα δὴ πολλὴν ἐπιμέλειαν ἐκτέον τῆς τούτων καταστάσεως, ὡς μὴ λάθωσιν, ἀνδραπόδοις, ἢ βαρβάροις, ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες. ἐπεὶ νῦν γε τὸ γινόμενον πολλοῖς, ὑπερκαταγέλαστόν ἐστι. τῶν γὰρ δούλων τῶν σπουδαίων, τοὺς μὲν γεωργοὺς ἀποδεικνύουσι, τοὺς δὲ ναυκλήρους, τοὺς δὲ ἐμπόρους, τοὺς δὲ οἰκονόμους, τοὺς δὲ δανειστάς· ὅ,τι δ' ἂν εὕρωσιν ἀνδράποδον οἰνόληπτον καὶ λίχνον, πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς υἱούς. δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν τοιοῦτον εἶναι τῇ φύσει, οἷός περ ἦν ὁ Φοίνιξ ὁ τοῦ Ἀχιλλέως παιδαγωγός. τὸ δὲ πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων, ἄρχομαι φράσων. Διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι, καὶ τοῖς τρόποις ἀνεπίληπτοι, καὶ ταῖς ἐμπειρίαις ἄριστοι. πηγὴ γὰρ καὶ ῥίζα καλοκἀγαθίας, τὸ νομίμου τυχεῖν παιδείας. καὶ καθάπερ τοὺς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτως οἱ νόμιμοι τῶν διδασκάλων, ἐμμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύουσι τοῖς νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνῃ τὰ ἤθη. Νυνὶ δέ τις καὶ καταπτύσειε τῶν Πατέρων ἐνίων, οἵτινες πρὶν δοκιμάσαι τοὺς μέλλοντας διδάσκειν, δι' ἁγιοίαν ἔσθ' ὅτε καὶ δι' ἀπειρίαν, ἀνθρώποις ἀδοκίμοις, καὶ παρασήμοις ἐγχειρίζουσι τοὺς παῖδας. καὶ οὔπω τοῦτό ἐστι καταγέλαστον, εἰ καὶ δι' ἀπειρίαν αὐτὸ πράττουσι. ἐκεῖνο δὲ ἐχάτως ἄτοπον. τὸ ποῖον; ἐνίοτε γὰρ εἰδότες, αἰσθομείοις μᾶλλον αὐτοῖς τοῦτο λεγόντων, τὴν ἐνίων τῶν παιδευτῶν ἀπειρίαν ἅμα καὶ μοχθηρίαν, ὅμως τούτοις ἐπιτρέπουσι τοὺς παῖδας· οἱ μὲν ταῖς τῶν ἀρεσκομένων ἡττώμενοι κολακείαις, εἰσὶ δὲ οἱ δεομένοις χαριζόμενοι φίλοις· παρόμοιον ποιοῦντες, ὥσπερ ἂν εἴ τις καὶ σώματι κάμνων, τὸν

ωτικὸν βασιλέως διωκήσεται ὡς σῶσαι πολιτῶν, φίλῳ χα-
ριζόμενος τὸν δι' ἀπειρίαν ἀπολέσοντα, ἢ αὐτὸν προέλοιτο ἢ
παιδίσκην τὸν ἄριστον ἀφεὶς, τὸν χείριστον δοκιμάσειε, φίλα
δακτύλους. Ζῶ γὰρ θεοὶ πατέρες. Πατὴρ τις καλέμβρος, πλεί-
στου ἄξιον τῶν ἑῷ δεσμῶν ποιεῖται χείμιτος, ἢ τῆς τῷ τέκνων
παιδείας; Εἶτ' ἐκ εἰκότα πολλάκις Κράτης ἐκεῖνος ὁ πα-
λαιὸς ἔλεγεν; ὅτι εἴπερ ἄρα δυνατὸν ἦν, ἀναβαίνει δεῖ τὸ
μισαρώτατον τῆς πόλεως ἀνεκρωγεῖν μέρος. ὦ ἄνθρωποι,
πρὸ φρίδος, εἴ τινες χρημάτων μὲν κτήσεως ἕνεκα πάσαν ποιεῖ-
σθε σπουδὴν, τῶν δ' υἱέων οἷς ταῦτα καταλείψετε, μικρὰ
φροντίζετε; κἄτοις δ' αὖ ἔγωγε προσθείλω, ὅτι οἱ τοιοῦτοι πα-
τέρες ἀδημονιόσιν ποιοῦσιν, οἷον εἴτις τῷ μὲν ὑποδήμασι
φροντίζοι, τῷ δὲ ποδὶ ὀλιγώρως ἔχοι. πολλοὶ δὲ εἰς τοσα-
τον τῶν Πατέρων προβαίνουσι φιλαργυρίας ἅμα καὶ μισοπο-
νίας, ὥστ' ἴνα μὴ πλέονα μισθὸν τελέσειαν, ἀνθρώπους τοὺς
μισθοὺς τιμίους διδόντας τοῖς τέκνοις παιδευτὰς, φύσιον α-
μαθίαν διώκοντες. ἢ καὶ Ἀρίστιππος οὐκ ἀκόμψως, ἀλλὰ καὶ
πάνυ ἀστείως ἐπέσκωψέ τῳ λόγῳ πατέρα τινὰ καὶ φρενῶν κε-
νόν. ἐρωτήσαντος γάρτινος αὐτὸν, πόσου αἰτοίη μισθὸν ὑπὲρ
τοῦ τέκνα παιδεύσεως; χιλίας, ἔφη, δραχμάς. τῶ δῖ,
Ἡράκλεις, εἰπόντος, ὡς ὑπέρπολυ τὸ αἴτημα· δυοῖν μοι δὴ
ἀνδράποδον χιλίων πρίασθαι. πονηρὸν εἶπε, δύο ἕξεις ἀν-
δράποδα, καὶ τὸν υἱὸν, καὶ ὃν αὐ πρίῃ. Τὸ δ' ὅλον, πῶς οὐκ ἄτο-
πον; τῇ μὲν δεξιᾷ συνεθίζειν τὰ παιδία διδόσθαι τοὺς ξο-
φούς, καὶ προτείνειν τὼ ἀριστερὰν, ἔπιτιμᾶν, μηδὲ μίαν
δ' ποιεῖσθαι πρόνοιαν τῶ λόγων ὀρθοδιδάκτων καὶ νομίμων ἀκοῦειν;
τ' ἔν συμβαίνει τοῖς θαυμασοῖς παιδάσιν, ἐπειδὰν κακῶς
μὲν θρέψωσι, κακῶς δὲ παιδεύσωσι τοὺς υἱεῖς, ἐγὼ φράσω.
Ὅταν γὰρ εἰς ἄνδρας ἐγγεγραφότες, τῶ μὲν ὑγιαίνοντος καὶ τε-
τυμμένω βίω καταφρονήσωσιν, ὅτι δὲ τοὺς αὐτύκτους καὶ ἀνδρα-
ποδώδεις ἡδονὰς ἑαυτοὺς κρημνίσωσι, τότε δὴ μεταμελόντα

τὴν τῶν τέκνων προδεδωκότες παιδείαν, ὅτε οὐδὲν ὄφελος, τοῖς ἐκείνων ἀδικήμασιν ἀδημονοῦντες. οἱ μὲν γὰρ αὐτῶν, κόλακας καὶ παρασίτους ἀναλαμβάνουσιν, ἀνθρώπους ἀσήμους καὶ καταράτους, καὶ τῆς νεότητος ἀναξοπέας καὶ λυμεῶνας. οἱ δέ τινες ἑταίρας καὶ χαμαιτύπας μισθοῦνται, σοβαρὰς καὶ πολυτελεῖς. οἱ δὲ κατοψοφαγοῦσιν. οἱ δὲ εἰς κύβους, καὶ κώμους ἐξοκέλλουσιν. ἤδη δέ τινες καὶ τῶν νεανικωτέρων ἅπτονται κακῶν, μοιχεύοντες καὶ κιττοφοροῦντες, καὶ μίαν ἡδονὴν θανάτου τιμώμενοι. φιλοσόφῳ δὲ ὁμιλήσαντες οὗτοι, οὐ τοῖς ἴσοις πράγμασιν ἑαυτοὺς ἂν καταπειθεῖς παρέχοντο. καὶ τόγε παράγγελμα τοῦ Διογένους ἔμαθον ἂν, ὃς φορτικῶς μὲν τοῖς ῥήμασιν, ἀληθῶς δὲ τοῖς πράγμασι παραινεῖ, καί φησιν; εἴσελθε εἰς πορνεῖόν που, ἵνα μάθῃς, ὅτι τῶν ἀναξίων τὰ τίμια οὐδὲν διαφέρει. Συνελὼν τοίνυν ἐγώφημι, καὶ χρησμολογεῖν μᾶλλον, ἢ παραινεῖν δόξαιμ' ἂν εἰκότως, ὅτι ἐν πρῶτον καὶ μέσον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον, ἀγωγὴ ἀπαιδαῖα καὶ παιδεία νόμιμός ἐστι. καὶ ταῦτα φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν, καὶ πρὸς εὐδαιμονίαν φημί. καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν, ἀνθρώπινα, καὶ μικρὰ, καὶ οὐκ ἀξιοπούδαστα καθέστηκεν. Εὐγένεια, καλὸν μὲν, ἀλλὰ προγόνων ἀγαθόν. πλοῦτος δὲ, τίμιον μὲν, ἀλλὰ τύχης κτῆμα. ἐπειδὴ τῶν μὲν ἐχόντων πολλάκις ἀφείλετο, τοῖς δ' οὐκ ἐλπίσασι, φέρουσα προσηνέγκε, καὶ ὁ πολὺς πλοῦτος σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλλάντια τοξεύειν, κακούργοις οἰκέταις καὶ συκοφάνταις. καὶ τὸ μέγιστον, ὅτι καὶ τοῖς πονηροτάτοις μέτεστι. δόξα γεμὴν, σεμνὸν, ἀλλ' ἀβέβαιον. κάλλος δὲ, πρωμάχητον μὲν, ἀλλ' ὀλιγοχρόνιον. ὑγίεια δὲ, τίμιον μὲν, ἀλλ' εὐμετάστατον. ἰσχὺς δὲ, ζηλωτὸν μὲν, ἀλλὰ νόσῳ εὐάλωτον, καὶ γήρᾳ. τὸ δὲ ὅλον, εἴτις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. πόστον γάρ ἐστιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζώων δυνάμεως, λέγω δὲ ὅλον

Ἐλεφάντων, καὶ Ταύρων, καὶ Λεόντων; παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. καὶ δύω τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος· καὶ ὁ μὲν νοῦς, ἀρχικός ἐστι τοῦ λόγου· ὁ δὲ λόγος, ὑπηρετικὸς τοῦ νοῦ, τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δὲ ἀναφαίρετος, νόσῳ δὲ ἀδιάφθορος, γήρᾳ δ' ἀλύμαντος. μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ, καὶ ὁ χρόνος τ' ἄλλα πάντα ἀφαιρῶν τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. ὁ γεμὴν πόλεμος χειμάρρου δίκην πάντα σύρων, καὶ πάντα παραφέρων, μόνην οὐ δύναται παιδείαν παρελέσθαι. Καί μοι δοκεῖ Στίλπων ὁ Μεγαρεὺς Φιλόσοφος, ἀξιομνημόνευτον ποιῆσαι ἀπόκρισιν, ὅτε Δημήτριος ἐξανδραποδισάμενος τὴν πόλιν εἰς ἔδαφος κατέβαλε, καὶ τὸν Στίλπωνα ἤρετο, μήτι ἀπολωλεκὼς εἴη· καὶ ὅς, οὐ δῆτα εἶπε. πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν. Σύμφωνος δὲ καὶ συμῳδὸς, καὶ ἡ Σωκράτους ἀπόκρισις ταύτῃ φαίνεται. καὶ γὰρ οὗτος ἐρωτήσαντος αὐτὸν, ὥς μοι δοκεῖ, Γοργίου, ἣν ἔχει περὶ τοῦ μεγάλου Βασιλέως ὑπόληψιν, καὶ εἰ νομίζει τοῦτον εὐδαίμονα εἶναι, οὐκ οἶδα ἔφησε, πῶς ἀρετῆς καὶ παιδείας ἔχει, ὡς τῆς εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένης. Ὥσπερ δὲ παραινῶ, τῆς παιδείας τῶν τέκνων μηδὲν ποιεῖσθαι τοροὐργιαίτερον, οὕτω δ' αὖ πάλιν φημὶ δεῖν, τῆς ἀδιαφθόρου καὶ ὑγιαινούσης ἔχεσθαι. τῶν δὲ πανηγυρικῶν λήρων, ὡς πορρωτάτω τοὺς υἱεῖς ἀπάγειν. τὸ γὰρ τοῖς πολλοῖς ἀρέσκειν, τοῖς σοφοῖς ἐστιν ἀπαρέσκειν. μαρτυρῶ δέ μου τῷ λόγῳ καὶ Εὐριπίδης λέγων· ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον, εἰς ἥλικας δὲ κῳλίγους σοφώτερος. οἱ δ' ἐν σοφοῖς φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι λέγειν. ὁρῷ δ' ἔγωγε τοὺς τοῖς συρφετώδεσιν ὄχλοις ἀρεστῶς καὶ κεχαρισμένως ἐπιτηδεύοντας λέγειν, καὶ τὸν βίον ὡς τὰ πολλὰ ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας. καὶ νὴ Δί' εἰκότως. εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευάζοντες, ἀμελοῦσι τοῦ καλοῦ, σχολῇ

γ' αὖ

γ' ἂν τῆς ἰδίας ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω τὸ ὀρθὸν, καὶ ὑγιὲς ποιήσαιντο, ἢ τὸ σῶφρον ἀντὶ τοῦ τερπνοῦ διώξαιεν. Πρὸς δὲ τούτοις, τί ἂν τοὺς παῖδας χρηστὸν ἕτερον διδάξαιμεν, καὶ τίσιν ἀγαθοῖς ἐπιφύεσθαι παραινέσαιμεν; καλὸν γάρ τοι μηδὲν εἰκῇ μήτε λέγειν, μήτε πράττειν, καὶ κατὰ τὴν παροιμίαν, χαλεπὰ τὰ καλά. οἱ δ' αὐτοσχέδιοι τῶν λόγων, πολλῆς εὐχερείας, καὶ ῥᾳδιουργίας εἰσὶ πλήρεις, οὔθ' ὅθεν ἀρκτέον, οὔθ' ὅποι παυστέον ἐστὶν, εἰδότων. χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων, οἳ ἂν ἐκ τοῦ παραχρῆμα λέγουσιν, εἰς ἀμετρίαν δεινὴν ἐμπίπτουσι, καὶ πολυλογίαν. σκέψις δ' οὐκ ἐᾷ τῆς ἱκνουμένης συμμετρίας τὸν λόγον ἐκπίπτειν. ὁ Περικλῆς, ὡς ἡμῖν ἀκούειν παραδέδοται, καλούμενος ὑπὸ τοῦ δήμου πολλάκις, οὐχ ὑπήκουσε, λέγων, ἀσύντακτος εἶναι. ὡσαύτως δὲ καὶ Δημοσθένης ζηλωτὴς τῆς τούτου πολιτείας γενόμενος, καλούντων αὐτὸν τῶν Ἀθηναίων σύμβουλον, ἀντέβαινεν, οὐ συντέταγμαι, λέγων. καὶ ταῦτα μὲν ἴσως, ἀδέκτοτός ἐστι, καὶ πεπλασμένη παράδοσις. ἐν δὲ τῷ κατὰ Μειδίου τὴν τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησι· φησὶ γοῦν. ἐγὼ δὲ ἐσκέφθαι μὲν ὦ Ἀθηναῖοι φημὶ, κοὐκ ἂν ἀρνηθείην, καταμεμελετηκέναι γε ὡς ἐνῆν μάλιστα ἐμοί. καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν, καὶ πάσχων, ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἔμελλον. Τὸ δὲ δὴ παντάπασιν ἀποδοκιμάζειν τῶν λόγων τὴν ἑτοιμότητα, ἢ πάλιν αὖ ταύτην οὐκ ἐπ' ἀξίοις ἀσκεῖν, οὐ φαίην ἂν ἔγωγε, ἀλλ' ὡς ἐν φαρμάκου μοίρᾳ, τοῦτο ποιητέον ἐστί. μέχρι δὴ τῆς τῶν ἀνδρῶν ἡλικίας, οὐδὲν ἐκ τοῦ παρατυχόντος ἀξιῶ λέγειν. ἀλλ' ὅταν τις ῥιζώσῃ τὴν δύναμιν, τότε τῶν καιρῶν καλούντων, ἐλευθεριάζειν τοῖς λόγοις προσῆκον. ὥσπερ γὰρ οἱ πολὺν χρόνον δεθέντος, κἂν λυθεῖεν, ὕστερον ὑπὸ τῆς πολυχρονίου τῶν δεσμῶν συνηθείας οὐ δυνάμενοι βαδίζειν ὑποσκελίζονται, τὸν αὐτὸν τρόπον οἱ πολλῷ χρόνῳ τὸν λόγον σφίγξαντες, κἂν εἴποτε ἐκ τοῦ παραχρῆμα

δικίσεως εἰπεῖν, ὡδὶ γὰρ ἦττον τὸν αὐτὸν τῆς ἁρμονίας χαρακτῆρα φυλάττουσι. τὸ δὲ ἔτι παῖδας ὄντας, ἐὰν δέῃ καιρὸς λέγειν, ματαιολογίας τῆς ἐσχάτης αἴτιον καθίστατε. Ζωγράφος, φασίν, ἄθλιος Ἀπελλῆ δείξας εἰκόνα, παύτην, ἔφη, νυνὶ γέγραφα. ὁ δὲ, ἀλλ' οὐ μὴ λέγῃς, εἶπεν, οἶδα, ὅτι ταχὺ γέγραπται, θαυμάζω δὲ, πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας. Ὥσπερ τοίνυν (ἐπανάγω γὰρ πρὸς τοὺς ἐξ ἀρχῆς τὸν λόγον ὑπάθεσιν) τοὺς θιατειχίου καὶ τοξάγωδον, ὅπως αὖ πάλιν καὶ τοὺς συμπολογίαν τῆς λέξεως καὶ παρέτασιν, παραινῶ διαλαβεῖσθαι καὶ φυλάττειν. ἡ μὲν γὰρ ὑπερόγκος, ἀπολίτευτός ἐστιν, ἡ δὲ ἰσχνὴ, λίαν ἀνέκπλυτος. καθάπερ δὲ τὸ σῶμα οὐ μόνον ὑγιαινὸν, ἀλλὰ καὶ ἀγωνιστικὸν εἶναι χρὴ, καὶ τὸν λόγον οὕτω οὐκ ἀσφαλοῦς μόνον, ἀλλὰ καὶ εὔρωστον εἶναι δεῖ. τὸ μὲν γὰρ ἀσφαλὲς, ἐπαινεῖται μόνον. τὸ δὲ ἐπαίνου, καὶ θαυμάζεται. τοῦδε τυγχάνω γνώμην ἔχων, καὶ περὶ τῆς ἐν τῇ ψυχῇ διαθέσεως· ὥσπερ γὰρ θραυτὸν, οὕτ' ἀπαλὸν καὶ ἁπτὸν προσῆκεν εἶναι. τὸ μὲν γὰρ εἰς αὐθαδιστίαν, τὸ δὲ εἰς ἀθρανδαδωδίαν τρέπεται, σύντεχνον δὲ τὸ τοῦ μέσου ἐν ἅπασι τέμνειν ἐμμελέστατα. Βούλομαι δ' ἔως ἔτι μίμνημαι τῆς παιδείας, ὡς ἔχω δόξης περὶ αὐτῆς εἰπεῖν, ὅτι τὸν μονόκωλον λόγον, πρῶτον μὲν ἀμουσίας ἐμικρὸν ποιῶμαι τεκμήριον, ἔπειτα δὲ καὶ πρὸς τοὺς ἀσκητὰς ἀψίκορον, καὶ πάντη ἀηδιμένον εἶναι νομίζω. μονῳδία γὰρ ἐν ἅπασιν ὄγκῳ, πλήθει τε καὶ πρόσωπις· ἡ δὲ ποικιλία, θερμὸν, καθάπερ καὶ τοῖς ἄλλοις ἅπασιν, οἷον ἀκούσμασιν, ἢ θεάμασι. δεῖ τοίνυν τὸν παῖδα τὸν ἐλεύθερον, μηδενὸς μηδὲ τῶν ἄλλων τῶν καλλιστείων ἐγκυκλίων παιδευμάτων ἢ μὴ τε ἀνήκοον, μὴτε ἀθέατον ἐᾶν εἶναι, ἀλλὰ πάντα μου, ἐκ τοῦ ἁδρομὴς μανθάνειν ὥσπερεὶ γεύματος σύνεχον (ἐν ἅπασι γὰρ τὸ πλέον ἀδιάφορον) τοὺς δὲ φιλοσοφίαν προσβύειν. ἔλω δὲ δὴ εἰκόνος ἔξωθεν τοὺς ἐμαυτῷ γνώμην.

ὥσπερ

ὥσπερ γὰρ περιπλεῦσαι μὲν πολλὰς πόλεις καλὸν, ἐνοικεῖσαι δὲ τῇ κρατίστῃ χρήσιμον. ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ Φιλόσοφος· ὅτι ὥσπερ οἱ μνηστῆρες τῇ Πηνελόπῃ πλησιάζειν μὴ δυνάμενοι, ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις· οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν, ἐν τοῖς ἄλλοις παιδεύμασι τοῖς οὐδενὸς ἀξίοις, ἑαυτοὺς καπισκελετεύουσι. διὸ δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν, τὴν φιλοσοφίαν. Περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμέλειαν, δισσὰς εὗρον ἐπιστήμας ἄνθρωποι, τὴν ἰατρικὴν, καὶ γυμνασικὴν, ὧν ἡ μὲν τὴν ὑγιείαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι. τῶν δὲ τῆς ψυχῆς ἀῤῥωστημάτων καὶ παθῶν, ἡ φιλοσοφία μόνη φάρμακόν ἐστι. διὰ γὰρ ταύτην ἐστὶ καὶ μετὰ ταύτης γνῶναι, τί τὸ καλὸν, τί τὸ αἰσχρὸν, τί τὸ δίκαιον, τί τὸ ἄδικον, τί τὸ συλλήβδην αἱρετὸν, ἢ φευκτὸν, πῶς Θεοῖς, πῶς γονεῦσι, πῶς πρεσβυτέροις, πῶς νόμοις, πῶς ἀλλοτρίοις, πῶς ἄρχουσι, πῶς φίλοις, πῶς γυναιξὶ, πῶς τέκνοις, πῶς οἰκέταις χρηστέον ἐστίν. ὅτι δεῖ Θεοὺς μὲν σέβεσθαι, γονέας δὲ τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾶν, πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μὴ περιυβρίζειν, τὸ δὲ μέγιστον, μήτε ἐν ταῖς εὐπραγίαις περιχαρεῖς, μήτε ἐν ταῖς δυσπραγίαις περιλύπους ὑπάρχειν, μήτε ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι, μήτε ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις· ἅπερ ἐγὼ πάντων τῶν ἐν φιλοσοφίας περιγινομένων ἀγαθῶν, πρεσβύτατα κρίνω. τὸ μὲν γὰρ εὐγενῶς εὐτυχεῖν, ἀνδρός. τὸ δ' ἀνεπιφθόνως, εὐηνίου ἀνθρώπου. τὸ δὲ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν, σοφῶν. τὸ δὲ ὀργῆς κατακρατεῖν, ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. Τελείους δὲ ἀνθρώπους ἡγοῦμαι, τοὺς δυναμένους τὴν πολιτικὴν δύναμιν μίξαι καὶ κεράσαι τῇ φιλοσοφίᾳ, καὶ δυοῖν ὄντοιν μεγίστοιν ἀγαθοῖν ἐπηβόλους ὑπάρχειν ὑπολαμβάνω, τοῦτο κοινωφελοῦς βίου, πολιτευο-

μενίας, πῶς ἀνύμενος ἢ γαλλιῶν, διατείβοντες τὸν φιλοσοφίαν. Τριῶν γὰρ ὄντων βίων, ὧν ὁ μὲν ἐστι πρακτικὸς, ὁ δὲ θεωρητικὸς, ὁ δὲ ἀπολαυστικός· ὁ μὲν ἄκλυτος ἢ δεκτικὸς τῶν πάθων, ζωώδης ἢ μικροπρεπὴς ἐστιν· ὁ δὲ θεωρητικὸς τὸ πρακτικὸν διαμαρτάνων, ἀνωφελής· ὁ δὲ πρακτικὸς ἀμοιρήσας φιλοσοφίας, ἄμουσος ἢ ἀλιμμελής· πειρατέον ἂν εἰς δύναμιν, ἢ τὰ κοινὰ πράττειν, ἢ τῆς φιλοσοφίας ἀπολαμβάνεσθαι ἢ τὸ περιττὸν τῶν καιρῶν. ὅπως ἐπολιτεύσατο Περικλῆς, ὅπως Ἀρχύτας ὁ Ταραντῖνος, ὅπως Δίων ὁ Συρακούσιος, ὅπως Ἐπαμινώνδας ὁ Θηβαῖος, ὧν ἑκάτερος Πλάτωνος ἐγένετο συνουσιαστής· ἢ τῷ μὲν παιδείας, οὐδ' ὅτι δεῖ πλείονα λέγοντα διατείβειν· πρὸς δὲ τοῖς ἐρημίαις χρήσιμον, μᾶλλον δὲ ἀναγκαῖόν ἐστι, μηδὲ τῆς τῶν παλαιῶν συγγραμμάτων κτήσεως ὀλιγώρως ἔχειν, ἀλλὰ ἢ πλείω ποιεῖσθαι συλλογὴν ἢ τὸ γεωργῶντες, τὸν αὐτὸν τρόπον, ὄργανον τῆς παιδείας, ἡ χρῆσις τῶν βιβλίων ἐστὶ, ἢ δοκεῖ τισὶ τῶν δοκίμων πρεῖν συμβάλλεσθαι. Οὐ τοίνυν ἄξιον, οὐδὲ τὸν τῶν σωμάτων ἀγωνίαν παρορᾶν, ἀλλὰ πέμποντας εἰς παιδοτρίβου τοὺς παῖδας, ἱκανῶς ταῦτα διατρονεῖν, ἅμα μὲν τῆς τῶν σωμάτων εὐρυθμίας ἕνεκεν, ἅμα δὲ ἢ πρὸς ῥώμην. καλῶς γὰρ γήρως θεμέλιον ἐν παισὶν, ἡ τῶν σωμάτων εὐεξία· καθάπερ ἂν ἐν οἰκίᾳ τὰ πρὸς τὸν χειμῶνα προσπεπονθέναι διαζῆν, οὕτως ἐν νεότητι τὴν εὐταξίαν ἢ τὴν σωφροσύνην, εὔφορον εἰς τὸ γῆρας διατίθεσθαι. ἅπερ δεῖ περιεῖσθαι τὸν τοῦ σώματος πόνον, ὡς μὴ καταξήρους γίνεσθαι, πρὸς τὴν τῆς παιδείας ἐπιμέλειαν ἀπαγορεύειν· ἢ γὰρ Πλάτωνα, ὕπνοι ἢ κόποι μαθήμασι πολέμιοι. ἢ τί τοῦτο; ἀλλ' ὃ πάντων ἐστὶ χαλεπώτατον τῶν ἐρημιῶν, αὐτὸν λέγειν. πρὸς γὰρ τοὺς στρατιωτικοὺς ἀγῶνας, τοὺς παῖδας ἀσκητέον, ἐν ἀκοντισμοῖς αὐτοὺς καταθλοῦντας, ἢ τοξείαις, ἢ θήραις. τὰ γὰρ τῶν ἀστωμύλων ἐν ταῖς μάχαις ἀγαθὰ, τοῖς

νικῶσιν ἆθλα πρόκειται. πόλεμος δὲ, ἐσκιαγραφημένην σωμάτων ἕξιν οὐ δέχεται. ἰσχνὸς δὲ στρατιώτης πολεμικῶν ἀγώνων ἐθὰς, ἀθλητῶν καὶ πολεμίων φάλαγγας διωθεῖ. Τί οὖν ἄντις εἴποι; σὺ δὲ δὴ τῆς περὶ τῶν ἐλευθέρων παίδων ἀγωγῆς ὑποσχόμενος παραδείγματα δώσειν, ἔπειτα φαίνῃ τῆς μὲν τῶν πενήτων καὶ δημοτικῶν παραμελῶν ἀγωγῆς, μόνοις δὲ τοῖς πλουσίοις ὁμονοεῖς τὰς ὑποθήκας διδόναι· πρὸς οὓς οὐ χαλεπὸν ἀπαντῆσαι. ἐγὼ γὰρ μάλιστα ἂν βουλοίμην πᾶσι κοινῇ χρήσιμον εἶναι τὴν ἀγωγήν. εἰ δέ τινες ἐνδεῶς τοῖς ἰδίοις πράττοντες ἀδυνατήσουσι τοῖς ἐμοῖς χρήσασθαι παραγγέλμασι, τὴν τύχην αἰτιάσθωσαν, οὐ τὸν ταῦτα συμβουλεύοντα. πειρατέον μὲν οὖν εἰς δύναμιν, τὴν κρατίστην ἀγωγὴν ποιεῖσθαι τῶν παίδων, καὶ τοῖς πένησιν· εἰ δὲ μὴ, τῇ γε δυνατῇ χρηστέον. Καὶ ταῦτα μὲν δὴ τῷ λόγῳ παρεφορτισάμην, ἵν' ἐφεξῆς καὶ τ' ἄλλα τὰ φέροντα πρὸς τὴν ὀρθὴν τῶν νέων ἀγωγὴν συνάψω. Κἀκεῖνο φημὶ, δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν, παραινέσεσι καὶ λόγοις, μὴ μὰ Δία, πληγαῖς, μηδ' αἰκισμοῖς· δοκεῖ γάρ που ταῦτα τοῖς δούλοις μᾶλλον, ἢ τοῖς ἐλευθέροις πρέπειν. ἀποναρκῶσι γὰρ καὶ φρίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ καὶ διὰ τὰς ὕβρεις. ἔπαινοι δὲ καὶ ψόγοι, πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις, οἱ μὲν ἐπὶ τὰ καλὰ παρορμῶντες, οἱ δὲ ἀπὸ τῶν αἰσχρῶν ἀνείργοντες. δεῖ δὲ ἐναλλὰξ καὶ ποικίλως χρῆσθαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις· κἀπειδάν ποτε εὐφρανῶνται ταῖς ἐπιπλήξεσιν, ἐν αἰσχύνῃ ποιεῖσθαι. καὶ πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαίνοις, καὶ μιμεῖσθαι τὰς τίτθας, αἵ τινες, ἐπειδὰν τὰ παιδία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν πάλιν τὸν μαστὸν ὑπέχουσι. δεῖ δὲ αὐτοὺς, μηδὲ τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν· χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν ἐπαίνων καὶ θρύπτονται. Ἤδη δέ τινας ἐγὼ εἶδον πατέρας, οἷς

τὸ

τὸ λίαν φιλεῖν, τοῦ μὴ φιλεῖν αἴτιον κατέστη. τί οὖν ἐστιν, ὃ βούλομαι λέγειν; ἵνα τῷ παραδείγματι φωτεινότερον ποιήσω τὸν λόγον. σπεύδοντες γὰρ τοὺς παῖδας ἐν πᾶσι τάχιον πρωτεῦσαι, πόνους αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐμπίπτουσι, καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοποθείαις, οὐ δέχονται τὴν μάθησιν εὐηνίως. ὥσπερ γὰρ τὰ φυτὰ, τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐτὸν τρόπον ψυχὴ, τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δ' ὑπερβάλλουσι βαπτίζεται. Δοτέον οὖν τοῖς παισὶν, ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους, ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται. καὶ διὰ τοῦτο, οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη· οὐδὲ πόλεμος, ἀλλὰ καὶ εἰρήνη· οὐδὲ χειμὼν, ἀλλὰ καὶ εὐδία· οὐδὲ ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί. συνελόντι δὲ εἰπεῖν, ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐστι. καὶ οὐκ ἐπὶ τῶν ζώων μόνον τοῦτο ἴδοι τις γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων. καὶ γὰρ τὰ τόξα, καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν. καθόλου δὲ σώζεται, σῶμα μὲν, ἐνδείᾳ καὶ πληρώσει, ψυχὴ δὲ, ἀνέσει καὶ πόνῳ. Ἄξιον δ' ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵτινες παιδαγωγοῖς καὶ διδασκάλοις ἐπιτρέψαντες τοὺς υἱεῖς, αὐτοὶ τῆς τούτων μαθήσεως, οὔτε αὐτόπται γίνονται τὸ παράπαν, οὔτε αὐτήκοοι, πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες. αὐτοὺς γὰρ παρ' ὀλίγας ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων, ἀλλὰ μὴ τὰς ἐλπίδας ἔχειν ἐν μισθωτοῦ διαθέσει. καὶ γὰρ ἐκεῖνοι πλείονα ποιήσονται τὴν ἐπιμέλειαν τῶν παίδων, μέλλοντες ἑκάστοτε διδόναι τὰς εὐθύνας. κἀνταῦθα δὴ τὸ ῥηθὲν ὑπὸ τοῦ Ἱπποκόμου χάριεν· ὡς οὐδὲν οὕτω πιαίνει τὸν ἵππον, ὡς Βασιλέως ὀρθαλμός. Πάντων δὲ μάλιστα τὴν μνήμην τῶν παίδων ἀσκεῖν καὶ συνεθίζειν. αὕτη γὰρ ὥσπερ τῆς παιδείας ἐστὶ ταμιεῖον. καὶ διὰ τοῦτο μητέρα τῶν μουσῶν ἐμυθολόγησαν εἶναι τὴν Μνημοσύνην, ἀνιστόμενοι

καὶ

καὶ ἀβασάνιστος, ὅτι μὴ δεῖν μνήμην φύειν, ὡς ἡ μνήμη πέφυκε. Καὶ τοίνυν ταύτῃ καὶ ἀμφότερα ἀσκητέον, εἴτε ἐκ φύσεως μνήμονες εἰσὶν οἱ παῖδες, εἴτε καὶ τἀναντίον ἀπολείπουσι. τῇ μὲν γὰρ πλεονεξίαν τῆς φύσεως ἀπορρώσομεν, τῇ δ' ἐλλείψιν ἀναπληρώσομεν. καὶ οἱ μὲν τῷ ἄλλῳ ἔσονται βελτίους, οἱ δὲ ἑαυτῷ. τὸ γὰρ Ἡσιόδειον καλῶς εἴρηται. εἰ γάρ μεν καὶ σμικρὸν ὅπι σμικρῷ καταθείῃ, καὶ θαμὰ τῶδ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γήροιτο. Μὴ λανθανέτω τοίνυν μηδὲ τοὺς πατέρας, ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος, οὐ μόνον πρὸς τὴν παιδείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν. ἡ γὰρ τῶν γεγραμμένων πράξεων μνήμη τῆς περὶ τὸ μέλλοντων εὐβουλίας γίνεται παράδειγμα. Καὶ μὴν τοι καὶ τῆς ἀληθολογίας ἀπαιτέον τοὺς υἱεῖς. λόγος γὰρ ἔργου σκιὰ καὶ Δημόκριτος. εἶτα γεμὴν ἐντολικὰς αὐτοὺς εἶναι παιδαγωγέου, καὶ φιλοπροσηγόρους. οὐδὲν γὰρ ὡς τὸ ἀνεντόλικτον τῶν ἠθῶν δεῖν. ὅπως ἀξιομίσητον. Ἔτι τοίνυν οἱ παῖδες ἀμισεῖς γίγνοιντο ἂν τοῖς συνοῦσι, μὴ παντελῶς ἐν ταῖς ζητήσεσιν ἀπαθεῖς χωρητοὶ γιγνόμενοι, καὶ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι δεῖσθαι καλόν, ἐν οἷς τὸ νικᾶν βλαβερόν. ἔστι γὰρ ὡς ἀληθῶς καὶ νίκη Καδμεία. ἔχω δὲ μάρτυρα τούτῳ Εὐριπίδην τὸν σοφὸν ἐπαγαγέσθαι λέγοντα· δυοῖν λεγόντοιν θατέρου θυμοῦσθαι, ὃ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. Ἀτοίνυν τῶν εἰρηνικῶν ἀνδρῶν ἥττων δεῖν, ἀλλὰ καὶ μᾶλλον ἀποδοτέα τοῖς νέοις, καὶ δὴ λοιπόν. τοῦτο δέ ἐστι· τὸν βίον ἀτρύφητον ἀσκεῖν, τὸ τῆς γλώττης κατέχειν, τὸ τῆς ὀργῆς ὑπεραίρειν γίγνεσθαι, τὸ τῶν χειρῶν κρατεῖν. τούτων ἕκαστον ἡλίκον δεῖ σκεπτέον. ἔστι γὰρ ὅπου παραδειγμάτων γνωριμώτερα· οἷον, ἵνα ἀπὸ τοῦ τελευταίου πρώτου ἄρξωμαι· τὰς χεῖρας τινὲς ὑποχάντες λήμμασιν ἀδίκοις, τῶν δόξαν τῆς προβεβιασμένων ὀφείλειν, ὡς Φίλιππος ὁ Λακεδαιμόνιος τὰ σκεύη τῶν χρημάτων παραλύ-

λύσας, φυγὰς ἀπηλάθη τῆς Σπάρτης. Τόγε μὴν ἀόργητον, ἀνδρὸς σοφοῦ. Σωκράτης μὲν γὰρ, λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα καὶ βδελυροῦ, τοὺς ἀμφ' αὐτὸν ὁρῶν ἀγακτοῦντας, καὶ σφαδάζοντας, ὡς καὶ διώκειν αὐτὸν ἐθέλειν, ἆρα, ἔφησε, καὶ εἴ με ὄνος ἐλάκτισεν, ἀντιλακτίσαι τοῦτον ἠξιώσατε ἄν; οὐ μὴν ἐκεῖνός γε παντελῶς κατεπράξατο, πάντων δὲ αὐτὸν ὀνειδιζόντων καὶ λακτιστὴν ἀποκαλούντων, ἀπήγξατο. Ἀριστοφάνους δὲ, ὅτε τὰς νεφέλας ἐξέφερε, παντοίως πᾶσαν ὕβριν αὐτοῦ κατασκεδανύντος, καί τινος τῶν παρόντων τὰ τοιαῦτα ἀνακωμῳδοῦντος, οὐκ ἀγανακτεῖς εἰπόντος, ὦ Σώκρατες, μὰ Δί' οὐκ ἔγωγε ἔφησεν. ὡς γὰρ ἐν συμποσίῳ μεγάλῳ τῷ θεάτρῳ σκώπτομαι. ἀδελφὰ τούτοις καὶ σύζυγα φανήσονται πεποιηκότες, Ἀρχύτας ὁ Ταραντῖνος, καὶ Πλάτων, ὁ μὲν γὰρ ἐπανελθὼν ἀπὸ τοῦ πολέμου (στρατηγῶν δὲ ἐτύγχανε) γῆν καταλαβὼν κεχερσωμένην, τὸν ἐπίτροπον καλέσας αὐτῆς, ὤμωξας ἂν ἔφησεν, εἰμὴ λίαν ὠργιζόμην. Πλάτων δὲ δούλῳ λίχνῳ καὶ βδελυρῷ θυμωθεὶς, τὸν τῆς ἀδελφῆς υἱὸν Σπεύσιππον καλέσας, τοῦτον, ἔφησεν, ἀπελθὼν κρότησον, ἐγὼ γὰρ πάνυ θυμοῦμαι. χαλεπὰ δὲ ταῦτα καὶ δυσμίμητα φαίη τις ἄν. οἶδα κἀγώ. πειρατέον οὖν εἰς ὅσον οἷόν τέ ἐστι, τούτοις παραδείγμασι χρωμένους, τὸ πολὺ τῆς ἀκρατοῦς καὶ μαινομένης ὑφαιρεῖν ὀργῆς. οὐδὲ γὰρ ἐς τἄλλα ἐνάμιλλοι ταῖς ἐκείνων ἐσμὲν, οὔτ' ἐμπειρίαις, οὔτε καλοκἀγαθίαις. ἀλλ' οὐδὲν ἧττον ἐκείνων ὥσπερ Θεῶν ἱεροφάνται καὶ δᾳδοῦχοι τῆς σοφίας ὄντες, ὅσα πέρ ἐστιν ἐν δυνατῷ, ταῦτα μιμεῖσθαι καὶ περικνίζειν ἐπιχειροῦμεν. Τὸ τοίνυν τῆς γλώττης κρατεῖν (περὶ τούτου γὰρ ὥσπερ ὑπεθέμην εἰπεῖν λοιπὸν) εἴτις μικρὸν καὶ φαῦλον ὑπείληφε, πλεῖστον διαμαρτάνει τοῦ δέοντος. σοφὸν γὰρ εὔκαιρος σιγὴ, καὶ παντὸς λόγου κρείττων. καὶ διὰ τοῦτό μοι δοκεῖ τὰς μυστηριώδεις τελετὰς οἱ παλαιοὶ κατέδειξαν, ἵνα ἐν ταύταις σιωπᾷν ἐθισθέντες, ἐπὶ τὴν τῶν

ἀνθρώ-

ἀνθρωπίνων μυστηρίων πίστιν, τὸν ἀπὸ τῶν Θεῶν μεταφέρωμεν φόβον. καὶ γὰρ αὖ, σιωπήσας μὲν, οὐδεὶς μετενόησε, λαλήσαντες δὲ, παμπληθεῖς. καὶ τὸ μὲν σιγηθὲν, ἐξειπεῖν ῥᾴδιον, τὸ δὲ ῥηθὲν, ἀναλαβεῖν ἀδύνατον. μυρίους δ' ἔγωγε οἶδα ἀκούσας ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας, ἐστὶ τὴν τῆς γλώττης ἀκρασίαν. ὧν τοὺς ἄλλους παραλιπὼν, ἑνὸς, ἢ δυοῖν, τύπου ἕνεκεν ἐπιμνησθήσομαι. τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην, Σωτάδης εἰπὼν, εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς, ἐν δεσμωτηρίῳ πολλοὺς κατεσάπη χρόνους, καὶ τῆς ἀκαίρου λαλιᾶς οὐ μεμπτὴν ἔδωκε δίκην. ἵνα δὲ γέλωτα παράσχῃ τοῖς ἄλλοις, αὐτὸς πολὺν χρόνον ἔκλαυσεν. ἐνάμιλλα δὲ τούτοις καὶ σύζυγα, καὶ Θεόκριτος ὁ σοφιστὴς εἰπέ τε καὶ ἔπαθε, καὶ πολὺ δεινότερα. Ἀλεξάνδρου γὰρ πορφυρᾶς ἐσθῆτας κελεύσαντος κατασκευάζειν τοὺς Ἕλληνας, ἵνα ἐπανελθὼν τὰ ἐπινίκια τοῦ πολέμου τοῦ κατὰ τῶν Βαρβάρων θύσοιε, καὶ τῶν ἐθνῶν κατὰ κεφαλὴν εἰσφερόντων ἄργυρον, πρότερον μὲν, ἔφησεν, ἠμφισβήτουν, νῦν δὲ ᾔσθημαι σαφῶς, ὅτι ὁ πορφύρεος Ὁμήρου θανάτος, οὗτός ἐστιν· ἐξ ὧν ἐχθρὸν ἐκτήσατο τὸν Ἀλέξανδρον. Ἀντίγονον δὲ τὸν Βασιλέα τῶν Μακεδόνων ἑτερόφθαλμον ὄντα, τὴν πήρωσιν προφέρων, εἰς οὐ μετρίαν ὀργὴν κατέστησε. τὸν γὰρ ἀρχιμάγειρον Εὐτροπίωνα γεγενημένον ἐν τάξει ἐκπέμψας, παραγενέσθαι πρὸς αὐτὸν ἠξίου, καὶ λόγον δοῦναι καὶ λαβεῖν· ταῦτα δὲ ἀπαγγέλλοντος ἐκείνου πρὸς αὐτὸν, καὶ πολλάκις προσιόντος, εὖ οἶδα, ἔφησεν, ὅτι ὠμόν με θέλεις τῷ Κύκλωπι παραθέσθαι, ὀνειδίζων τῷ μὲν, ὅτι πηρὸς, τῷ δὲ, ὅτι μάγειρος ἦν. κἀκεῖνος τοιγαροῦν εἰπὼν, τὴν κεφαλὴν οὐχ ἕξεις, ἀλλὰ τῆς ἀθυροστομίας ταύτης καὶ μανίας δώσεις δίκην, ἀπήγγειλε τὰ εἰρημένα τῷ Βασιλεῖ. καὶ ὁ μὲν πέμψας, ἀνεῖλε τὸν Θεόκριτον. Παρὰ πάντα δὲ ταῦτα (ὅπερ ἐστὶν ἱεροπρεπέστατον) συνεθιστέον τοὺς παῖδας τ' ἀληθῆ λέγειν.

γειν. τὸ γὰρ φιλεῖσθαι, δηλοπρεπὲς, καὶ πᾶσιν ἀνθρώποις μιμεῖσθαι ἄξιον, καὶ κἂν μετρίοις δοῦλοις συγγνωστόν. Ταῦτα μὲν οὖν οὐκ ἐνδοιάσας, οὐδὲ μελλήσας, περὶ τῆς τῶν παίδων δικαιοσύνης καὶ σωφροσύνης διείλεγμαι. περὶ δὲ τοῦ ῥηθῆναι μέλλοντος, ἀμφίδοξός εἰμι καὶ διχογνώμων· καὶ τῇδε κἀκείσε πλίνων ὡς ὅτι πλεῖστον, πρὸς ἑκάτερον ῥέψαι δίδωμι. πολὺς δ' ὄκνος ἔχει με, καὶ τῆς ἀπιστίας, καὶ τῆς ἀπροσδοκήτου τὸ παράγματος. ἀποτολμητέον ἓν ὅμως εἰπεῖν αὐτό. Τί οὖν τοῦτό ἐστι; πότερα δεῖ τοὺς ἐρῶντας τῶν παίδων, ἐᾶν τούτοις συνεῖναι καὶ συνδιαίβειν, ἢ παντὶ τρόπῳ εἴργειν αὐτοὺς καὶ ἀποστρέφειν τῆς περὶ τούτους ὁμιλίας προσῆκον; ὅταν μὲν γὰρ ἀποβλέψω πρὸς τοὺς πατέρας αὐθεκάστους, καὶ τὸν ζῆλον ὀμφακίας καὶ στρυφνὸς, οἱ δὴ τῶν τέκνων ὕβριν οὐκ ἀπεκτηνὴ νομίζουσι τὴν μετὰ τῶν ἐρώντων ὁμιλίαν, ἀλλὰ βούλεται τούτοις εὐμηχάνως φυλάττειν καὶ σύμβουλος. ὅταν δ' αὖ πάλιν ἐνθυμηθῶ τὸν Σωκράτην, τὸν Πλάτωνα, τὸν Ξενοφῶντα, τὸν Ἀχαιὸν, τὸν Κέβητα, τὸν πάντα χορὸν ἐκείνων τῶν ἀνδρῶν, οἳ τὰς ἄρρενας ἐδοκίμασαν ἔρωτας, καὶ τὰ μειράκια παρήγαγον ἐπὶ τε παιδείαν καὶ διαγωγὴν καὶ τὴν ἀρετὴν τῶν τρόπων, πάλιν ἕτερος γίνομαι, καὶ κάμπτομαι πρὸς τὸν ἐναντίον τοῦ ἀνδρὸς ζῆλον. μαρτυρεῖ δὲ τούτοις Εὐριπίδης ὧδε λέγων· ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως, ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς. τὸ δὴ τοῦ Πλάτωνος ἀσωδὲς καὶ χαλεπωτέρῳ μίμημα, καὶ ἀφαλεπτέον. ἐξεῖναι γὰρ φησι δεῖν τοῖς ἀξιοῦσιν, οὗ ἂν βάλωνται τοῦ καλοῦ φιλῆσαι. τοὺς μὲν οὖν τῆς ὥρας ἐπιθυμοῦντας, ἀπελαύνειν προσῆκε. τοὺς δὲ τῆς ψυχῆς ἐρασὰς, ἐγχείνειν καὶ τὸ σιώλον. καὶ τοὺς μὲν Θήβηθι καὶ τοὺς ἐν Ἦλιδι φιλητέον ἔρωτας, καὶ τὸν ἐκ Κρήτης καλούμενον ἁρπαγμόν. τοὺς δὲ Ἀθήνησι καὶ τοὺς ἐν Λακεδαίμονι ζηλωτέον, καὶ τοῦ παίδων μιμητέον. Περὶ μὲν οὖν τούτων, ὅπως ἕκαστος αὐτὸς ἑαυτῷ πέπεικεν, ἅπερ

λέγω.

ὑπολαμβανέτω. ἐγὼ δὲ ἐπειδὴ περὶ τῆς τῶν παίδων εὐτυξίας εἴρηκα καὶ κοσμιότητος, καὶ ὅπῃ τῶν μειρακίων τὴν ἡλικίαν ἤδη μεταβήσομαι, μικρὰ παντάπασιν εἰπών. πολλάκις γὰρ κατεμεμψάμην τοὺς μοχθηρῶν ἐθῶν γεγονότας εἰσηγητὰς, οἵ τινες τοῖς μὲν παισὶ παιδαγωγοὺς καὶ Διδασκάλους ἐπέστησαν, τὴν δὲ τῶν μειρακίων ὁρμὴν ἄνετον εἴασαν νέμεσθαι. δέον αὖ τοὐναντίον πλείω ποιεῖσθαι τούτων εὐλάβειαν καὶ φυλακὴν, ἢ τῶν παίδων. τίς γὰρ οὐκ οἶδεν, ὅτι τὰ μὲν τῶν παίδων πλημμελήματα, μικρὰ καὶ παντελῶς εἰσιν ἰάσιμα, παιδαγωγῶν ἴσως ὀλιγωρίᾳ, καὶ Διδασκάλων παραγωγῆς ἀνηκουστίᾳ· τὰ δὲ τῶν ἤδη νεανισκευομένων ἀδικήματα πολλάκις ὑπερφυᾶ γίνεται καὶ σχέτλια; ἀμετρία γαστρὸς, καὶ κλοπαὶ πατρῴων χρημάτων, καὶ κῦβοι, καὶ κῶμοι, καὶ πότοι, καὶ παρθένων ἔρωτες, καὶ γυναικῶν οἰκοφθορίαι γαμετῶν. οὐκοῦν τὰς τούτων ὁρμὰς, ταῖς ἐπιμελείαις δεσμεύειν καὶ κατέχειν προσῆκεν. ἀταμίευτον γὰρ τῶν ἡδονῶν ἡ ἀκμὴ, καὶ σκιρτητικὸν, καὶ χαλινοῦ δεόμενον, ὥσθ' οἱ μὴ τῆς ἡλικίας ταύτης ἐρρωμένως ἀντιλαμβανόμενοι, τῇ διανοίᾳ διδόντες ἐξουσίαν ἐπὶ τὰ ἀδικήματα, λανθάνουσι. Δεῖ τοίνυν τοὺς ἔμφρονας πατέρας παρὰ τοῦτον μάλιστα τὸν καιρὸν φυλάττειν, ἐγρηγορέναι, σωφρονίζειν τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας, δεομένους, συμβουλεύοντας, ὑπισχνουμένους, παραδείγματα δεικνύντας, τῶν μὲν διὰ φιληδονίαν συμφοραῖς περιπετόντων, τῶν δὲ διὰ καρτερίαν ἔπαινον καὶ δόξαν ἀγαθὴν περιποιησαμένων. δύω γὰρ ταῦτα ὥσπερεὶ στοιχεῖα τῆς ἀρετῆς εἰσιν· ἐλπίς τε τιμῆς, καὶ φόβος τιμωρίας. ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων, ἡ δὲ ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται. καὶ καθόλου δὲ ἀπείργειν προσήκει τοὺς παῖδας, τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας· ἀποφέρονται γάρ τι τῆς τούτων κακίας. τοῦτο δὲ παρήγγελλε καὶ Πυθαγόρας αἰνίγμασιν, ἅπερ ἐγὼ πα-

ρα-

ραθεὶς, ὀξυγίσομαι. καὶ γὰρ ταῦτα πρὸς ἀρετῆς κτῆσιν συμβάλλεται ῥοπὴν καὶ ἐλαχίστην. οἷον, Μὴ γλίσχρως μισθώσασθαι μηλοφόρους, τάχα μὴ σωφρονίσειν μέλασιν ἀνθρώποις δόξῃ καὶ κοίλοις. Μηδὲ ζυγὸν ὑπερβαίνειν, τάχα, ὅτι δεῖ τὴν δικαιοσύνης πλεῖον ποιεῖσθαι λόγον, καὶ μὴ ταύτῃ ὑπερβαίνειν. Μηδ' ὑπὸ χοίνικα καθίσαι, φεύγειν ἀργίαν, καὶ προνοεῖν ὅπως τοῖς ἀναγκαίοις παρασκευάσωμεν βορήν. Μὴ πάντα ἐμβάλλειν δίκτυα, ἀντὶ τοῦ προχείρως ἢ δεῖ σωφρονίσειν. Μὴ φορεῖν σοφὸν δακτύλιον, ὅτι δεῖ τὸν βίον ὅπως δύειν, καὶ μὴ δοῦν δεσμῷ παραπέπτειν αὐτόν. Πῦρ σιδήρῳ μὴ σκληύειν. ἀντὶ τοῦ μὴ ἐκθύζειν θυμούμενον. ἢ γὰρ προσῆκεν, ἀλλ' ὑπείκειν τοῖς ὀργιζομένοις. Μὴ ἐθίειν καρδίαν, μὴ βλάπτειν τοῦ ψυχοῦ, ταῖς φροντίσιν αὐτοῦ καταξύοντα. Κυάμων ἀπέχεσθαι, ὅτι οὐ δεῖ πολιτεύεσθαι· κυαμεῖται γὰρ ἡσταν ἐμφορεῖσθαι αἱ ψηφοφορίαι, δι' ὧν πέρας ἐπιτίθεσαν ταῖς ἀρχαῖς. Σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν, ἐπισημαίνει γὰρ ὅτι εἰς πονηρὸν ψυχοῦ, ἀσεῖον λόγον ἐμβάλλειν οὐ προσῆκεν. ὁ μὲν γὰρ λόγος, σοφῶν διανοίας ἐσί. κόπρον δὲ ἀκάθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. Μὴ ἐπιτρίφεσθαι ὅτι τὰς ὄρνις ἐλθόντας, τάχα μέλοντας ἀποθνήσκειν, καὶ τὸν ὄρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας, φέρειν εὐκόλως, καὶ μὴ ἀθυμεῖν. Ἀναπάμφω δὲ ὅτι τοῦ ἐξαρχῆς τοῦ λόγου παρόθεσιν. ἀπαιτῶν μὲν γὰρ, ὅπερ ἔφην, τῶν ποιητῶν ἀνθρώπων, ἀπάγειν δεῖ τὰς παῖδας, μάλιστα δὲ τῶν κολάκων. ὅπερ γὰρ πολλάκις καὶ παρὸς πολλοῖς τῶν πατέρων ἀκήκοα λέγω, καὶ νῦν ἂν εἴποιμι. ψόγος ἐδενὸς ἔστιν ἐξαλείσερον, οὐδὲ μᾶλλον καὶ θᾶττον ἐξαχνιλίζον τοῦ νεότητα, ὡς τῶν κολάκων, οἳ καὶ τὰς πατέρας καὶ τὰς παῖδας παροῤῥίζως ἐκβίβασι, τῶν μὲν τὸ γῆρας ὀπλύτερον, τῶν δὲ τοῦ νεότητα ποιοῦντες, τῶν δὲ συμβουλευμάτων δέλεαρ ἀφύλακτον προτείνοντες τοῦ ἡδονοῦ. Τοῖς παισὶ τοῖς πλησίοις οἱ πατέρες

καὶ-

νέφειν παραινοῦσιν, οἱ δὲ μεθύειν· σωφρονεῖν, οἱ δὲ ἀσελγαίνειν· φυλάττειν, οἱ δὲ δαπανᾷν· φιλεργεῖν, οἱ δὲ ῥᾳθυμεῖν. στιγμὴ χρόνου πᾶς ὁ βίος ἐστὶ, λέγοντες, ζῆν, καὶ οὐ πολλαζῆν προσήκει. τί δὲ φροντιστέον ὑμῖν τῶν τοῦ πατρὸς ἀπειλῶν; κρονόληρος καὶ σοροδαίμων ἐστί· καὶ μετέωρον αὐτὸν ἀράμενοι, σὴν ταχίστην ἐξοίσομεν. καθῆκε δέ τις καὶ χαμαιτύπην, καὶ προσηγόρευσε γαμετὴν, καὶ τὰ τῶν πατέρων ἐφόδια τοῦ γήρως, περικέκλοφε καὶ σεσύληκε· μιαρὸν τὸ φῦλον, ὑποκριταὶ φιλίας, ἄγευστοι παῤῥησίας, πλουσίων μὲν κόλακες, πενήτων δὲ ὑπερόπται, ὡς ἐκ Λυρικῆς τέχνης ἐπὶ τοὺς νέους ἀγόμενοι, σεσηρότες, ὅθ' οἱ τρέφοντες γελῶσι, καὶ ψυχῆς ὑποβολιμαῖα, καὶ νόθα μέρη βίου. πρὸς δὲ τὸ τῶν πλουσίων νεῦμα ζῶντες, τῇ τύχῃ μὲν ἐλεύθεροι, τῇ προαιρέσει δὲ δοῦλοι. ὅταν δὲ μὴ ὑβρίζωνται, τότε ὑβρίζεσθαι δοκοῦντες, ὅτι μὴ μάτην παρατρέφονται. ὥστε εἴτῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας, ἐκδιωκτέον τὰ μυσαρὰ ταῦτα θρέμματα. ἐκδιωκτέον δὲ καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας. καὶ γὰρ οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσί. Ταῦτα μὲν οὖν, καλὰ καὶ συμφέροντα, ἃ δὲ μέλλω λέγειν, ἀνθρώπινα. οὐδὲ γὰρ αὖ πάλιν τοὺς πατέρας ἔγωγε ἀξιῶ τελέως σκληροὺς, καὶ τραχεῖς εἶναι τὴν φύσιν, ἀλλὰ πολλαχοῦ καὶ συγχωρῆσαί τινα τῷ νεωτέρῳ τῶν ἁμαρτημάτων, καὶ ἑαυτοὺς ἀναμιμνήσκειν, ὅτι ἐγένοντο νέοι. καὶ καθάπερ ἰατροὶ τὰ πικρὰ τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμιγνύντες τὴν τέρψιν ἐπὶ τὸ συμφέρον πάροδον εὗρον, οὕτω δὴ τοὺς πατέρας τὴν τῶν ἐπιτιμημάτων ἀποτομίαν, τῇ τοραότητι μιγνύναι. καὶ τοτὲ μὲν, ταῖς ἐπιθυμίαις τῶν παίδων ἀφιέναι, καὶ χαλάσαι τὰς ἡνίας, τοτὲ δ' αὖ πάλιν, ἀντιτεῖναι· καὶ μάλιστα μὲν εὐκόλως φέρειν τὰς ἁμαρτίας εἰδὲ μήγε, προσοργισθέντας ταχέως ἀποφλεγμῆναι. μᾶλλον γὰρ ὀξύθυμον εἶναι δεῖ τὸν πατέρα, ἢ βαρύθυμον, ὡς

πάγε δυσμιμὲς καὶ δυσκατάλλακτον, μισοτεκνίας δ' μικρὰ τεκμήριόν ἐστι. καλὸν δὲ σῖτα τῶν ἁμαρτημάτων μηδὲ ὁρᾶσθαι δοκεῖν, ἀλλὰ τὸ τῆ γνώμῃ ἀμβλυῶττον καὶ δύσκωφον ὑπὲ τὲ γιγνόμενα μεταφέρειν, ὡς σῖα τῶν παρατρεμένων ῥῶντας μὴ ὁρᾶν, καὶ μὴ ἀκούειν ἀκούοντας. φίλων ἁμαρτήματα φέρομεν· τί θαυμαστὸν, εἰ τέκνων; δούλων πολλὰκις ἀκροατὰς ἀνεχόμεθα, μέθυσι δὲ καὶ ἐξηλέγξαμεν. ἐφεστῶ ποτέ; ἀλλὰ μὴ χορήγησον. ἠγωνίκησάς ποτε; ἀλλὰ καὶ συγγνώθι. ἐβασκόλησέ σε ποτὲ δι' οἰκέτου; τῷ ὀργῷ κατάσχες· ἐξ ἀγροῦ ποτε ζεύγος ἀφάλετο; ἤλθέ ποτε χθιζὸς μίσθης λόπτειν; ἀγνόησον. μύρων ὄπτζων; σίγησον. ὅπου σκιρτῶσα νεότης πωλοδαμνεῖται. Πειρατέον δὲ τὼς καὶ ἡδονῶν ἥττους καὶ πρὸς πᾶς ὀργὰς δυσκόους, γαλινῷ καταζεύξαι. δεσμὸς γὰρ ἄτος τῆς νεότητος ἀσφαλέστατος. ἐγγυᾶσθαι δὲ δεῖ τοῖς υἱοῖς γυναῖκας, μήτε δ' ὀλιγίστερας πολλῷ, μήτε πλουσιωτέρας πολλῷ γὰρ, τιμᾷ καὶ σαυτὸν ἔλασσον, σοφόν. ὡς εἴγε μαχρὰν ὀρεκτὰς ἑαυτῷ λαμβάνοντες, ὑπὸ τῶν γυναικῶν ἄνδρες, καὶ τῶν δὲ πολιτῶν δοῦλοι λανθάνουσι γινόμενοι. Βραχέα δὲ παρῃνημένοις αὐτοῖς, ἐπιγράψω τὰς ὑποθήκας. πρὸ παντὸς γὰρ δεῖ τὰς πατέρας τῶν μηδὲν ἁμαρτάνειν, ἀλλὰ πάντα ἃ δεῖ πράττειν, ἐναργὲς ἑαυτὰς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τύπον βίον ὥσπερ κάτοπτρον ἀποβλέποντες, ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων. ὡς οἵ τινες τοῖς ἁμαρτάνουσιν υἱοῖς ὀργιζόμενοι, τοῖς αὐτοῖς ἁμαρτήμασι προσπίπτουσιν, ὅτι τῶν ἐκείνων ὀνόματι λανθάνουσιν ἑαυτῷ κατήγοροι γιγνόμενοι. οἱ δ' ὅλως φαύλως ζῶντες, οὐδὲ τοῖς ἄλλοις παῤῥησίαν ἄγνοιν ὀργιζόμενοι, μάτην δὴ τοῖς υἱοῖς. χωλὸς δὲ πάππου, γέλοιον ἂν αὐτοῖς τῶν ἀδικημάτων σύμβουλοι καὶ διδάσκαλοι. ὅπου γὰρ γέροντες εἰσὶν ἀναίσχυντοι, ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. Πειρατέον ἂν εἰς τὸν τῶν τέκνων σωφρονισμὸν, παιδ' ὅσα

ἐκ προσῆκον ἐπιδιδόναι, ζηλώσωσιν τὸ Εὐρυδίκῃ, ἥτις Ἰλλυρὶς οὖσα καὶ τοῦ βαρβάρου· ὅμως ὅτι τῇ μαθήσει τῶν τέκνων, ὀφὲ τῆς ἡλικίας ἦλθε παιδείας. ἱκανῶς δὲ αὐτῆς τὴν φιλοτεκνίαν σημαίνει ἐπίγραμμα, ὅπερ ἐπέθηκε ταῖς μύσταις. Εὐρυδίκη ἱερὰ πολῖτις, τόνδ' ἀνέθηκε ἐοῦσον μύσαις ψυχῇ ἑλοῦσα πόθον. γράμματα δὲ μνημεῖα λόγων μέγιστα, παίδων ἡβώντων, ἐξεπόνησε μαθεῖν. τὸ μὲν οὖν πάσας τὰς προαιρήσεις συμβεβλῆσθαι, πρωτίστας, δ' ἐχῆς ἴσως ἢ ἔργον ἐστί. τὸ δὲ τὰς πλείους ζηλῶσαι, καὶ αὐτὸ μὲν δ' μοιρείας δεόμενόν ἐστι, καὶ πολλῆς ἐπιμελείας· κοινὸν δ' ἂν ἀνθρωπίνῃ φύσει κατείη.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΑΚΟΥΕΙΝ.

ΤΗν ἡμετέραν μοι σχολὴν περὶ τὸ ἀκούειν, ὦ Νίκανδρε, ἀπεσταλκάσοι γράψας, ὅπως εἰδῇς τὸ πεῖθον ὀρθῶς ἀκούειν, ὅτε τῷ προσαγορεύοντι ἀπήλαξε, τὸ μὲν ῥᾳθυμεῖν ἀπειληφὼς ἐμφανῶς. ἀναρχίαν μὲν οὖν, ἣν ἔνιοι τῶν ἐλευθερίαν ἀκολασίαν νομίζουσι, χαλεπωτέρας ἐκείνων τῶν ἐν παισὶ διδασκάλων καὶ παιδαγωγῶν δεσπότας ἐφίεσθαι τὰς ἐπιθυμίας, ὥσπερ ἐκ δεσμῶν λυθέντας. καὶ καθάπερ Ἡρόδοτός φησιν, ἅμα τῷ χειμῶνι σωφρονεῖσθαι τοὺς ἀνδρὰς τοὺς γυναικείους, οὕτως, ἔνιοι τῶν νέων, ἅμα τῷ τὸ παιδικὸν ἱμάτιον ἀποθέσθαι, σωφρονίζεσθαι τὸ αἰδεῖσθαι καὶ φοβεῖσθαι, καὶ λύσαντες τοὺς καταχειμαζομένους αὐτοὺς βουλοὺς, ἀθρόοι ἐμπίπλανται τῆς ἀναγωγίας. σὺ δὲ πολλάκις ἀκηκοώς, ὅτι ταυτόν ἐστι τὸ ἕπεσθαι θεῷ, καὶ τὸ πείθεσθαι λόγῳ, νόμιζε τοὺς εἰς ἄνδρας ἐκ παίδων ἀγωγοὺς, οὐκ ἀρχῆς εἶναι τοῖς οὐ φρονοῦσιν ἀποβολὴν, ἀλλ' μεταβολὴν

ἄρχοντος, αὐτὶ μαθώπ τινός, ἢ ἀργυρωνήτου, θεῖον ἡγεῖ
ναι τὰ βίᾳ λαμβάνεσθαι τὸν λόγον, ᾧ τὰς ἐπομένας, ἀ
ξιόν ὄζει μόνας ἐλευθέρας νομίζειν· μόνοι γὰρ ἃ δεῖ βάλ
θαι μαθόντες, ὡς βάλλονται ζῶσι. ταῖς δ' ἀπαιδεύτοις κ
σβεσμένοις ὁρμαῖς, κ πράξεσιν ἀχρεῖς εἶσι κ μικρὸν ὠ
φελοῦσι τὸ ἐκούσιον. Ἐπεὶ δ' ὥσπερ τῶν ἐγ
γραφομένων εἰς τὰς πολιτείας, οἱ μὲν ἀλλοδαποὶ κ ξένοι
κομιδῇ πολλὰ μέμφονται κ δυσκολαίνουσι τῶν γινομένων, οἱ
δ' ἐκ μαιήχων σωίτροφοι κ συνήθεις ὄντες τῶν νόμων, ὑ
χαλεπῶς προσδέχονται καὶ ὑπβάλλονται, κ στέργουσιν·
ὡς ἔδει πολλοῦ χρόνου ἐν φιλοσοφίᾳ παιδοτροφούμενον, κ τῷ
μάθημα κ ἔθισμα παιδικὸν ἀπαρχῆς ἐνθέσθαι προσφέ
ρεσθαι λόγῳ φιλοσόφῳ μεμιγμένον, ἡμῖν κ οἰκεῖον ἤκειν
εἰς φιλοσοφίαν, ἢ μόνη τὸν ἀνδρεῖον κ τέλειον ὡς ἀληθῶς
κ λόγῳ τοῖς νέοις περιτίθησι νόμον. Οὐκ ἂν ἀνδρῶς δ'
εἰμαίσθε προσκεῖσθαι πρὸς τὴς ἀκρασικῆς ἀιθήσεως, ἣν ὁ
Θεόφραστος παθητικωτάτην εἶναί φησι πασῶν. ὅτε γὰρ ὁρατὴ
ἡδονή, ὅτε γόνιστὸν, ὅτε ἁπτὸν, ἐκστάσεις ἔπιφέρει, κ πάρ
κλῆς, κ ποίας πλησμονάς, ἡλίκας καταλαμβάνουσι τὴν
ψυχὴν, κτύπων τινῶν κ παιάνων κ (illegible) τῇ ἀκοῇ προσπε
σόντων. ἔστι δὲ λογισμωτέρα μᾶλλον, παθητικωτέρα. τῇ
μὲν γὰρ καιρίᾳ πολλὰ χωρία κ μέρη τὰ σώματος παρέχει
δι' αὐτῶν ἐνδῦσαι ἅψασθαι τῆς ψυχῆς. τῇ δὲ ἀρετῇ, μία
λαβὴ πᾶσιν ὥσπερ τῶν νέων ἔξις, αὐ ἡ καθαρὰ κ ὄρθυπτε κα
λακείᾳ, καὶ λόγοις ἄθικτα φαύλοις, ἀπαρχῆς φυλάτ
τεται. διὸ κ Ξενοκράτης τοῖς παισὶ μᾶλλον, ἢ τοῖς ἀθλη
ταῖς ἐκέλευε θεραπεύειν ἀμφωτίδας, ὡς ἐκείνων μὲν τὰ
ὦτα ταῖς πλησγαῖς, τούτων δὲ τοῖς λόγοις τὰ ἤθη διαστρεφ
μένων, κ ἀνήκοα, κ δὲ κωφότητα προμνώμενος, ἀλλὰ τῶν
λόγων τὴς φαύλης φυλάττεσθαι παραινῶν, περὶ ἑτέρας χρη
σὺς ὥσπερ φύλακας ὑντραφούτας ὑπὸ φιλοσοφίας, τῷ ἤθε

τὸ

πλὴ μάλιστα κινημένην αὐτῆ καὶ ἀπεσθομένην χώραν κατεχεῖν. καὶ Βίας ὁ παλαιὸς Ἀμάσιδι πελόθεὶς τὸ χρησόπατον ὠμᾶ καὶ φαυλόπατον ἀποπέμψαι πρέας τῆ ἱερείᾳ, τὴν γλώτταν ἐξελὼν ἀπέπεμψεν, ὡς ἰ βλάβας καὶ ὠφελείας τὸ λέγειν ἔχοντος μεγίστας· οἵ τε πολλοὶ τὰ μικρὰ παιδία καταφιλοῦντες βύσοί τε τῶν ὥτων ἄπορται, καὶ τοῖς τὸ ποιεῖν κελεύουσιν, ἀνιπτόμενοι τῆ παιδιᾶς, ὅτι δεῖ φιλεῖν μάλιστα τοὺς διὰ τῶν ὥτων ὠφελοῦντας. ἐπεὶ ἔτι γε πάσης ἀκροάσεως ἀπεργόμενος ὁ ἰὸς, καὶ λόγω μηδενὸς γαλόμενος, ἀ μόνον ἄκαρπος ὢν ὅλος, καὶ ἀβλαβὴς διαμένει πρὸς ἀρετὴν, ἀλλὰ καὶ διατρίφοιτο πρὸς κακίαν, ὥσπερ ἐκ χώρας ἀκινήτου καὶ ἀργῆς ἄγεια πολλὰ τῆς ψυχῆς ἀναδιδεῖ, δῆλόν ἐστι. τὰς γὰρ ἐφ' ἡδονὴν ὁρμὰς, καὶ πρὸς πόνον ἀσωλίας, καὶ θυμοίας ἀδ' ὑπὸ λόγων ἐπεισάκτους, ἀλλ' ὥσπερ αὐτοχθόνας ἅσας μυρίων παθῶν καὶ τραυμάτων πηγάς, ἂν ἐᾷ τις ἀφέτως ἢ πιφύκασι χωρεῖν, καὶ μὴ λόγοις χρησοῖς ἀφαιρῶν, ἢ φθείρων παν, καταρτύη τὴν φύσιν, ἐκ ἔστιν ὃ τῶν θηρίων ἐκ ἂν ἡμερώτερον ἀνθρώπα φανείη. Διὸ δὴ μεγάλων μὲν ὠφέλειαν, ἐκ ἐλάττων δὲ κίνδυνον τοῖς κέοις τὸ ἀκούειν ἔχοντος, οἶμαι καλῶς ἔχειν καὶ πρὸς αὐτὸν ἀεὶ καὶ πρὸς ἕτερον διαλέγεσθαι περὶ τὸ ἀκούειν. ἐπεὶ καὶ πάγ καλῶς τὰς πλείστας χρωμένας ὁρῶμεν, οὐ λέγειν ἀσκοῦσι, πρὶν ἀκούειν ἐθισθῆναι. καὶ λόγων μὲν οἴονται μάθησιν εἶναι καὶ μελέτην, ἀκροάσεως δὲ καὶ τὰς ὀπωσοῦν χρωμένας ὠφελεῖσθαι. καίτοι τοῖς μὲν σφαιρίζουσιν, ἅμα τὸ βαλεῖν καὶ τὸ λαβεῖν τὴν σφαῖραν ἡ μάθησις· ἐν δὲ τῇ τοῦ λόγου χρείᾳ, τὸ δέξασθαι καλῶς, τοῦ χρήσθαι πρότερόν ἐστιν, ὥσπερ τοῦ πιεῖν, τὸ συλλαβεῖν τι καὶ καταχεῖν τῶν γονίμων. ταῖς μὲν ἔν ἄρσεσι τὰς ὑπολειπομένας λοχείας καὶ ὠδῖνας, ἀτελῶν τινων καὶ ἀψύχων ὑπολειμμάτων ἀρχὰς λέγουσιν εἶναι· τῶν δὲ ἀκούειν μὴ δυναμένων νέων, μηδὲ ὠφελεῖσθαι δι' ἀκοῆς ἐθισθέντων, ὑπολειπόμενος ὄντως ὁ λόγος ἐκ

πίπτων, ἀκλεὴς αἰδήλος ὑπὸ νεφέεσι σκεδάθη. τὸ μὲν γὰρ ἀγγεῖα πρὸς τὴν ὑποδοχὴν τῶν ἐγχομένων ὀπτέον ἢ σωματοειδῆ φύσιν, ἵν' ἔγχυσις ἀληθὴς, μὴ ἔκχυσις γίνηται. αὐτὸς δὲ τῷ λέγοντι παρέχειν καὶ σωματοῦσθαι τὴν προσοχὴν τὴν ἀκροάσιν, ὡς μισθὸν ἐκφύγοι τῶν χρησίμως λεγομένων, οὐ μανθάνουσιν. ἀλλ' ὁ πάντων καταγελαστότατόν ἐστιν, αὐ μέν τινι προσέχωσι δυσχεραίνω δεῖπνον, ἢ πομπὴν, ἢ ὄψιον, ἢ λοιδορίαν γυμνασιώδη αὐτῶν πρὸς ἄλλον, ἀκροᾶται σιωπῇ καὶ προσλιπαροῦσιν. αὖ δέτις αὐτὸς ὀπτασιασάμενος διδάσκῃ τι τῶν χρησίμων, ἢ παραινῇ τῶν δεόντων, ἢ ψεύτῃ πλημμελῶν τις, ἢ καταπαράνῃ χαλεπαίνοντας, οὐχ ὑπομένουσιν, ἀλλ' ἐκ μὲν διαίνονται φιλοτιμούμενοι, καὶ μάχονται πρὸς τὸν λόγον, εἰδὲ μὴ, φεύγοντες ἀπίασι πρὸς ἑτέρους λόγους, καὶ θεωρίας, ὡς ἀγγεῖα φαῦλα καὶ σαθρὰ τὰ ὦτα πάντων μᾶλλον, ἢ τῶν ἀναγκαίως ἐμπιπλώντες. τὰς μὲν γὰρ ἵππους οἱ καλῶς ἔχοντες, δυσόμους τῷ χαλινῷ, τὰς δὲ παῖδας, δυσκόλους τῷ λόγῳ παρέχουσι, παλὰ μὲν ἀκούειν, μὴ πολλὰ δὲ λέγειν διδασκομένους. καὶ γὰρ τὸν Ἐπαμινώνδαν ὁ Σπίνθαρος ἐπαινῶν, ἔφη μήτε πλείονα γιγνώσκοντι, μήτε ἐλάττονα φθεγγομένῳ, ῥᾳδίως ἐντυχεῖν ἑτέρῳ. καὶ τὴν φύσιν ἡμῶν ἑκάστῳ λέγουσι, δύο μὲν ὦτα δοῦναι, μίαν δὲ γλῶτταν, ὡς ἐλάττονα λέγειν, ἢ ἀκούειν ὀφείλοντι. Παντάχοῦ μὲν οὖν τῷ νέῳ, κόσμος ἀσφαλὴς ὄψις ἡ σιωπὴ, μάλιστα δ' ὅταν ἀκούων ἑτέρου μὴ σωφρονίζηται, μηδ' ἐξελαύνῃ πρὸς ἔκαστον, ἀλλὰ κᾆν ὁ λόγος ἧττον ἢ μὴ λίαν ἀρεστὸς, ἀνέχηται καὶ φείδηται τοῦ ἐλεγχομένου, καὶ παραμένῃ, μὴ διὰ τέως βαπτίζῃ τὴν ἀντίρρησιν· ἀλλ' ὡς Αἰσχίνης φησὶ, διαλείπῃ χρόνον, ἵνα προσθεῖναί τι βούλοιτο τοῖς λελεγμένοις ὁ εἰρηκώς, εἴτε μεταθέσθαι καὶ ἀφελεῖν. οἱ δὲ διὰ τοῦ ἀντικόπτοντες, ἅτε ἀκούοντες, ὅτε ἀκουόμενοι, λέγοντες δὲ πρὸς λέγοντας, ἀχημονοῦσιν.

σιν. ὁ δ' ἐγκρατῶς καὶ μετ' αἰδοῦς ἀκοῦσαι ἐθισθείς, τὸν μὲν ὠφέλιμον λόγον ἐδέξατο καὶ κατέσχε, τὸν δὲ ἄχρηστον καὶ ψαθυρὸν, μᾶλλον δὲ διεῖδε, καὶ κατεφρόνησε, φιλαλήθης φανεὶς, καὶ φιλότεκνος, καὶ προνοητικὸς καὶ δυσέκτης. ὅθεν καὶ καλῶς οἱ λέγουσιν, ὅτι δεῖ τοὺς νέους μᾶλλον ἐπιτηδευμάτων τὸ οἴημα καὶ τὸν τύφον, ἢ τοὺς ἀσκοὺς τὸν ἀέρα, ὡς ἐγχέαι τι βουλομένους χρήσιμον. εἰ δὲ μὴ, γέμοντες ὄγκου καὶ φυσήματος, καὶ προσδέχονται. Φθόνος τοίνυν μὲν βασκανίας καὶ δυσμενείας, καὶ ἐπὶ μὲν ἔργῳ παρὼν, ἀγαθὸν, ἀλλὰ πᾶσιν ἐμπόδιος τοῖς καλοῖς, κάπιστος δὲ ἀπροσωπόλυπτος πάρεδρος καὶ σύμβουλος, ἀπιστίαι καὶ ἀπιστίᾳ καὶ δυσπρόσδεκτον ποιῶν τὰ ὠφέλιμα, καὶ πᾶσι μᾶλλον ἥδεσθαι τοὺς φθονοῦντας, ἢ τοῖς εὖ λεγομένοις. καίτοι πλοῦτος μὲν ὄντινα δάκνει, καὶ δόξα, καὶ κάλλος, ἑτέροις ὑπάρχοντα, φθονερόν ἐστι μόνον· ἄχθεται γὰρ ἄλλων εὐτυχούντων. ὁ δὲ λόγῳ καλῶς λεγομένῳ συχαίνων, τοῦτο τῷ ἰδίων ἀγαθῶν αἰτᾶται. ὡς δὲ τὸ φῶς τοῖς βλεπόντων, καὶ ὁ λόγος τοῖς ἀκουόντων ἀγαθόν ἐστιν, οὗ βέλονται δέχεσθαι. τὸν μὲν οὖν ἐφ' ἑτέροις φθόνον ἄλλαι τινὲς ἀπαιδευσίαι καὶ κακαὶ διαθέσεις ἐμποιοῦσιν. ὁ δὲ πρὸς τοὺς λέγοντας, ἐκ φιλοδοξίας ἀκαίρου καὶ φιλοτιμίας ἀδίκου βραύλωσος, καὶ δεῖ πρόσεχειν ἐν τοῖς λεγομένοις τὸν ὕπω διακείμενον, ἀλλὰ διορυβεῖ καὶ θεραπεῖ τοῦ διδόντος, ἅμα μὲν τοῦ ἑαυτὸν ἔξω ὑπομοῦσαν, εἰ λείπεται τῆς τοῦ λέγοντος, ἅμα δὲ τοὺς ἄλλους ὑπιβλέπουσαν, εἰ ἄγονται καὶ θαυμάζουσιν, ἐκπλαττομένῳ πρὸ τοῦ ἐπαίνου, καὶ ἀγωνιῶσαι πρὸς τοὺς παρόντας, μὴ ὑποδέχονται τὸν λέγοντα. τῶν δὲ λόγων, τοὺς μὲν εἰρημένους ἐῶσαν καὶ προϊεμένῳ, ὅτι λυπεῖσι μνημονευόμενοι, πρὸς δὲ τοὺς ὑπόντας παραττομένῳ καὶ ξέμυσαν, μὴ τῶν εἰρημένων βελτίονες δόξωσι, ποθοῦσι δὲ τάχιστα παύσασθαι τοὺς λέγοντας, ὅταν καλλίστα λέγωσι. λυθείσης δὲ τῆς ἀκροάσεως πρὸς ἡδονὴν τῶν εἰρημένων ἅπασιν, ἀλλὰ τοὺς φωνὰς καὶ διαθέ-

θέσεις τῶν παρόντων ἐπιψηφίζουσαν· καὶ τοὺς μὲν ἐπαινοῦντας, ὥσπερ ἐμμανῆ φεύγουσαν καὶ ἀποπηδῶσαν, προστρέχουσαν δὲ καὶ συναγελαζομένην τοῖς ψέγουσι τὰ εἰρημένα καὶ διαστρέφουσιν. ἂν δὲ μηδενὶ διαστρέψηται, παραβάλλουσαν νεωτέρους τινὰς, ὡς ἄμεινον εἰρηκότας εἰς τὸ αὐτὸ καὶ δυνατώτερον, ἕως διαφθείρασα καὶ λυμηναμένη τὴν ἀκρόασιν, ἀχρεῖον ἑαυτῇ καὶ ἀνόνητον ἀπεργάσηται. Διὸ δεῖ τῇ φιληκοΐᾳ πρὸς τὴν φιλοδοξίαν σπεισάμενον ἀκροᾶσθαι τοῦ λέγοντος ἵλεων καὶ πρᾷον, ὥσπερ ἐφ' ἑστίασιν ἱερὰν καὶ θυσίας ἀπαρχὴν παρειλημμένον, ἐπαινοῦντα μὲν οἷς ἐπιτυγχάνει, τὴν δύναμιν, ἀγαπῶντα δὲ τὴν προθυμίαν αὐτὴν τοῦ φέροντος εἰς μέσον ἃ γινώσκει, καὶ πείθοντος ἑτέρους δι' ὧν αὐτὸς πέπεισται. Τοῖς μὲν οὖν κατορθουμένοις ἐπιλογιστέον, ὡς οὐκ ἀπὸ τύχης οὐδὲ αὐτομάτως, ἀλλ' ἐπιμελείᾳ καὶ πόνῳ καὶ μαθήσει κατορθοῦνται. καὶ μιμητέον ταῦτα θαυμάζοντάς γε δὴ καὶ ζηλοῦντας. τοῖς δὲ ἁμαρτανομένοις ἐφιστάναι χρὴ τὴν διάνοιαν, ὑφ' ὧν αἰτιῶν καὶ ὅθεν ἡ παραξοπὴ γέγονεν. ὡς γὰρ ὁ Ξενοφών φησι, τοὺς οἰκονομικοὺς καὶ ἀπὸ τῶν φίλων ὀνήσασθαι καὶ ἀπὸ τῶν ἐχθρῶν· οὕτω τοὺς ἐγρηγορότας καὶ προσέχοντας, οὐ μόνον κατορθοῦντες, ἀλλὰ καὶ διαμαρτάνοντες ὠφελοῦσιν οἱ λέγοντες. καὶ γὰρ διανοήματος εὐτέλεια, καὶ ῥήματος κενότης, καὶ σχῆμα φορτικὸν, καὶ πτόησις μετὰ χαρᾶς ἀπειροκάλου πρὸς ἔπαινον, καὶ ὅσα τοιαῦτα, μᾶλλον ἀκροωμένοις ἐφ' ἑτέρων, ἢ λέγουσιν ἐφ' ἑαυτῶν καταφαίνεται. Διὸ δεῖ μεταφέρειν τὴν εὐθύνην ἐφ' ἑαυτοὺς ἀπὸ τοῦ λέγοντος, ἀνασκοποῦντας εἴ τι τοιοῦτον λανθανόμεν ἁμαρτάνοντες· ῥᾷστον γάρ ἐστι τῶν ὄντων τὸ μέμψασθαι τὸν πλησίον, ἀχρήστως τε καὶ κενῶς γινόμενον, ἂν μὴ πρός τινα διόρθωσιν, ἢ φυλακὴν ἀναφέρηται τῶν ὁμοίων. καὶ τὸ τοῦ Πλάτωνος οὐκ ὀκνητέον ἀεὶ πρὸς αὑτὸν ἐπὶ τῶν ἁμαρτανόντων ἀναφθέγγεσθαι. Ἤπου ἆρ' ἐγὼ τοιοῦτος; ὡς γὰρ ἐν τοῖς ὄμμασι τῶν πλησίον ἐλλάμποντα τὰ ἑαυτῶν ὁρῶμεν, οὕτως ἐπὶ τῶν λόγων δεῖ τοὺς

ἑαυ-

ἑαυτῶν ἐνεικονίζεσθαι τοῖς ἑτέρων, ἵνα μήτε ἄγαν θρασέως καταφρονῶμεν ἄλλων, αὐτοῖς τε προσέχωμεν ἐν τῷ λέγειν ἐπιμελέστερον. Χρήσιμον δὲ πρὸς τοῦτο καὶ τὸ τῆς παραβολῆς, ὅταν γενόμενοι καθ' αὑτοὺς ἀπὸ τῆς ἀκροάσεως, καὶ λαβόντες τι τῶν μὴ καλῶς, ἢ μὴ ἱκανῶς εἰρῆσθαι δοκούντων, ἐπιχειρῶμεν εἰς ταὐτὸ, καὶ προάγωμεν αὑτοὺς, τὰ μὲν ὥσπερ ἀναπληροῦν, τὰ δὲ ἐπανορθοῦσθαι, τὰ δὲ ἑτέρως φράζειν, τὰ δ' ὅλως εἰσφέρειν ἐξ ὑπαρχῆς πειρώμενοι πρὸς τὴν ὑπόθεσιν. ὃ καὶ Πλάτων ἐποίησε πρὸς τὸν Λυσίου λόγον. τὸ μὲν γὰρ ἀντειπεῖν οὐ χαλεπὸν, ἀλλὰ καὶ πάνυ ῥᾴδιον, εἰρημένῳ λόγῳ· τὸ δ' ἕτερον ἀνταναστῆσαι βελτίονα, παντάπασιν ἐργῶδες. ὥσπερ ὁ Λακεδαιμόνιος ἀκούσας, ὅτι Φίλιππος Ὄλυνθον κατέσκαψεν, ἀλλ' οὐκ ἀναστῆσαί γε τοιαύτην, ἔφη, πόλιν ἐκεῖνος ἂν δυνηθείη. ὅταν οὖν ἐν τῷ διαλέγεσθαι, πρὸς τὴν αὐτὴν ὑπόθεσιν μὴ πολὺ φαινώμεθα τῶν εἰρηκότων διαφέροντες, πολὺ τοῦ καταφρονεῖν ἀφαιρούμεν, καὶ τάχιστα κωλύεται τὸ αὔθαδες ἡμῶν καὶ φίλαυτον ἐν σταῖς τοιαύταις ἐλεγχόμενον ἀντιπαραβολαῖς. Τῷ τοίνυν καταφρονεῖν τὸ θαυμάζειν ἀντικείμενον, εὐγνωμονεστέρας μέν ἐστι δήπου καὶ ἡμερωτέρας φύσεως, δεῖταί γε μὴν οὐδ' αὐτὸ μικρᾶς εὐλαβείας, τάχα δὲ καὶ μείζονος, ὅσῳ οἱ μὲν καταφρονητικοὶ καὶ θρασεῖς, ἧττον ὠφελοῦνται ὑπὸ τῶν λεγόντων, οἱ δὲ θαυμαστικοὶ καὶ ἄκακοι, μᾶλλον βλάπτονται. καὶ τὸν Ἡράκλειτον οὐκ ἐλέγχουσι· βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐπτοῆσθαι φιλεῖ. δεῖ δὲ τὸν μὲν ἔπαινον ἀφελῶς τοῖς λέγουσι, τὴν δὲ πίστιν εὐλαβῶς προΐεσθαι τοῖς λόγοις, καὶ τῆς μὲν λέξεως καὶ προφορᾶς τῶν ἀγωνιζομένων, εὐμενῆ καὶ ἁπλοῦν εἶναι θεατὴν, τῆς δ' χρείας καὶ τῆς ἀληθείας τῶν λεγομένων ἀκριβῆ καὶ πικρὸν ἐξοετασταὴν· ἵν' οἱ μὲν ἀκούοντες μὴ μισῶσιν, οἱ δὲ λέγοντες μὴ βλάπτωσιν, ὡς πολλὰ ψευδῆ καὶ πονηρὰ δόγματα λανθάνωμεν εὐνοίᾳ καὶ πίστει τῇ πρὸς τοὺς λέγοντας ἐκδεχόμενοι. οἱ μὲν

οὖν

ὧν Λακεδαιμονίων ἄρχοντες, ἀνδρὸς οὐκ εὖ βεβιωκότος γνώμην δοκιμάσαντες, ἑτέρῳ προσέταξαν εἰπεῖν εὐδοκιμοῦντι, περὶ τὸν βίον καὶ τὸ ἦθος, ὀρθῶς πάνυ καὶ πολιτικῶς ἐθίζοντες τὸν δῆμον ὑπὸ τοῦ τρόπου μᾶλλον, ἢ τοῦ λόγου τῶν συμβουλευόντων ἄγεσθαι. τοὺς δὲ ἐν φιλοσοφίᾳ λόγους ἀφαιροῦνται χρὴ τὴν τοῦ λέγοντος δόξαν αὐτοὺς ἐφ' ἑαυτῶν ἐξετάζειν. ὡς γὰρ πολέμου καὶ ἀκροάσεως πολλὰ τὰ κενά ἐστι. καὶ γὰρ πολιὰ τοῦ λέγοντος, καὶ πλάσματα, καὶ ὀφρῦς, καὶ περιαυτολογία, μάλιστα δὲ αἱ κραυγαὶ καὶ οἱ θόρυβοι καὶ τὰ πηδήματα τῶν παρόντων, συνεκπλήττει τὸν ἄπειρον ἀκροατὴν καὶ νέον, ὥσπερ ὑπὸ ῥεύματος παραφερόμενον. Ἔχει δέ τι καὶ ἡ λέξις ἀπατηλὸν, ὅταν ἡδεῖα καὶ πολλὴ καὶ μετ' ὄγκου τινὸς καὶ κατασκευῆς ἐπιφέρηται τοῖς πράγμασιν. ὡς γὰρ τῶν ὑπὸ αὐλὸν ᾀδόντων αἱ πολλαὶ τοὺς ἀκούοντας ἁμαρτίαι διαφεύγουσιν, οὕτω περιττὴ καὶ σοβαρὰ λέξις ἀντιλάμπει τῷ ἀκροατῇ πρὸς τὸ δηλούμενον. ὁ μὲν γὰρ Μελανθίος, ὡς ἔοικε, περὶ τῆς Διογένους τραγῳδίας ἐρωτηθεὶς, οὐκ ἔφη κατιδεῖν αὐτὴν ὑπὸ τῶν ὀνομάτων ἐπιπροσθουμένην· αἱ δὲ τῶν πολλῶν διαλέξεις καὶ μελέται σοφιστῶν, οὐ μόνον τοῖς ὀνόμασι παραπετάσμασι χρῶνται τῶν διανοημάτων, ἀλλὰ καὶ τὴν φωνὴν ἐμμελείαις τισὶ καὶ μαλακότησι καὶ περιάσεσιν ἐφηδυνόντες, ἐκβακχεύουσι καὶ περιφέρουσι τοὺς ἀκροωμένους, κενὴν ἡδονὴν διδόντες, καὶ κενωτέραν δόξαν ἀντιλαμβάνοντες. ὥστε αὐτοῖς συμβαίνει τὸ ὑπὸ Διονυσίου ῥηθέν. ἐκεῖνος γὰρ, ὡς ἔοικεν, εὐδοκιμοῦντι κιθαρῳδῷ παρὰ τὴν θέαν ἐπαγγειλάμενος δωρεάς τινας μεγάλας, ὕστερον οὐδὲν ἔδωκεν, ὡς ἀποδεδωκὼς τὴν χάριν. Ὅσον γὰρ (ἔφη) χρόνον εὔφραινες ᾄδων, τοσοῦτον ἔχαιρες ἐλπίζων. Τοῦτον δὲ τὸν ἔρανον αἱ τοιαῦται πληροῦσιν ἀκροάσεις τοῖς λέγουσι. θαυμάζονται γὰρ ἐφ' ὅσον τέρπουσιν, εἶτα ἅμα τῆς ἀκοῆς ἐξερρύη τὸ ἡδὺ, κἀκείνους προλέλοιπεν ἡ δόξα, καὶ μάτην τοῖς μὲν ὁ χρόνος, τοῖς δὲ καὶ ὁ βίος ἀνάλωται.

διὸ

διὸ δεῖ τὸ πολὺ καὶ κενὸν ἀφαιροῦντα τῆς λέξεως, αὐτὸν διώκειν τὸν καρπὸν, καὶ μιμεῖσθαι μὴ τὰς στεφηπλόκους, ἀλλὰ τὰς μελίσσας· αἱ μὲν γὰρ ἐπιποοῦσαι τὰ ἀνθηρὰ καὶ εὐώδη τῶν φύλλων, συνείρουσι καὶ διαπλέκουσιν ἡδὺ μὲν, ἐφήμερον δὲ καὶ ἄκαρπον ἔργον· αἱ δὲ, πολλάκις ἴων καὶ ῥόδων καὶ ὑακίνθων διαπετόμεναι λειμῶνας, ἐπὶ τὸν τραχύτατον καὶ δριμύτατον θύμον καταίρουσι, καὶ τούτῳ προσκάθηνται, ξανθὸν μέλι μηδόμεναι. καὶ λαβοῦσαί τι τῶν χρησίμων, ἀποπέτονται πρὸς τὸ οἰκεῖον ἔργον. οὕτω δὴ δεῖ τὸν φιλότεχνον καὶ καθαρὸν ἀκροατὴν τὰ μὲν ἀνθηρὰ καὶ τρυφερὰ τῶν ὀνομάτων, καὶ τῶν πραγμάτων τὰ δραματικὰ καὶ πανηγυρικὰ, κηφήνων βοτάνην σοφιστιώντων ἡγούμενον ἐᾶν, αὐτὸν δὲ τῇ προσοχῇ καταδυόμενον εἰς τὸν νοῦν τοῦ λόγου, καὶ τὴν διάθεσιν τοῦ λέγοντος, ἕλκειν ἀπ' αὐτῆς τὸ χρήσιμον καὶ ὠφέλιμον, μεμνημένον, ὡς οὐκ εἰς θέατρον οὐδὲ ᾠδεῖον, ἀλλ' εἰς σχολὴν καὶ διδασκαλεῖον ἀφῖκται, τῷ λόγῳ τὸν βίον ἐπανορθωσόμενος. ὅθεν δὴ καὶ ποιητέον ἐπίσκεψιν καὶ κρίσιν τῆς ἀκροάσεως ἐξ αὐτοῦ, καὶ τῆς περὶ αὐτὸν διαθέσεως, ἀναλογιζόμενον εἴτι τῶν παθῶν γέγονε μαλακώτερον, εἴτι τῶν ἀνιαρῶν κουφότερον, εἰ θάρσος, εἰ φρόνημα βέβαιον, εἰ πρὸς ἀρετὴν καὶ τὸ καλὸν ἐνθουσιασμός. Οὐ γὰρ ἐκ κουρείου μὲν ἀναστάντα δεῖ τῷ κατόπτρῳ παραστῆναι, καὶ τῆς κεφαλῆς ἅψασθαι, τὴν περικοπὴν τῶν τριχῶν ἐπισκοποῦντα, καὶ τῆς κουρᾶς τὴν διαφορὰν, ἐκ δὲ ἀκροάσεως ἀπιόντα καὶ σχολῆς, οὐκ εὐθὺς ἀφορᾶν χρὴ πρὸς ἑαυτὸν, καταμανθάνοντα τὴν ψυχὴν, εἴτι τῶν ὀχληρῶν ἀποτεθειμένη καὶ περιττῶν, ἐλαφροτέρα γέγονε καὶ ἡδίων. οὔτε γὰρ βαλανείου φησὶν ὁ Ἀρίστων, οὔτε λόγου μὴ καθαίροντος, ὄφελός ἐστιν. ἡδέσθω μὲν οὖν ὑπὸ λόγων ὠφελούμενος ὁ νέος. οὐ δεῖ δὲ τὸ ἡδὺ τῆς ἀκροάσεως ποιεῖσθαι τέλος, οὐδὲ οἴεσθαι δεῖν, ἐκ σχολῆς ἀπιέναι Φιλοσόφου, μινυρίζοντα καὶ γεγανωμένον, οὐδὲ ζητεῖν μυρίζεσθαι δεόμενον ἐμβροχῆς καὶ καταπλάσματος,

ἀλλὰ

ἀλλὰ χάριν ἔχειν, ἐάν τις ὥσπερ καπνῷ σμῆνος, λόγῳ δριμεῖ τὴν διάνοιαν ἀχλύος πολλῆς καὶ ἀμβλύτητος γέμουσαν ἐκκαθάρῃ. καὶ γὰρ εἰ τοῖς λέγουσι προσήκει μὴ παντάπασιν ἡδονὴν ἐχούσης καὶ πιθανότητα λέξεως παραμελεῖν, ἐλάχιστα τούτου φροντιστέον ἐστὶ τῷ νέῳ, τόγε πρῶτον. ὕστερον δέπου, καθάπερ οἱ πίνοντες ὅταν παύσωνται διψῶντες, τότε τὰ τορεύματα τῶν ἐκπομάτων ὑποθεωροῦσι καὶ στρέφουσιν, οὕτως ἐμπλησθέντι δογμάτων καὶ ἀναπνεύσαντι, δοτέον τὴν λέξιν εἴτι κομψὸν ἔχει καὶ περιττὸν ἐπισκοπεῖν. ὁ δ' εὐθὺς ἐξαρχῆς μὴ τοῖς πράγμασιν ἐμφυόμενος, ἀλλὰ τὴν λέξιν Ἀττικὴν ἀξιῶν εἶναι καὶ ἰσχνὴν, ὅμοιός ἐστι μὴ βουλομένῳ πιεῖν ἀντίδοτον, ἂν μὴ τὸ ἀγγεῖον ἐκ τῆς Ἀττικῆς κωλιάδος ᾖ κεκεραμευμένον, μὴ δὲ ἱμάτιον περιβαλέσθαι χειμῶνος, εἰ μὴ προβάτων Ἀττικῶν εἴη τὸ ἔριον. ἀλλ' ὥσπερ ἐν τρίβωνι Λυσιακοῦ λόγου λεπτῷ καὶ ψιλῷ καθήμενος, ἄπρακτος καὶ ἀκίνητος. ταῦτα γὰρ τὰ νοσήματα, πολλὴν μὲν ἐρημίαν νοῦ καὶ φρενῶν ἀγαθῶν, πολλὴν δὲ τερθρείαν καὶ στωμυλίαν ἐν ταῖς σχολαῖς πεποίηκε τῶν μειρακίων, οὔτε πρᾶξιν, οὔτε πολιτείαν Φιλοσόφου παραφυλαττόντων ἀνδρὸς, ἀλλὰ λέξεις καὶ ῥήματα, καὶ τὸ καλῶς ἀπαγγέλλειν ἐν ἐπαίνῳ τιθεμένων, τὸ δὲ ἀπαγγελλόμενον εἴτε χρήσιμον, εἴτε ἄχρηστον, εἴτε ἀναγκαῖον, εἴτε κενόν ἐστι καὶ περιττὸν, οὐκ ἐπισταμένων, οὐδὲ βουλομένων ἐξετάζειν. ἀκολουθεῖ δὲ τούτοις τὸ περὶ τῶν προβλημάτων παράγγελμα. δεῖ γὰρ τὸν ἐπὶ δεῖπνον ἥκοντα, τοῖς παρακειμένοις χρῆσθαι, καὶ μηδὲν αἰτεῖν ἄλλο, μηδ' ἐξελέγχειν. ὁ δ' ἐπὶ λόγων ἀφιγμένος ἑστίασιν, ὧν μὲν ἐπὶ ῥητοῖς, ἀκροάσθω σιωπῇ τοῦ λέγοντος. οἱ γὰρ εἰς ἄλλας ὑποθέσεις ἐξάγοντες καὶ παρεμβάλλοντες ἐρωτήματα, καὶ προσδιαποροῦντες, οὐχ ἡδεῖς, οὐδὲ εὐσυνάλλακτοι πρὸς ἀκρόασιν ὄντες, ὠφελοῦνται μὲν οὐδὲν, τὸν δὲ λέγοντα καὶ τὸν λόγον ὁμοῦ συνταράσσουσιν. ὅταν δὲ τοὺς ἀκούοντας ὁ λόγων ἐρωτᾷν

καὶ

καὶ προβάλλειν κελεύσῃ, χρήσιμόν τι δεῖ καὶ ἀναγκαῖον ἀεὶ προβάλλοντα φαίνεσθαι· ὁ μὲν γὰρ Ὀδυσσεὺς καταγελᾶται παρὰ τοῖς μνηστῆρσιν,

Αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας.

μεγαλοψυχίας γὰρ ἡγοῦντο σημεῖον, ὡς τὸ διδόναι τι τῶν μεγάλων, καὶ τὸ αἰτεῖν. μᾶλλον δ' ἄντις ἀκροατοῦ καταγελάσειεν εἰς μικρὰ καὶ γλίσχρα προβλήματα τὸν διαλεγόμενον κινοῦντος· οἷα τερθρευόμενοί τινες τῶν νέων, καὶ παρεπιδεικνύμενοι διαλεκτικὴν, ἢ μαθηματικὴν ἕξειν, εἰώθασι προβάλλειν περὶ τῆς τῶν ἀορίστων τομῆς, καὶ τίς ἡ κατὰ πλευρὰν, ἢ κατὰ διάμετρον κίνησις. πρὸς οὓς ἔστιν εἰπεῖν τὸ ὑπὸ Φιλοτίμου πρὸς τὸν ἔμπυον καὶ φθισιῶντα ῥηθέν. ἐπεὶ γὰρ ἐλάλησεν αὐτῷ φαρμάκιον αἰτῶν πρὸς παρωνυχίαν, αἰσθόμενος ἀπὸ τῆς χρόας καὶ τῆς ἀναπνοῆς τὴν διάθεσιν, οὐκ ἔστι σοί (φησιν) ὦ βέλτιστε περὶ παρωνυχίας ὁ λόγος. οὐδέ σοι τοίνυν, ὦ νεανία, περὶ τοιούτων ζητημάτων ὥρα σκοπεῖν, ἀλλὰ πῶς οἰήματος καὶ ἀλαζονείας, ἐρώτων τε καὶ φλυαρίας ἀπολυθεὶς, εἰς βίον ἄτυφον καὶ ὑγιαίνοντα καταστήσεις σαυτόν. Εὖ μάλα δὲ χρὴ καὶ πρὸς τὴν τοῦ λέγοντος ἐμπειρίαν, ἢ φυσικὴν δύναμιν ἡρμοσμένον, ἐν οἷς αὐτὸς ἑαυτοῦ κράτιστός ἐστι, ποιεῖσθαι τὰς ἐρωτήσεις, καὶ μὴ παραβιάζεσθαι, τὸν μὲν ἠθικώτερον φιλοσοφοῦντα, φυσικὰς ἐπάγοντα καὶ μαθηματικὰς ἀπορίας. τὸν δὲ τοῖς φυσικοῖς σεμνυνόμενον, εἰς συνημμένων ἐπικρίσεις ἕλκοντα, καὶ ψευδομένων λύσεις. ὡς γὰρ ὁ τῇ κλειδὶ τὰ ξύλα σχίζειν, τῇ δὲ ἀξίνῃ τὴν θύραν ἀνοίγειν πειρώμενος, οὐκ ἐκεῖνα δόξειεν ἂν ἐπηρεάζειν, ἀλλ' αὐτὸν ἀποστερεῖν τῆς ἑκατέρου χρείας καὶ δυνάμεως. οὕτως οἱ παρὰ τοῦ λέγοντος ὃ μὴ πέφυκε μηδὲ ἤσκηκεν αἰτοῦντες. ὃ δ' ἔχει καὶ δίδωσι μὴ δρεπόμενοι μηδὲ λαμβάνοντες, οὐ τοῦτο βλάπτονται μόνον, ἀλλὰ καὶ κακοήθειαν καὶ δυσμένειαν προσοφλισκάνουσι. φυλακτέον δὲ τὸ πολλὰ καὶ πολλάκις αὐτὸν προβάλλειν. ἔστι γὰρ

καὶ

καὶ τῶν ἔπους τινὰ παρεπιδεικνυμένου· τὸ δὲ ἑτέρῳ προτεί-
νοντος ἀκροᾶσθαι μετ' εὐκολίας, φιλόλογον καὶ κοινωνικὸν,
ἐὰν μήτε τῷ ἰδίων ἐνοχλῇ καὶ καπνείᾳ πάθος, ὅπερ ἐμ-
πίπλησι διόμυσον, ἢ νόσημα περιηχοῦσιν. τάχα μὲν γὰρ εὐθὺς
ἀμαθίᾳ κρύπτειν ἄμεινον, ὡς φησὶν Ἡράκλειτος, ἀλλ'
εἰς μέσον τιθεὶς καὶ θεραπεύειν· αἱ δὲ ὀργήτις, ἢ παρα-
βολὴ δεισιδαιμονίας, ἢ διαφορὰ πρὸς οἰκείους συμπότους, ἢ
φθονερὸν ἐξ ἔρωτος ἐπιθυμία, κινοῦσα χαρδίας τὰς ἀκινή-
τους φρενῶν ἐπιταράξῃ τὸν διαῤῥοιῶν· ὁ φιλητέον εἰς ἑτέρους
λόγους ἀποδιδράσκοντας τὸν ἔλεγχον, ἀλλὰ περὶ αὐτῶν πά-
των ἀκουστέον ἐν ταῖς διατριβαῖς, καὶ μὴ πρὸς διατριβάς, ἰδίᾳ
παροτρύνοντας αὐτοὺς καὶ παρακαλοῦντας· ἀλλὰ μὴ πανηγύριον,
ὥσπερ οἱ πολλοὶ χαίρουσι τοῖς Φιλοσόφοις περὶ ἄλλων διαλε-
γομένοις, καὶ θαυμάζουσιν· ἐὰν δέ τις ἄλλος ἐάσας ὁ Φιλό-
σοφος, αὐτοῖς ἐκείνοις ἰδίᾳ παῤῥησιάζηται, περὶ ὧν διαπο-
ρούντων, καὶ ταραττομένοις, δυσχεραίνουσι καὶ βάρος νομίζου-
σιν. ὁμοίως δὲ, ὥσπερ τῶν ζαγωδῶν ἐν τοῖς θεάτροις, καὶ
τῶν φιλοσόφων ἐν ταῖς σχολαῖς οἴονται δεῖν ἀκούειν, ἐν δὲ
ταῖς ἔξω συγγυμνασίαις ὑδὲ αὐτοὺς ἑαυτῶν διαφέρειν ἡγοῦνται,
πρὸς μὲν τὰς σοφιστὰς εἰκότως τοῦτο πεπονθότες. ἀναπαύ-
ονται δὲ ὑπὸ τῶν θρόνων, καὶ ὑποθέμενοι τὰ βιβλία, καὶ τὰς εἰσα-
γωγὰς ἐν τοῖς ἀληθινοῖς τοῦ βίου μέρεσι, μικροὶ καὶ νεω-
χμοὶ φαίνονται τοῖς πολλοῖς. περὶ δὲ τῶν ὄντως φιλοσόφων
ἀγνοοῦντες, ὅτι καὶ ὠφελεῖ, καὶ παιδεύει, καὶ νεῦμα, καὶ μειδίαμα
καὶ συνθρασμὸς αὐτῶν, μᾶλλον δ' ὁ πρὸς ἕκαστον ἰδίᾳ πε-
ραινόμενος λόγος, ἔχει τινὰ καρπὸν ὠφέλιμον τοῖς ὑπομέ-
νειν παρασκευὴν ἐνθεῖσι. Δεῖται δὲ καὶ τὸ περὶ τὰς ἐπαίνους
καθήκον ἀληθείας τινὸς καὶ μεσότητος, διὰ τὸ μήτε τοῦ ἐλ-
λείπειν αὐτὸν, μήτε τοῦ ὑπερβάλλειν ἀληθὲς εἶναι. βαρὺς
μὲν γὰρ ὁ ἀκροατὴς καὶ φορτικὸς, ὁ πρὸς πᾶν ἄτεγκτος καὶ ἀτε-
νὴς τὸ λεγόμενον, οἰήματος ὕπτιλα καὶ περιαυτολογίας ἐπιδέ-

δεται

θέτου μεστός, ὡς ἔχων τι τῶν λεγομένων βέλτιον εἰπεῖν, μήτε ὀφρῦν κατὰ σχῆμα κινῶν, μήτε φωνὴν εὐγνώμονος μάρτυρα φιληκοΐας προϊέμενος, ἀλλὰ σιγῇ καὶ βαρύτητι καταπλάστῳ καὶ σχηματισμῷ θηρώμενος δόξαν εὐσταθοῦς καὶ βάθος ἔχοντος ἀνδρὸς, ὥσπερ χρημάτων, τῶν ἐπαίνων, ὅσον ἄλλῳ μεταδίδωσιν, αὐτῷ δοκῶν ἀφαιρεῖσθαι. πολλοὶ γάρ εἰσιν οἱ κακῶς καὶ παρὰ μέλος τὴν Πυθαγόρου φωνὴν ὑπολαμβάνοντες. ἐκεῖνος μὲν γὰρ ἐκ φιλοσοφίας ἔφησεν αὐτῷ περιγεγονέναι τὸ μηδὲν θαυμάζειν· οὗτοι δὲ τὸ μηδένα ἐπαινεῖν, μηδὲ τιμᾶν ἐν τῷ καταφρονεῖν τιθέμενοι, καὶ τὸ σεμνὸν ὑπεροψίᾳ διώκουσιν· ὁ γὰρ φιλόσοφος λόγος τὸ μὲν ἐξ ἀπορίας καὶ ἀγνοίας θαῦμα καὶ θάμβος ἐξαίρει, γνώσει καὶ ἱστορίᾳ τῆς περὶ ἕκαστον αἰτίας, τὸ δὲ εὔκολον καὶ μέγα καὶ φιλάνθρωπον οὐκ ἀπόλλυσι. τοῖς γὰρ ἀληθινῶς καὶ βεβαίως ἀγαθοῖς τιμήτε καλλίστη, τὸ τιμῆσαί τινα τῶν ἀξίων, καὶ κόσμος εὐπρεπέστατος, τὸ ἐπικοσμῆσαι περιουσίᾳ δόξης καὶ ἀφθονίᾳ γινόμενον. οἱ δὲ γλίσχροι περὶ τοὺς ἑτέρων ἐπαίνους, ἔτι πένεσθαι καὶ πεινῆν ἐοίκασι τῶν ἰδίων. Ὁ δ' ἐναντίος τούτων αὖ πάλιν, μηδὲ ἐπικρίνων, ἀλλὰ κατὰ ῥῆμα καὶ συλλαβὴν ἐφιστάμενος καὶ κεκραγὼς, ἐλαφρός τις ὢν καὶ ὀρνεώδης, πολλάκις μὲν οὐδὲ αὐτοῖς ἀρέσκει τοῖς ἀγωνιζομένοις, ἀεὶ δὲ λυπεῖ τοὺς ἀκροωμένους, ἀνασοβῶν καὶ συνεξανιστὰς παρὰ γνώμην, οἷον ἑλκομένους βίᾳ δι' αἰδῶ καὶ συνεπηχοῦντας, οὐδὲν δὲ ὠφεληθεὶς, διὰ τὸ ταραχώδη καὶ πολυπτόητον αὐτῷ περὶ τοὺς ἐπαίνους γεγονέναι τὴν ἀκρόασιν, ἀπέρχεται τῶν τριῶν ἐν φερόμενος· εἴρων γὰρ, ἢ κόλαξ, ἢ περὶ λόγους ἀπειρόκαλος ἔδοξεν εἶναι. Δίκην μὲν οὖν δικάζοντα, δεῖ μήτε πρὸς ἔχθραν τινὰ, μήτε πρὸς χάριν ἀκούειν, ἀλλ' ἀπὸ γνώμης πρὸς τὸ δίκαιον. ἐν δὲ ταῖς φιλολόγοις ἀκροάσεσιν, οὔτε νόμος οὐδεὶς, οὔτε ὅρκος ἡμᾶς ἀπείργει, μὴ μετ' εὐνοίας ἀποδέχεσθαι τὸν διαλεγόμενον. ἀλλὰ καὶ τὸν Ἑρμῆν ταῖς χάρισιν οἱ παλαιοὶ συγκα-

θί-

διδρυσαν, ὡς μάλιστα τῷ λόγῳ τὸ συγκεχαρισμένον καὶ φορτικὸν φιλεῖ ἀπαιτοῦντος. ἐδὲ γὰρ οἴονται παντελῶς ὕπνος ἐκβάλλειν τὸν λέγοντα καὶ διημαρτημένον, ὥς τε μήτε νεῦν τινα φιλοκεῖν ἄξιον ἐπαίνου, μήτε ἀπομνημόνευσιν ἑτέρων, μήτε αὐτῶν τινὰ ὑπόθεσιν τοῦ λόγου καὶ προαίρεσιν, ἀλλὰ μηδὲ λέξιν, ἢ διάθεσιν τῶν λεγομένων, ὡς αὖ ἐχινόποδας καὶ αἰχμὴν ὄνωνιν, ἵνα φύονται μαλακῶν αὐθις λευκοίων. ὅπου γὰρ ἐμέτου τινὸς ἐγκώμια καὶ πυρετοῦ, καὶ νὴ Δία χύδας ἐπιδεικνύμενοι, πιθανότητος δὲ μοιρῶσιν, ἵνα λόγος ὑπ' ἀνδρὸς ἄλλως γέροντος δοκοῦντος, ἢ καλουμένου Φιλοσόφου περαινόμενος, ὡς αὖ ὅλως ἀναπνοήν τινα καὶ χαιρὸν ἀκροαταῖς διδόντες καὶ φιλανθρώποις πεφυκέναι πρὸς ἔπαινον; οἱ γοῦν ἐν ὥρᾳ πώποτε, ὥς φησιν ὁ Πλάτων, ἀμυγέπη δάκνουσι τὸν ἐρωτικόν. καὶ λευκὴς μὲν, θεῶν παῖδας ἀνακαλῶν, μέλανας δὲ ἀνδρικὸς, καὶ τὸν ξανθὸν βασιλικὸν, καὶ τὸν σιμὸν ἐπαίρειν, τὸν δὲ ἀγχινύσσοκοείζομενος μελίχρων, ἀπατάζεται καὶ ἀγαπᾷ. δεινὸς γάρ ἐστιν ὁ ἔρως, ὥσπερ ὁ κιττὸς αὐτὸν ἐκ πάσης ἀναδῆσαι φορᾶς. πολὺ δὴ μᾶλλον ὁ φιλήκοος καὶ φιλολόγος, εἴτινος αἰτίας ἀρετικὸς ἔσται, διὰ τοῦτο ἂν δοκῇ τῷ λεγόντων ἕκαστον ἐπαινῶν φανεῖται. καὶ γὰρ ὁ Πλάτων τὸν Λυσίου λόγον, ὅτι καὶ τοῦ εὑρεῖν ἐπαινῶν, καὶ τῆς ἀπειρίας αἰτιώμενος, οὐ μόνον αὐτῷ τοῦ ἐπαγγελίαν ἐπαινεῖ. καὶ ὅτι τῷ ὀνομάτων σαφῶς καὶ στρογγύλως ἕκαστον διατεθρύλλεται. μέμφεται δ' αὖτις Ἀρχιλόχου μὲν τοῦ ὑπόθεσιν, Παρμενίδου δὲ τοῦ στοιχοποιΐαν, Φωκυλίδου δὲ τοῦ ἀτέλειαν, Εὐριπίδου δὲ τοῦ λαλιάν, Σοφοκλέους δὲ τοῦ ἀνωμαλίαν, ὥσπερ ἀμύλεως καὶ τῶν ῥητόρων, ἔστιν ὁ μὲν ἂν ἔχων ἦθος, ὁ δὲ πρὸς πάθος ἀργός, ὁ δ' ἐνδεὴς χαρίτων, ἕκαστος γεμοῦ ἐπαινεῖται καὶ τὸ ἴδιον τῆς διαιρέσεως, ᾧ κινεῖν καὶ ἄγειν πέφυκεν. ὥς τε καὶ πρὸς ἀκρόασιν, ἀπορίαν εἶναι καὶ ἀφθονίαν τοῦ φιλοφρονεῖσθαι, τοὺς λέγοντας. ἐνίοις γὰρ ἐξαρκεῖ κἂν μὴ ἀξίως φαίνῃς, ἐπαμαρτυρῶν

μεν ὃ

μὲν, ὄμματος πρᾳότητα, καὶ γαλήνην προσώπου, καὶ διάθεσιν εὐμενῆ καὶ ἄλυπον ἐμπαλλαχεῖν. ἐκεῖνα μὲν γὰρ ἤδη καὶ πρὸς τοὺς ὅλως ἀποτυγχάνοντας, ὥσπερ ἐγκύκλια καὶ κοινὰ πάσης ἀκροάσεώς ἐστι. καθέδρα δέ τις ἄτυφος, καὶ ἀκλινὴς ἐν ὀρθῷ σχήματι, καὶ πρόσβλεψις αὐτῷ τῷ λέγοντι, καὶ τάξις ἐναργοῦς προσοχῆς, καὶ προσώπου κατάστασις καθαρὰ καὶ ἀνέμφατος, οὐχ ὕβρεως, οὐδὲ δυσκολίας μόνον, ἀλλὰ καὶ φροντίδων ἄλλων καὶ ἀσχολιῶν, ὡς ἐν ἔργῳ γε παντί. τὸ μὲν καλὸν, ἐκ πολλῶν οἷον ἀριθμῶν εἰς ἕνα καιρὸν ἡκόντων, ὑπὸ συμμετρίας τινὸς καὶ ἁρμονίας ἐπιτελεῖται. τὸ δ' αἰσχρὸν, ἐξ ἑνὸς τοῦ τυχόντος ἐλλείποντος, ἢ προσόντος ἀτόπως, εὐθὺς ἑτοίμην ἔχει τὴν γένεσιν. ὥσπερ ἐπ' αὐτῆς τῆς ἀκροάσεως, οὐ μόνον βαρύτης ἐπισκυνίου, καὶ ἀηδία προσώπου, καὶ βλέμμα ῥεμβῶδες, καὶ περίκλασις σώματος, καὶ μηρῶν ἐπάλλαξις ἀπρεπὴς, ἀλλὰ καὶ νεῦμα, καὶ ψιθυρισμὸς πρὸς ἕτερον, καὶ μειδίαμα, χασμαίτε ὑπνώδεις, καὶ κατήφειαι, καὶ πᾶν εἴτι τούτοις ἔοικεν, ὑπεύθυνόν ἐστι, καὶ δεῖται πολλῆς εὐλαβείας. οἱ δὲ, τοῦ μὲν λόγοντος, οἴονταί τι ἔργον εἶναι τοῦ δὲ ἀκούοντος, οὐδέν· ἀλλ' ἐκεῖνον μὲν ἀξιοῦσιν ἥκειν πεφροντικότα, καὶ παρεσκευασμένον, αὐτοὶ δὲ ἄσκεπτοι καὶ ἀφρόντιδες τῶν καθηκόντων ἐμβαλόντες, καθέζονται καθάπερ ἀτεχνῶς ἐπὶ δεῖπνον ἥκοντες, εὖ παθεῖν πονουμένων ἑτέρων. καίτοι καὶ συνδείπνου τι χαρίεντος ἔργον ἐστὶ, πολὺ δὲ μᾶλλον ἀκροατοῦ, κοινωνὸς γάρ ἐστι τοῦ λόγου, καὶ συνεργὸς τοῦ λέγοντος. καὶ οὐ τὰ μὲν ἐκείνου πλημμελήματα πικρῶς ἐξετάζειν ὀφείλει, καὶ ῥῆμα καὶ πρᾶγμα προάγων τὴν εὐθύνην, αὐτὸς δὲ ἀνεύθυνος ἀσχημονεῖν, καὶ πολλὰ σολοικίζειν περὶ τὴν ἀκρόασιν. ἀλλ' ὥσπερ ἐν τῷ σφαιρίζειν τῷ βαλόντι δεῖ συγκινούμενον εὐρύθμως φέρεσθαι τὸν δεχόμενον, οὕτως ἐπὶ τῶν λόγων ἐστί τις εὐρυθμία, καὶ περὶ τὸν λέγοντα καὶ περὶ τὸν ἀκροώμενον, ἂν ἑκάτερος τὸ προσῆκον αὐτῷ φυλάττῃ. Δεῖ δὲ

μηδὲ ταῖς φωναῖς τῶν ἐπαίνων ὡς ἔτυχε χρῆσθαι. καὶ γὰρ Ἐπίκουρος ἐπὶ τοῖς τῶν φίλων ἐπιστολίοις κροτοθορύβους γίνεσθαι παρ' αὐτῶν λέγων, ἀηδής ἐστιν. οἱ δὲ τὰς ξένας φωνὰς τοῖς ἀκροατηρίοις νῦν ἐπεισάγοντες, οὗτοι καὶ θείως, καὶ θεοφορήτως, καὶ ἀπροσίτως ἐπιλέγοντες, ὡς οὐκ ἔτι τοῦ καλῶς καὶ τοῦ σοφῶς καὶ τοῦ ἀληθῶς ἐξαρκοῦντος, οἷς οἱ περὶ Πλάτωνα καὶ Σωκράτην καὶ Ὑπερίδην ἐχρῶντο σημείοις τῶν ἐπαίνων, ὑπερασχημονοῦσι καὶ διαβάλλουσι τοὺς λέγοντας, ὡς ὑπερηφάνων τινῶν καὶ περιττῶν δεομένους ἐπαίνων. σφόδρα δὲ ἀηδεῖς εἰσι καὶ οἱ μεθ' ὅρκου τοῖς λέγουσιν, ὥσπερ ἐν δικαστηρίῳ, τὰς μαρτυρίας ἀποδιδόντος. οὐχ' ἧττον δὲ τούτων, οἱ περὶ τὰς ποιότητας ἀστοχοῦντες, ὅταν, φιλοσόφῳ μὲν ἐπιφωνῶσι δριμέως, γέροντι δὲ, εὐφυῶς ἢ ἀνθηρῶς, τὰς τῶν παιζόντων καὶ πανηγυριζόντων ἐν ταῖς σχολαστικαῖς μελέταις φωνὰς ἐπὶ τοὺς φιλοσόφους μετακομίζοντες, καὶ λόγῳ σωφρονοῦντι προσφέροντες ἔπαινον ἑταιρικὸν, ὥσπερ ἀθλητῇ κρίνων, ἢ ῥόδων στέφανον, οὐ δάφνης οὐδὲ κοτίνου περιτιθέντες. Εὐριπίδης μὲν οὖν ὁ Ποιητὴς, ὡς ὑπολέγοντος αὐτοῦ τοῖς χορευταῖς ᾠδήν τινα πεποιημένην ἐφ' ἁρμονίας, εἷς ἐγέλασεν, εἰ μήτις, ἔφη, ἧς ἀναίσθητος καὶ ἀπαθὴς, οὐκ ἂν ἐγέλας, ἐμοῦ μιξολυδιστὶ ᾄδοντος. ἀνὴρ δ' ἂν οἶμαι φιλόσοφος καὶ πολιτικὸς, ἀκροατοῦ διακεχυμένου τρυφὴν ἐκκόψειεν εἰπών· σύ μοι δοκεῖς ἀνόητος εἶναι καὶ ἀνάγαγος. οὐ γὰρ ἂν ἐμοῦ διδάσκοντος, ἢ νουθετοῦντος, ἢ διαλεγομένου περὶ Θεῶν, ἢ πολιτείας, ἢ ἀρχῆς, ἐτερέτιζες καὶ προσωρχοῦ τοῖς λόγοις. ὅρα γὰρ ἀληθῶς οἷόν ἐστι φιλοσόφου λέγοντος ἀπορεῖν τοὺς ἔξωθεν ὑπὸ τῶν ἔνδον βοώντων καὶ ἀλαλαζόντων, πότερον αὐλοῦντος, ἢ κιθαρίζοντος, ἢ ὀρχουμένου τινὸς ὁ ἔπαινός ἐστι· Καὶ μὴν τῶν γε νουθεσιῶν καὶ τῶν ἐπιπλήξεων, οὔτε ἀναλγήτως, οὔτε ἀνάνδρως ἀκουστέον. οἵτε γὰρ εὐκόλως καὶ ὀλιγώρως τὸ κακῶς ἀκούειν καὶ ὑπὸ τῶν φιλοσόφων φέροντες, ὥστε γελᾶν ἐλεγχόμενοι, καὶ τοὺς ἐλέγχοντας

ἐπαι-

ἐαιτεῖν, ὥσπερ οἱ τραγῳδοποιοὶ τοὺς ἐξόρτας, ὅταν ὑπ' αὐτῶν
διορύττωσι, παντάπασιν ἰατροὶ καὶ θρασεῖς ὄντες, ἀ καλῶ,
ἀλλ' ἀληθῆ διδάσκειν ἀνάδειξιν αἰδείας, τὴν αἰσχύνην. σκῶμμα μὲν γὰρ οὐδὲν ἂν εἴη παιδί τινι μετ'
ἀφελείας ἀφελοῦς ἐπιχειρεῖν ἁλύπως καὶ ἱλαρῶς, ἀκ ἀγενὲς, οὐδ' ἀπαίδευτον, ἀλλ' ἐλευθέριον πού καὶ λυκωνικόν ἐστιν. ἐπαφῆς δὲ καὶ νουθετήσεως χάριν ἐπανόρθωσιν ἤθους ὥσπερ
ἰατρικὰ δάκνοντι λόγῳ καὶ μετὰ ἐλέγχοντι, μὴ συγκεκαλυμμένον ἀκεῖν, μηδ' ἱλαρῶς καὶ ἱλίγγῳ μεσὸν αἰχμὴν φλεγμαίνουσαν τὴν ψυχὴν, ἀλλ' ἄξεστον καὶ στερρὸν καὶ καταιρακτικὸν, ἀνελευθέρου τινὸς δεινῶς καὶ ἀπαθοῦς χάριν τὸ αἰσθάνεσθαι νέου δὲ σωφρονοῦντος ἁμαρτημάτων καὶ συνέλκειν, ὡς
ἐν σκληρᾷ σαρκὶ καὶ τυλώδει τῇ ψυχῇ μαλακὰ μὴ λαμβάνοντος. Τύπων δὲ πολλῶν ὄντων οἱ τὴν ἐναντίαν ἕξιν
ἔχοντες νέοι, κἂν ἅπαξ κακῶς ποτε ἀκούσωσι, φεύγουσιν ἀπιστίαν καὶ δραπετεύοντες ἐκ φιλοσοφίας, κακὴν ἀρχὴν
τοῦ σωθῆναι τὸ αἰσχύνεσθαι τὰς φύσεως ἔχοντες, ἀπολύουσι ἑαυτοὺς ἀναισθησίᾳ καὶ μαλακίᾳ, οὐκ ἀγκαρτερητὰς τοῖς
ἐλέγχοις, οὐδὲ τὰς ἐπανορθώσεις ἀνεχόμενοι ῥᾳθύμως, ἀλλ' ἢ τὰς ἀροσιωνεῖς καὶ ἀπαλὰς ἀποστρέφοντες ὁμιλίας καὶ ὠφελοῦντας τινῶν, ἢ σοφιστῶν, ἀνωφελεῖς καὶ ἀόνητας, ἡδείαις
φωναῖς καταδόντων. ὥσπερ οὖν ὁ μὴ τὴν τομὴν φεύγων ἰατρὸν, καὶ τὸν δηδιτμον μὴ προσιέμενος, τὸ μὲν ἀληθινὸν ἀπεδέξατο, τὸ δ' ὠφέλιμον οὐκ ὑπέμεινε τῆς θεραπείας, οὕτως ὁ μὴ χαράξαντι καὶ δώσαντι λόγῳ τὴν ἀβελτερίαν, ἀπωλώσας καὶ καπεσπάσας μὴ ἀνθέξῃ, ἀπῆλθε δηθεὶς καὶ ἀλγήσας ἐν φιλοσοφίας, ἀφεληθεὶς δὲ μηδέν. ἐπεὶ γὰρ μόνον ὡς Εὐριπίδης φησὶ, τὸ ἡλέφαν ἐλεφαντίνοις ῥιστοῖσι ψυχὴ θέλγεται ῥαιπίσμασιν, ἀλλὰ καὶ τὸν ἐν φιλοσοφίας ἐμπόδων εἰσφέρουσι νέοις δηγμὸν, αὐτὸς ὁ ἐθάσας λόγος ἰᾶται. διὸ δεῖ πάσχειν μετά τι καὶ δάκνεσθαι, μὴ συντείβεσθαι δὲ,

μηδὲ ἀθυμεῖν τὸν ἐλεγχόμενον· ἀλλ' ὥσπερ ἐν τελετῇ κα-
θαρμένης αὐτοῦ φιλοσοφίας, τοὺς πρώτους καθαρμοὺς καὶ θορύβους
ἀνασχόμενον, ἐλπίζειν τι γλυκὺ καὶ λαμπρὸν ἐκ τῆς παρου-
σῆς ἀδημονίας καὶ ταραχῆς. καὶ γὰρ ἂν ἀδίκως ἡ ἐπιτίμησις
γίνεσθαι δοκῇ, καλὸν ἀνασχέσθαι καὶ διακαρτερῆσαι λέγοντος
παυσαμένῳ δὲ, αὐτὸν ἐντυχεῖν ἀπολογούμενον, καὶ δεόμενον
τὴν παρρησίαν ἐκείνην καὶ τὸν τόνον, ᾧ νῦν κέχρηται πρὸς
αὐτὸν, εἴς τι τῶν ἀληθῶς ἁμαρτανομένων φυλάττειν. Ἐν-
τοίνυν ὥσπερ ἐν γράμμασι καὶ περὶ λύραν καὶ παλαίστραν ἀ-
πρὸς τὰς μαθήσεις πολὺν ἔχουσι θόρυβον καὶ πόνον καὶ ἀσά-
φειαν, εἶτα προϊόντι καὶ μικρὸν ὥσπερ πρὸς ἀνθρώπους συνή-
θεια πολλὴ καὶ γνῶσις ἐγγενομένη, πάντα φίλα καὶ χειροήθη
καὶ ῥᾴδια, λέγειν τε καὶ πράττειν παρέσχεν. οὕτω δὴ καὶ φιλο-
σοφίας ἐχούσης τι καὶ γλίσχρον ἀμέλει καὶ ἀσύνηθες ἐν τοῖς
πρώτοις ὀνόμασι καὶ πράγμασιν, οὐ δεῖ φοβηθέντας ἀρχὰς ψο-
φοδεῶς καὶ ἀτόλμως ἐγκαταλιπεῖν, ἀλλὰ πειρώμενον ἑκάστ-
καὶ προσλιπαροῦντα καὶ γλιχόμενον τοῦ πρόσω, τὴν πᾶν τὸ κα-
λὸν ἡδὺ ποιοῦσαν ἀναμένειν συνήθειαν. ἥξει γὰρ οὐ διὰ μα-
κροῦ πολὺ φῶς ἐπιφέρουσα τῇ μαθήσει, καὶ δεινοὺς ἔρωτας ἐνδι-
δοῦσα πρὸς τὴν ἀρετὴν, ὧν ἄνευ, πάνυ τλήμονος ἀνδρός ἐστιν
ἢ δειλοῦ, τὸν ἄλλον ὑπομένειν βίον, ἐκπεσόντα δι' ἀνανδρίαν
φιλοσοφίας. ἴσως μὲν οὖν ἔχει τι καὶ τὰ πράγματα τοῖς ἀπεί-
ροις καὶ νέοις ἐν ἀρχῇ δυσκατανόητον, οὐ μὴν ἀλλὰ τῇ γε πλεί-
στῃ περιπίπτουσιν ἀσαφείᾳ καὶ ἀγνοίᾳ δι' αὑτοὺς, ἀπ' ἐναντίων
φύσεως ταυτὸν ἁμαρτάνοντες. οἱ μὲν γὰρ αἰσχύνῃ τινὶ καὶ φειδὸ
τοῦ λέγοντος ὀκνοῦντες ἀνέρεσθαι καὶ βεβαιώσασθαι τὸν λόγον, ὡ
ἔχοντες ἐν νῷ συνεπινεύουσιν. οἱ δ' ὑπὸ φιλοτιμίας ἀώρου
κενῆς πρὸς ἑτέρους ἁμίλλης ὀξύτητα, καὶ δυόαμιν εὐμαθείας ἐ-
πιδεικνύμενοι, πρὶν ἢ λαβεῖν, ἔχειν ὁμολογοῦντες, οὐ λαμ-
βάνουσιν. εἶτα συμβαίνει, τοῖς μὲν αἰδήμοσι καὶ σιωπηλοῖ
ἐκείνοις, ὅταν ἀπέλθωσι, λυπεῖν αὐτοὺς καὶ ἀπορεῖσθαι, καὶ

τέ-

πλος αὐθις ὑπ' ἀνάγκης ἐλαυνομένους, οὐ αὐχοῦσι μείζονι τοῖς εἰπεῖν ἀνοχλεῖν, ἀναπειθομένους καὶ μεταθέοντας, τοῖς δὲ φιλοτίμοις καὶ θρασέσιν, ἀεὶ προσέχειν καὶ ἀποκρύπτειν συνοικοῦσαν τὴν ἀμαθίαν. Πᾶσαν ἂν ἀπαλλάμοι τις τοσαύτην βλακείαν καὶ ἀλαζονείαν, πρὸς τὸ μαθεῖν καὶ προλαβεῖν τῇ διανοίᾳ τὸ χρησίμως λεγόμενον ὑπομιμούμενος τὰς τῶν δύφυῶν ὀδόντων γέλωτας, ὥσπερ ὁ Κλεανθης καὶ ὁ Ξενοκράτης, βραδύτεροι ὀδόντες ἦσαν τῶν συχολαστῶν, ἢ ἀπεδίδρασκον ἐκ τοῦ μανθάνειν ἢδὲ ἀπέκαμνον, ἀλλ' φθάνοντες, εἰς ἑαυτὸς ἔπαιζον, ἀγκίστροις τε βραχυτόμοις, καὶ πινακίσι χαλκαῖς ἀπεικάζοντες, ὡς μόλις μὲν προσδεχόμενοι τοὺς λόγους, ἀσφαλῶς δὲ καὶ βεβαίως σῳζοντες. ἃ δὴ μόνον, ὡς φησι Φωκυλίδης, πόλλ' ἀπαθεῖν ἄμεινον ἐμμεῖναι ἐθελόν, ἀλλὰ καὶ γελασθῆναι δεῖ πολλά, καὶ ἀδοξῆσαι, καὶ βωμολοχίας ἀνεξέμμεναι ὡς φάθυς παντὶ τῷ θυμῷ, καὶ καταθλῆσαι τὴν ἀμαθίαν. Οὐ μὴν, οὐδὲ πῶς παρὰ τυραννίδος ἁμαρτίας ἀμιλητέον, διὰ ἁμαρτάνουσιν, οἱ μὲν ὑπὸ παιδείας ἀνδρὸς καὶ κοπώδεις ὄντες, οὐ δὲ ἐθέλουσι θρύπτοις καὶ ἀτύχοις παρέχειν, ἀλλὰ παρέχουσι τῷ λέγοντι πολλάκις ἐκπιπτανόμενοι περὶ τῷ αὐτῷ, ὥσπερ ἀπειλῶς νεοττοὶ, κεχηνότες ἀεὶ πρὸς ἄλλότριον στόμα, καὶ πᾶν ἕτοιμον ἤδη καὶ διατετριμμένον ὑπ' ἄλλων ἐκλαμβάνειν ἐθέλοντες. ἕτεροι δὲ, παροτρυνῆς καὶ δεομένου τοῦ δέοντι θαρρῶμεν δόξαι, ἀποκναίουσι λαλιᾷ καὶ περιεργίᾳ τοὺς λέγοντας, ἀεί τι προσπαροινοῦντες τῷ ἐκ ἀναγκαίου, καὶ ζητοῦντες ἀποδείξεις τῷ ἐ δεομένων. ὅπως ὁδὸς βραχεῖα γίνεται μακρὰ, ὡς φησι Σοφοκλῆς, οὐκ αὐτοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις. ἀντιλαμβανόμενοι δὲ ἑκάστοτε κοναῖς καὶ περιττοῖς ἐρωτήσεσι τοῦ διδάσκοντος ὥσπερ ἐν στωδίᾳ, τὸ ἐνδελεχὲς ἐμποδίζουσι τῆς μαθήσεως, ἐπιτάσεις καὶ διαιρεβὰς λαμβανούσης. ἔστι μὲν οὖν

καὶ τὸν Γερώνυμον, ὥσπερ οἱ δειλοὶ καὶ γλίσχροι σκύλακες τὰ δέρματα δάκνοντες οἴκοι, καὶ τὰ τίλματα τίλλοντες, τῶν θηρίων αὐτῶν οὐχ ἅπτονται. Τοὺς δ' ἀργοὺς ἐκείνους πλεκαλώμεν, ὅταν τὰ κεφάλαια τῇ νοήσει περιβάλλωσιν, αὐτοὺς δὲ αὐτῶν τὰ λοιπὰ συντιθέναι, καὶ τῇ μνήμῃ χειραγωγεῖν τὴν εὕρεσιν, καὶ τὸν ἀλλότριον λόγον οἷον ἀρχὴν καὶ σπέρμα λαβόντας, ἐκτρέφειν καὶ αὔξειν. οὐ γὰρ ὡς ἀγγεῖον ὁ νοῦς ἀποπληρώσεως, ἀλλ' ὑπεκκαύματος μόνον, ὥσπερ ὕλη δεῖται ὁρμὴν ἐμποιοῦντος εὑρετικὴν, καὶ ὄρεξιν ἐπὶ τὴν ἀλήθειαν. ὥσπερ οὖν εἴ τις ἐκ γειτόνων πυρὸς διόμενος, εἶτα πολὺ καὶ λαμπρὸν εὑρὼν αὐτοῦ καταμένοι διὰ τέλους θαλπόμενος, οὕτως εἴ τις ἥκων λόγου μεταλαβεῖν πρὸς ἄλλον, οὐκ οἴεται δεῖν φῶς οἰκεῖον ἐξάπτειν καὶ νοῦν ἴδιον, ἀλλὰ χαίρων τῇ ἀκροάσει, κάθηται θελγόμενος, οἷον ἔρευθος ἕλκει καὶ γάνωμα τὴν δόξαν ἀπὸ τῶν λόγων, τὸν δὲ ἐντὸς εὐρῶτα τῆς ψυχῆς καὶ ζόφον οὐκ ἐκτεθέρμακεν, οὐδὲ ἐξέωκε διὰ φιλοσοφίας. εἰ δὲ δεῖ τινος πρὸς ἀκρόασιν ἑτέρου παραγγέλματος, δεῖ καὶ τοῦ νοῦ εἰρημένου μνημονεύοντας, ἀσκεῖν ἅμα τῇ μαθήσει τὴν εὕρεσιν, ἵνα μὴ σοφιστικὴν ἕξιν, μηδὲ ἱστορικὴν, ἀλλ' ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωμεν, ἀρχὴν τοῦ καλῶς βιῶναι, τὸ καλῶς ἀκοῦσαι νομίζοντες.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΠΟΛΥΠΡΑΓΜΟΣΥΝΗΣ.

Ἄπνου, ἢ σκοτεινὴν, ἢ δυσχείμερον οἰκίαν, ἢ νοσώδη φυγεῖν μὲν ἴσως ἄριστον. ἂν δὲ φιλοχωρῇ τις ὑπὸ συνηθείας, ἔστι καὶ φῶτα μεταθέντα, καὶ κλήμακα μεταβαλόντα, καὶ θύρας τινὰς ἀνοίξαντα, τὰς δὲ κλείσαντα, λαμπροτέραν, εὐπνουστέραν, ὑγιεινοτέραν ἐργάσασθαι. καὶ πόλεις τινὲς οὕτω μεταθέντες ὠφέλησαν. ὥσπερ τὴν ἐμὴν πατρίδα πρὸς ζέφυρον ἄνεμον κεκλιμένην, καὶ τὸν Ἥλιον ἐρείδοντα δείλης ἀπὸ τοῦ Παρνασοῦ δεχομένην, ἐπὶ τὰς ἀναταλὰς τραπῆναι λέγουσιν ὑπὸ τοῦ Χαίρωνος. ὁ δὲ φυσικὸς Ἐμπεδοκλῆς ὄρους τινὰ διασφάγα βαρὺν καὶ νοσώδη καὶ τῶν πεδίων τὸν νότον ἐμπνέουσαν ἐμφράξας, λοιμὸν ἔδοξεν ἐκκλεῖσαι τῆς χώρας. ἐπεὶ τοίνυν ἐστί τινα πάθη νοσώδη καὶ βλαβερὰ καὶ χειμῶνα παρέχοντα τῇ ψυχῇ καὶ σκότος, ἄριστον μὲν ἐξωθεῖν ταῦτα καὶ καταλύειν εἰς ἔδαφος, αἰθρίαν καὶ φῶς καὶ πνεῦμα καθαρὸν διδόντας ἑαυτοῖς. εἰ δὲ μὴ, μεταλαμβάνειν γε καὶ μεθαρμόττειν ἄλλως γέπως περιάγοντας, ἢ στρέφοντας. οἷον εὐθὺς, ἡ πολυπραγμοσύνη, φιλομάθειά τις ἐστὶν ἀλλοτρίων κακῶν, οὔτε φθόνου δοκοῦσα καθαρεύειν νόσος, οὔτε κακοηθείας. τί τἀλλότριον, ἄνθρωπε βασκανώτατε, κακὸν ὀξυδερκεῖς, τὸ δ' ἴδιον παραβλέπεις; μετάθες ἔξωθεν, καὶ μετάστρεψον εἴσω τὴν πολυπραγμοσύνην. εἰ χαίρεις κακῶν μεταχειριζόμενος ἱστορίαν, ἔχεις οἴκοι πολλὴν διατριβήν. ὅσον ὕδωρ κατ' ἀλιζόνος, ἢ δρυὸς ἀμφιπέτηλα, τοσοῦτον πλῆθος εὑρήσεις ἁμαρτημάτων ἐν τῷ βίῳ, καὶ παθῶν ἐν τῇ ψυχῇ, καὶ παροραμάτων ἐν τοῖς καθήκουσιν. ὡς γὰρ ὁ Ξενοφὼν λέγει τοῖς οἰκονομικοῖς ἴδιον εἶναι τῶν ἀμφὶ θυσίαν σκευῶν, ἴδιον τῶν ἀμφὶ δεῖπνα τόπον, ἀλλαχοῦ κεῖσθαι

τὰ γεωργικὰ, χωρὶς τὰ πρὸς πόλεμον. οὕτω σοι τὰ μὲν ἐστιν ἀπὸ φθόνου κακὰ κείμενα, τὰ δ' ἀπὸ ζηλοτυπίας, τὰ δ' ἀπὸ δειλίας, τὰ δ' ἀπὸ μικρολογίας. ταῦτ' ἔπελθε, ταῦτα ἀναθεώρησον· τὰς εἰς γειτόνων θυρίδας, καὶ τὰς παρόδους τῆς πολυπραγμοσύνης ἔμφραξον, ἑτέρας δὲ ἄνοιξον εἰς τὴν ἀνδρωνῖτιν τὴν σεαυτοῦ φερούσας, εἰς τὴν γυναικωνῖτιν, εἰς τὰς τῶν θεραπόντων διαίτας. ἐνταῦθα ἔχει διατριβὰς οὐκ ἀχρήστους, οὐδὲ κακοήθεις, ἀλλ' ὠφελίμους, καὶ σωτηρίους, τὸ φιλοπευθὲς τοῦτο φιλοπράγμον, ἑκάστου πρὸς ἑαυτὸν λέγοντος· Τῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; νῦν δὲ ὥσπερ ἐν τῷ μύθῳ τὴν Λαμίαν λέγουσιν οἴκοι μὲν ᾄδειν ὑφλὴν, ἐν ἀγγείῳ τινὶ τοὺς ὀφθαλμοὺς ἔχουσαν ἀποκειμένους, ἔξω δὲ προϊοῦσαν περιτίθεσθαι καὶ βλέπειν· οὕτως ἡμῶν ἕκαστος ἔξω καὶ πρὸς ἑτέρους τῇ κακονοίᾳ τὴν περιεργίαν, ὥσπερ ὀφθαλμὸν, ἐντίθησι· τοῖς δὲ ἑαυτῶν ἁμαρτήμασι καὶ κακοῖς οἷς πολλάκις παραπταίομεν ὑπ' ἀγνοίας, ὄψιν ἐπ' αὐτὰ καὶ φῶς οὐ πορίζομενοι. διὸ καὶ τοῖς ἐχθροῖς ὠφελιμώτερός ἐστιν ὁ πολυπράγμων· τὰ γὰρ ἐκείνων ἐλέγχει καὶ προφέρεται, καὶ δείκνυσιν αὐτοῖς ἃ δεῖ φυλάξασθαι καὶ διορθῶσαι. τῶν δὲ οἴκοι τὰ πλεῖστα παρορᾷ, διὰ τὴν περὶ τὰ ἔξω πτόησιν. ὁ μὲν γὰρ Ὀδυσσεὺς οὐδὲ τῇ μητρὶ διαλεχθῆναι πρότερον ὑπέμεινεν, ἢ πυθέσθαι παρὰ τοῦ μάντεως, ὧν ἕνεκα ἦλθεν εἰς ᾅδου, πυθόμενος δὲ τοῦτο, πρός τε ταύτην ἔτρεψεν αὐτὸν, καὶ τὰς ἄλλας γυναῖκας ἀνέκρινε, τίς ἡ Τυρὼ, καὶ τίς ἡ καλὴ Χλωρὶς, καὶ διὰ τίν' Ἐπικάστη ἀπέθανεν, ἁψαμένη βρόχον αἰτοῦν ἀφ' ὑψηλοῖο δόμοιο. ἡμεῖς δὲ τὰ καθ' ἑαυτοὺς ἐν πολλῇ ῥαθυμίᾳ καὶ ἀγνοίᾳ θέμενοι καὶ ἀμελήσαντες, ἑτέρους γενεαλογοῦμεν, ὅτι τοῦ γείτονος ὁ πάππος ἦν Σύρος, Θρᾷττα δὲ ἡ τήτθη· ὁ δεῖνα δὲ ὀφείλει τάλαντα τρία, καὶ τοὺς τόκους οὐκ ἀπέδωκεν· ἐξετάζομεν δὲ καὶ τὰ τοιαῦτα, πόθεν ἡ γυνὴ τοῦ δεῖνος ἐπανήρχετο, τί δὲ ὁ δεῖνα καὶ ὁ δεῖνα καθ' ἑαυτοὺς ἐν τῇ γωνίᾳ

διε-

διελέγοντο. Σωκράτης δὲ περιῄει διαπορῶν, τί Πυθαγόρας λέγων ἔπειθε, καὶ Ἀρίστιππος Ὀλυμπιάσιν Ἰσχομάχῳ συμβαλὼν ἠρώτα, τί Σωκράτης διαλεγόμενος, οὕτω τοὺς νέους διατίθησι, καὶ μικρὰ ἅττα τῶν λόγων αὐτοῦ σπέρματα καὶ δείγματα λαβὼν, οὕτως ἐμπαθῶς ἔχεν, ὥστε τῷ σώματι συμπεσεῖν, καὶ γενέσθαι παντάπασιν ὠχρὸς καὶ ἰσχνός. ἄχρις οὗ πλεύσας Ἀθήναζε διψῶν καὶ διακεκαυμένος, ἠρύσατο τῆς πηγῆς, καὶ τὸν ἄνδρα καὶ τοὺς λόγους αὐτοῦ καὶ τὴν φιλοσοφίαν ἱστόρησεν, ἧς ἦν τέλος, ἐπιγνῶναι τὰ ἑαυτοῦ κακὰ καὶ ἀπαλλαγῆναι. Ἀλλ' ἔνιοι τὸν ἴδιον βίον, ὡς ἀτερπέστατον θέαμα, προσιδεῖν οὐχ ὑπομένουσιν, οὐδ' ἀνακλᾶσαι τὸν λογισμὸν, ὡς φῶς ἐφ' ἑαυτοὺς καὶ περιαγαγεῖν. ἀλλ' ἡ ψυχὴ γέμουσα κακῶν παντοδαπῶν, καὶ φρίττουσα καὶ φοβουμένη τὰ ἔνδον, ἐκπηδᾷ θύραζε, καὶ πλανᾶται περὶ τἀλλότρια, βόσκουσα καὶ πιαίνουσα τὸ κακόηθες. ὡς γὰρ ὄρνις ἐν οἰκίᾳ πολλάκις, τροφῆς παρακειμένης εἰς γωνίαν καταδῦσα σκαλεύει ἔνθαγε καὶ διαφαίνεθ' ἅτ' ἐν κοπρίᾳ μία κριθή. παραπλησίως οἱ πολυπράγμονες, ὑπερβάντες τοὺς ἐν μέσῳ λόγους καὶ ἱστορίας, καὶ ἃ μηδεὶς κωλύει πυνθάνεσθαι, μηδὲ ἄχθεται πυνθανομένοις, τὰ κρυπτόμενα καὶ λανθάνοντα κακὰ πάσης οἰκίας ἐκλέγουσι. Καίτοιγε τὸ τοῦ Αἰγυπτίου χάριεν, πρὸς τὸν ἐρωτῶντα, τί φέρει συγκεκαλυμμένον; διὰ τοῦτο συγκεκάλυπται, ἔφη· καὶ σὺ δὴ τί πολυπραγμονεῖς τὸ ἀποκρυπτόμενον; εἰ μή τι κακὸν ἦν, οὐκ ἂν ἀπεκρύπτετο. καίτοι μὴ κόψαντά γε θύραν εἰς οἰκίαν ἀλλοτρίαν οὐ νομίζεται παρελθεῖν, ἀλλὰ νῦν μέν εἰσι θυρωροὶ, πάλαι δὲ ῥόπτρα κρουόμενα πρὸς ταῖς θύραις αἴσθησιν παρεῖχεν, ἵνα μὴ τὴν οἰκοδέσποιναν ἐν μέσῳ καταλάβῃ ὁ ἀλλότριος, ἢ τὴν παρθένον, ἢ κολαζόμενον οἰκέτην, ἢ κεκραγυίας τὰς θεραπαινίδας. οἱ δὲ πολυπράγμων ἐπ' αὐτὰ ταῦτα παραδύεται, σώφρονος μὲν οἰκίας καὶ καθεστώσης, οὐδ' ἂν παρακαλῇ τις, ἡδέως γενόμενος θεατὴς, ὧν δὲ ἕνεκα κλεὶς

καὶ

ἢ μοχλὸς ἢ αὐλειος, πῶτα ἀναπαλύπτων ἢ φέρων εἰς τὸ μέσον ἑτέροις. καίτοι ἢ τῶν ἀνέμων μάλιστα δυχεραίνομαι, ὡς Ἀρίστων φησιν, ὅσοι τὰς τροβολὰς ἀναστέλλουσιν ἡμῶν· ὁ δὲ πολυπράγμων ἢ τὰ ἱμάτια τῶν πέλας, οὐδὲ τὰς χιτῶνας, ἀλλὰ τὸ τοίχους ἀναμφιφύνυσι, τὰς θύρας ἀναπετάννυσι, ἢ δὴ παρθενικῆς ἀπαλόχροος, ὡς πυθόμενα, δηδύεται ἢ διέρπει, βακχεῖα, ἢ χορὰς ἢ παννυχίδας ἐξεπάζων, ἢ συνωφαντῶν. ἢ καθάπερ τῷ κωμικῷ Κλέωνος· Τὸ μὲν χεῖρ' ἐν Αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν Κλαυσιδῶν· ἅπω τὸ πολυπράγμονος, ὁ νοῦς ἅμα ἐν πλουσίων οἴκοις ἐστὶν, ἐν δαιμονίοις πενήτων, ἐν αὐλαῖς Βασιλέων, ὂν θαλάμοις νυγαίων. πάντα παράγματα ζητεῖ, τὰ ξενίων, τὰ νυμφώνων. οὐδὲ ἀκινδύνως ταῦτα ζητῶν, ἀλλ' οἷον ἔντος ἀκονίτου γελοῖον, πολυπραγμονῶν τινὰ ποιότητα, φθάσει τῆς αἰδησέως παροινιλῶν τὸν παροιδόμυον· ἅπως οἱ τὰ τῶν μειζόνων κακὰ ζητοῦντες, παροιλίσκουσι τῆς γνώσεως ἑαυτούς. ἢ δὴ οἱ τὰ ἥλιε τινὰ ἄφθονά γε πάντα ἢ κατακεχυμένα ἅπασιν ἀκτῖνα παροράντες, αὐτὸν δὲ τὸν κύκλον αὐαιδῶς καταβλέπειν ἢ δυσέλπειν τὸ φῶς εἶσω βιαζόμυοι ἢ τολμῶντες, ἀποτυφλοῦνται· διὸ καλῶς Φιλιππίδης ὁ κωμῳδοποιὸς, εἰπόντος αὐτῷ ποτὲ Λυσιμάχου τοῦ Βασιλέως· Τίρος σοι τῶν ἡμῶν μεταδῷ; Μόνοι (ἔφην) ὦ Βασιλεῦ μὴ τῶν ἀποῤῥήτων. τὰ δὲ ἥδιστα ἢ κάλλιστα τῶν Βασιλέων ἔξω πρόκειται, τὰ δεῖπνα, οἱ πλοῖοι, αἱ πανηγύρεις, αἱ χάριτες· εἰδέ τι ἀπόῤῥητον ἔστι, μὴ προσέλθῃς, μηδὲ πύθῃ. ἀπόκρυπτεται γὰρ Βασιλέως δύτυχοῦντος, οὐδὲ γέλωτος παίζοντος, οὐδὲ φιλανθρωπίας πρᾴου καὶ ἡμέρου. φοβερόν ἐστι τὸ κρυπτόμυον, σκυθρωπὸν, ἀγέλαστον, δυσπρόσιτον, ὀργῆς τινος ὑπόλυσα θηραυρὸς, ἢ τιμωρίας βαρυθύμου σκέψις, ἢ ζηλοτυπίας γυναικὸς, ἢ πρὸς ἀδόν ὑποψία τις, ἢ πρὸς φίλον ἀπιστία. φεῦγε τὸ μελαμφὲς κἄτο ἢ ἀνωστόμυον νέφος. ἀ λήστας σε βρυπῶσαν, ἀδὲ ἀστρά-

ἀστράψαν, ὅταν ἐκραγῇ τὸ νῦν κρυπτόμενον. τίς οὖν ἡ φυγή; περιπασμὸς (ὡς εἴρηται) καὶ μεθολκὴ τῆς πολυπραγμοσύνης, μάλιστα μὲν ἐπὶ τὰ βελτίω καὶ τὰ ἡδίω ξέψαντι τὴν ψυχήν. τὰ ἐν Οὐρανῷ πολυπραγμόνει, τὰ ἐν γῇ, τὰ ἐν ἀέρι, τὰ ἐν θαλάττῃ. μικρῶν πέφυκας, ἢ μεγάλων φιλοθεάμων; εἰ μεγάλων, Ἥλιον πολυπραγμόνει, πῦ κάτεισι, καὶ πόθεν ἄνεισι. ζήτει τὰς ἐν σελήνῃ, καθάπερ ἐν ἀνθρώπῳ μεταβολάς. πῦ τοσοῦτον κατηνάλωσε φῶς; πόθεν αὖθις ἐκτήσατο; πῶς ἐξ ἀδήλου πρῶτον ἔρχεται νέφους πρόσωπα καλλύνουσα καὶ πληρουμένη. Χῶταν περ αὐτῆς εὐπρεπεστάτη φανῇ, πάλιν διαῤῥεῖ, κἀπὶ μηδὲν ἔρχεται. καὶ ταῦτα ἀπόῤῥητά ἐστι φύσεως, ἀλλ' οὐκ ἄχθεται τοῖς ἐλέγχουσιν. ἀλλὰ τῶν μεγάλων ἀπέγνωκας; πολυπραγμόνει τὰ μικρότερα. πῶς τῶν φυτῶν, τὰ μὲν ἀεὶ τέθηλε καὶ χλοάζει, καὶ ἀγάλλεται παντὶ καιρῷ, τὸν ἑαυτῶν ἐπιδεικνύμενα πλοῦτον, τὰ δὲ νῦν μέν ἐστιν ὅμοια τούτοις, νῦν δὲ, ὥσπερ ἀνοικονόμητος ἄνθρωπος, ἀθρόως ἐκχέαντα τὴν περιουσίαν, γυμνὰ καὶ πτωχὰ καταλείπεται. διὰ τί δὲ τὰ μὲν προμήκεις, τὰ δὲ γωνιώδεις, τὰ δὲ στρογγύλους καὶ περιφερεῖς ἐκδίδωσι τοὺς καρπούς; ἴσως δὲ ταῦτα οὐ πολυπραγμονήσεις, ὅτι τούτοις οὐθὲν κακόν ἐστιν. ἀλλ' εἰ δεῖ πάντως τὸ περίεργον ἐν φαύλοις τισὶν, ὥσπερ ἑρπετὸν ἐν θανασίμοις ὕλαις, ἀεὶ νέμεσθαι καὶ διατρίβειν, ἐπὶ τὰς ἱστορίας ἀγάγωμεν αὐτὸ, καὶ παραβάλωμεν ἀφθονίαν κακῶν καὶ περιουσίαν· ἐνταῦθα γὰρ ἔνεισι πεσήματα ἀνδρῶν, καὶ ἀπολακτισμοὶ βίων, φθοραὶ γυναικῶν, ἐπιθέσεις οἰκετῶν, διαβολαὶ φίλων, πρασκευαὶ φαρμάκων, φθόνοι, ζηλοτυπίαι, ναυάγια οἴκων, ἐκπτώσεις Ἡγεμόνων. ἐμπίπλασο καὶ τέρπε σαυτὸν, ἐνοχλῶν μηδενὶ τῶν σωόντων, μηδὲ λυπῶν. ἀλλ' ἔοικεν ἡ πολυπραγμοσύνη μὴ χαίρειν ἑώλοις κακοῖς, ἀλλὰ θερμοῖς, καὶ προσφάτοις, καὶ καινὰς ξαγῳδίας ἡδέως θεᾶσθαι, τοῖς δὲ κωμικοῖς καὶ ἱλαρωτέροις πράγ-

μα-

μέσιν ὁ μάλα προθύμως ὁμιλεῖν. διὰ γάμου μὲν τινος, ἢ θυσίαν, ἢ προπομπὴν διεξιόντος, ἀμελὴς ὁ πολυπράγμων καὶ ῥάθυμος ἀκροατής ἐστι, καὶ προσκηκοέναι τὰ πλεῖστά φησι, καὶ πολλάκις αὐτῶν στωμένων καὶ παρέρχεσθαι τὸν διηγούμενον. ὧν δ' ἡ φθορώτις παρθένου καθαπτόμενος, ἢ μοιχείαν γυναικὸς, ἢ δίκην καθαστάναι, ἢ τάσιν ἀδελφῶν διηγεῖται, ὅτε τυραννίζει, ὅτε ἀγχολεῖται, πάλαι τε ζήτημα ἐστέον, καὶ τ' ἄπορα βάλλει. καὶ τὸ, οἴμοι, τὸ κακὸν τῆς δυτυχίας ὡς μᾶλλον ἐς ὃς φέρεται θυμῷ, δῆτα τῷ πολυπραγμόνων ἐρημίαν ἐστὶν ἀληθῶς. ὡς γὰρ αἱ σῆραι τὸ χεῖρον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτω καὶ τῷ πολυπραγμόνων ὦτα τὰς φαυλοτάτας λόγους ὑποδέχεται. μᾶλλον δὲ, ὥσπερ αἱ πόλεις ἔχουσί τινας πύλας ἀποφράδας καὶ σκυθρωπὰς, δι' ὧν ἐξάγουσι τοὺς θανατουμένους, καὶ τὰ λύματα, καὶ τὰς καθάρμας ἐκβάλλουσιν, οὕτως δὲ ὧδαι δι' ἱερὸν εἴσεισι καὶ διέξεισι δι' αὐτῶν· ὅπου καὶ τὰ τῶν πολυπραγμόνων ὦτα χρηστὸν ὐδὲν ὐδὲ ἀσεῖον, ἀλλ' οἱ φαυλοι λόγοι διέρχονται καὶ τείβουσιν, ἐνθύσιμα καὶ μιαρὰ διηγήματα καθομίζοντες. ἀεὶ δὲ ἀοιδῶν μιῶνος ἐν σόγαις ἐμαῖς κακοτὰς ἐμπέμπτωκεν. αὐτὴ τοῖς πολυπράγμοσι μέσα καὶ σεαυτῷ μία, τὸ ἥδιστον ἀκουσμάτων αὐτοῖς. ἔστι γὰρ ἡ πολυπραγμοσύνη, φιλοπαθεία καὶ ὀκνηρύνει καὶ λαθιωνόντων· ὐδεὶς δὲ ἀγαθὸν ὀκνηρύνεται κακημοῦς, ὅπως καὶ τὰ μὲ ὄντα προσποιῶνται. κακῶν δὲ ἱστορίας ὁ πολυπράγμων ὀρεγόμενος, ὀπχαιρεκακίας σημεῖχεται πάθει φθόνου καὶ βασκανίας ἀδελφῷ. φθόνος μὲν γάρ ἐστι λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ὀπχαιρεκακία δὲ, ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· ἀμφότερα δὲ ἐκ πάθους ὠμοῦ καὶ θηριώδους γεγόνασι τῆς κακοηθείας. ὅπου δὲ ἑκάστῳ λυπηρόν ἐστιν ἡ τῶν περὶ αὐτὸν κακῶν ἀνακάλυψις, ὥστε πολλὰς ὀποθανεῖν ἂν πρότερον, ἢ δεῖξαί τι τῶν ὀπορρήτων νοσημάτων ἰατροῖς. φέρε δὴ, Ἡρόφιλον, ἢ Ἐρασίστρατον, ἢ τὸν Ἀσκλη-

πιάδην

Ἀσκληπιὸν αὐτὸν, ὅτε ἦν ἄνθρωπος, ἔχοντα τὰ φάρμακα καὶ τὰ ὄργανα, κατ' οἰκίαν παριστάμενον ἀνακρίνειν μήτις ἔχει σύριγγα περὶ δακτύλιον, ἢ γυνὴ καρκίνον ἐν ὑστέρᾳ, καί τοι σωτήριόν ἐστι τῆς τέχνης ταύτης τὸ πολυπράγμον. ἀλλὰ πᾶς ἄν τις (οἶμαι) τὸν τοιοῦτον ἀπήλασεν, ὅτι τὴν χρείαν οὐ περιμένων, ἄκλητος ἐπ' ἀλλοτρίων κακῶν ἔρχεται κατανόησιν. οἱ δὲ πολυπράγμονες αὐτὰ ταῦτα καὶ τὰ τούτων ἔτι χείρονα ζητοῦσιν, οὐ θεραπεύοντες, ἀλλὰ μόνον ἀνακαλύπτοντες. ὅθεν μισοῦνται δικαίως. καὶ γὰρ τοὺς τελώνας βαρυνόμεθα καὶ δυσχεραίνομεν, οὐχ ὅταν τὰ ἐμφανῆ τῶν εἰσαγομένων ἐκλέγωσιν, ἀλλ' ὅταν τὰ κεκρυμμένα ζητοῦντες, ἐν ἀλλοτρίοις σκεύεσι καὶ φορτίοις ἀναστρέφονται. καίτοι τοῦτο ποιεῖν ὁ νόμος δίδωσιν αὐτοῖς, καὶ βλάπτονται, μὴ ποιοῦντες. οἱ δὲ πολυπράγμονες, ἀπολλύουσι καὶ προΐενται τὰ αὐτῶν, ἀσχολούμενοι περὶ τὰ ἀλλότρια. καὶ σπανίως μὲν εἰς ἀγρὸν βαδίζουσι, τὸ ἥσυχον καὶ σιωπηρὸν τῆς ἐρημίας οὐ φέροντες. ἐὰν δὲ καὶ παραβάλλωσι διὰ χρόνου, ταῖς τῶν γειτόνων ἀμπέλοις ἐμβλέπουσι μᾶλλον, ἢ ταῖς ἰδίαις. καὶ πυνθάνονται, πόσοι βόες τοῦ γείτονος ἀποτεθνήκασιν; ἢ πόσος οἶνος ὀξίνης γέγονε; ταχὺ δὲ τούτων ἐμπλησθέντες, ἀποτρέχουσιν. ὁ μὲν γὰρ ἀληθινὸς ἐκεῖνος γεωργὸς οὐδὲ τὸν αὐτομάτως ἐρχόμενον ἐκ πόλεως λόγον, ἡδέως προσδέχεται· λέγων, εἶτά μοι σκάπτων ἐρεῖ, ἐφ' οἷς γεγόνασιν αἱ διαλύσεις; ταῦτα γὰρ νῦν πολυπραγμονῶν ὁ κατάρατος περιπατεῖ. οἱ δὲ πολυπράγμονες, ὡς ἑωλόν τι πρᾶγμα καὶ ψυχρὸν καὶ ἀτράγῳδον, φεύγοντες τὴν ἀγροικίαν, εἰς τὸ βῆμα καὶ τὴν ἀγορὰν καὶ τοὺς λιμένας ὠθοῦνται, μήτι καινόν; οὐ γὰρ ἧς πρωὶ κατ' ἀγοράν; τί οὖν; ἐν ὥραις τρισὶν οἴει τὴν πόλιν μετακεκοσμῆσθαι; οὐ μὴν ἀλλ' ἂν μέν τις ἔχῃ τι τοιοῦτον εἰπεῖν, καταβὰς ἀπὸ τοῦ ἵππου δεξιωσάμενος καὶ καταφιλήσας, ἔστηκεν ἀκροώμενος. ἐὰν δὲ ἀπαντήσας εἴπῃ τις, ὅτι οὐδὲν καινὸν, ὥσπερ ἀχθόμενος, τί λέγεις; (φησὶν)

σὶν) οὐ γέγονας κατ' ἀγοράν; οὐ παρελήλυθας τὸ στρατήγιον; οὐδὲ τοῖς ἐξ Ἰταλίας ἥκουσιν ἐντετύχηκας; Διὸ καλῶς οἱ τῶν Λοκρῶν ἄρχοντες· ἐπεὶ γάρ τις ἐξ ἀποδημίας προσιὼν ἠρώτησε, μήτι καινόν; ἐζημίωσαν αὐτόν· ὡς γὰρ οἱ μάγειροι φορὰν εὔχονται βοσκημάτων, οἱ δὲ ἁλιεῖς ἰχθύων οὕτως οἱ πολυπράγμονες εὔχονται φορὰν κακῶν, καὶ πλῆθος πραγμάτων, καὶ καινότητας, καὶ μεταβολὰς, ἵνα ἀεί τι θηρεύειν καὶ κατακόπτειν ἔχωσιν. εὖ δὲ καὶ ὁ τῶν Θουρίων νομοθέτης. κωμῳδεῖσθαι γὰρ ἐκώλυσε τοὺς πολίτας, πλὴν μοιχοὺς καὶ πολυπράγμονας. ἔοικε γὰρ ἥτε μοιχεία, πολυπραγμοσύνη τῆς ἀλλοτρίας ἡδονῆς εἶναι καὶ ζήτησις καὶ ἔρευνα τῶν φυλαττομένων καὶ λανθανόντων τοὺς πολλούς. ἥτε πολυπραγμοσύνη, παράλυσίς ἐστι καὶ φθορὰ καὶ ἀπογύμνωσις τῶν ἀπορρήτων. τῇ μὲν οὖν πολυμαθείᾳ τὴν πολυλογίαν ἕπεσθαι συμβαίνει. διὸ καὶ Πυθαγόρας ἔταξε τοῖς νέοις πενταετῆ σιωπὴν, ἐχεμυθίαν προσαγορεύσας. τῇ δὲ περιεργίᾳ τὴν κακολογίαν ἀνάγκη συνακολουθεῖν. ἃ γὰρ ἡδέως ἀκούουσιν, ἡδέως λαλοῦσι, καὶ ἃ παρ' ἄλλων σπουδῇ συλλέγουσι, πρὸς ἑτέρους μετὰ χαρᾶς ἐκφέρουσιν. Ὅθεν αὐτοῖς μετὰ τῶν ἄλλων κακῶν τὸ νόσημα καὶ πρὸς τὴν ἐπιθυμίαν ἐμποδών ἐστι. πάντες γὰρ αὐτοὺς φυλάττονται καὶ ἀποκρύπτονται, καὶ οὔτε πρᾶξαί τι πολυπράγμονος ὁρῶντος, οὔτε εἰπεῖν ἀκούοντος ἡδέως ἔχουσιν. ἀλλὰ καὶ βουλὰς ἀνατίθενται, καὶ σκέψεις πραγμάτων ὑπερβάλλονται, μέχρις ἂν ἐκποδὼν ὁ τοιοῦτος γένηται. κἂν ἢ λόγου τινὸς ἀπορρήτου παρόντος, ἢ πράξεως σπουδαίας περαινομένης, ἀνὴρ πολυπράγμων ἐπιφανῇ, καθάπερ ὄψον, γαλῆς παραδραμούσης, αἴρουσιν ἐκ μέσου καὶ ἀποκρύπτουσιν. ὥστε πολλάκις τὰ τοῖς ἄλλοις ῥητὰ καὶ θεατὰ, τούτοις μόνοις ἄρρητα καὶ ἀθέατα γίνεσθαι. Διὸ καὶ πίστεως ἁπάσης ἔρημος ὁ πολυπράγμων ἐστίν. οἰκέταις γοῦν καὶ ξένοις πιστεύομεν μᾶλλον ἐπιστολὰς καὶ γράμματα καὶ σφραγῖδας, ἢ φίλοις καὶ οἰκείοις πολυπράγμοσιν. ὁ δὲ Βελ-

λε-

λεροφάντης ἐκεῖνος δὲ καθ' ἑαυτὸν ἐρέμματα κομίζων ἔλυσεν, ἀλλ' ἀπέχετο τῆς δεισολίης τὸ Βασιλέως, ὡς τῆς γυμνικὸς, ἀλ' τὸν αὐτὸν ἐγκράτειαν. ἀκρασίας γὰρ τὸ πολυπραγμονεῖν, ὡς καὶ τὸ μοιχεύειν, καὶ πρὸς τῇ ἀκρασίᾳ, δεινῆς ἀνοίας καὶ ἀφροσύνης. τὸ γὰρ τοσαῦτας παρελθόντα κοινὰς καὶ δημοσιωμένας γυμνάσας, ἴδιόν τινα κατάκλεισον ᾠήθαι καὶ πολυτελῆ, πολλάκις (ὦ ἄπο τύχη) καὶ ἄμορφον ἔσαν, ὑπερβολὴ μανίας καὶ ἀφροσύνης· πάντων δὲ οἱ πολυπράγμονες ποιοῦσι, πολλὰ καὶ παλαὰ θεάματα καὶ ἀκούσματα καὶ σχολὰς καὶ διατριβὰς παρελθόντες, δεισόλια διορύττουσιν ἀλότρια, καὶ ἐμβάλλουσι γειτόνων τοίχοις πὲ ὤτα, καὶ συμφιλοτεχνίζουσιν οἰκέταις καὶ γυναίοις, πολλάκις μὲν ἀδεῶς καὶ ἀκινδύνως, ἀεὶ δὲ ἀδόξως. Διὸ καὶ χρήσιμον ὡς ἐπὶ μάλιστα πρὸς τὴν ἀποχὴν τῆς πολυπραγμοσύνης, ἡ τῶν προεγνωσμένων ἀνάμνησις. ὧν γὰρ, ὥσπερ ὁ Σιμωνίδης ἔλεγε, τὰς κιβωτοὺς ἀνοίγων ἀργὸν χρόνον, τὴν μὲν τῶν μισθῶν ἀεὶ μισθὴν, τὴν δὲ τῶν χαλκίων οὐδὲν ἧττον κενὴν, οὕτως ἂν τῆς πολυπραγμοσύνης τὴν ἀποθήκην ἀνοίγη ἀργὸν χρόνον καὶ κατασκέπτηται, πολλῶν ἀχθῶν καὶ ματαίων καὶ ἀπράκτων γέμουσαν, ἴσως ἂν αὐτῷ τὸ πρᾶγμα προσαίη, φανεὶ ἀνδρὶ παντάπασι καὶ φλυαρώδει. Φέρε γάρ τις ἔτι βιβλίων τὰ συγγράμματα τῶν παλαιῶν ἐκλαμβάνοι τὰ πάντα τῶν ἐν αὐτοῖς, καὶ βιβλίον ἔχοι συντεταγμένον οἷον ὁμηρικῶν στίχων ἀκεφάλων, καὶ ξαγικῶν σολοικισμῶν, καὶ τῶν ὑπ' Ἀρχιλόχου πρὸς τὰς γυναῖκας ἀπρεπῶς καὶ ἀπολάστως εἰρημένων, ἑαυτὸν τοῦτο δεικνύντος, ἆρ' ἂν ἔστι τῆς ξαγικῆς καπάρας ἄξιος; ὅλοιο θηντῶν ἐκλέγων τὰς συμφοράς. καὶ αὖθ' ἡ καπάρας, ἀπρεπὴς καὶ ἀνωφελὴς ὁ θησαυρισμὸς αὐτῷ τῶν ἀλλοτρίων ἁμαρτημάτων. ὥσπερ ἡ πόλις ἐκ τῶν κακῶν καὶ ἀπαγωγῶν πάντων κτίσας ὁ Φίλιππος, πορνόπολιν προσηγόρευσεν. οἱ πάνυ πολυπράγμονες, ἐκ στίχων, καὶ ποιημάτων, ἀλλὰ βίων ἀσχήματα καὶ πλημμελήματα, καὶ σολοικισμοὺς ἀναλογό-

μενοι

μῶν ἢ σωφάγοντες, ἀμισόπαιον καὶ ἀπρπέσαιον κακὸν γραμματοφυλακεῖον τῷ ἑαυτῷ μνήμῳ καθιερέρσιν. ὥσπερ ἂν ἐν Ῥάμῃ τινὲς τὰς γραφὰς καὶ τὰς αὐδεμανίας, καὶ νὴ Δία τὰ σάλπιγγα τῶν ὠνίων παίδων καὶ γυναικῶν ἐν μισθοῦ λόγῳ τιθέμενοι, περὶ τὸν τῶν περάτων ἀγορὰν ἀναστρέφονται, τὰς ἀκτῖνας, καὶ τὰς χαλεάγκωνας, καὶ τὰς ξιροφθάλμους, καὶ τὰς σφυθοκεφάλους καταμισθαίνοντες καὶ ζητοῦντες, εἴτι γεγλύπται σύμμικτον εἶδος καὶ ἀστοφώλιον πέρας, ἀλλ' ἐὰν σωνεχῶς τις ἐπάγηται τοῖς τοιούτοις αὐτὸς θεάμασι, πενχὺ πλησμονὴν καὶ ναυτίαν τὸ φορτίον παρέξει· ὥπως οἱ τὰ περὶ τὸν βίον ἀσοχήματα καὶ ἤθων αἶσχη καὶ διαστροφάς τινας ἐν οἴκοις ἀλλοτρίοις καὶ πλημμελείας πολυπραγμονοῦντες, τῶν πρώτων ἀπαμυνησόμεθα ἑαυτούς, ὅτι χάριν καὶ ὄνησιν ἀπὸ μίσους λέγομεν. Μέγιστον μὲν γὰρ πρὸς τὴν τῶ πάθους ἀποτροπὴν ὁ ἐθισμός, ἐὰν πόρρωθεν ἀρξάμενοι γυμνάζωμεν ἑαυτοὺς καὶ διδάσκωμεν ὅπη τοῦτο τῶν ἐγκράτειαν. καὶ γὰρ ἡ αὔξησις ἔθεν γέγονε, τὸ σπέρματος καὶ μικρὸν εἰς τὸ πρόσω χωρῆσαι. ἂν δὲ ξόπον εἰσόμεθα περὶ τῆς ἀσκήσεως ἀμὲ ἐμλεγόμενοι. πρῶτον μὲν ἂν ἀπὸ τῶν βραχυτάτων καὶ φαυλοτάτων ἀρξώμεθα. τί γὰρ χαλεπὸν ἔξιν ἐν ταῖς ὁδοῖς πὰς ὅπη τῶν πάφων ὑπερφαὰς μὴ ἀναγινώσκειν; ἢ τί δυσχερὲς ἐν τοῖς περιπάτοις τὰ καὶ τῶν τοίχων γράμματα τῇ ὄψει παραβάλλειν, ὑποβάλλοντας αὐτοῖς ὅτι χρήσιμον ἦθος, ἢ ὅπερπρὸς ἐν τούτοις γέγραπται; ἀλλ' ἐμνήσθη ὁ δεῖνα τοῦ δεῖνος ἐπ' ἀγαθῷ, καὶ φίλων ἄφεισος ὅδε τις, καὶ πολλὰ τοιαῦτα γέμοντα φλυαρίας· ἃ δοκεῖ μὲν ἀβλάπτειν ἀναγινωσκόμενα, βλάπτει δὲ λεληθότως, τῷ μελέτῃ παρεμποιεῖν τὸ ζητεῖν τὰ μὴ προσήκοντα. καθάπερ οἱ κυνηγοὶ τὰς σκύλακας ἀκ. ἐῶσιν ἐκβέπεσθαι καὶ διώκειν πᾶσαν ὁδμὴν, ἀλλὰ τοῖς ῥοπῆρσιν ἕλκουσι καὶ ἀπαιρέσι, καθαρὸν αὐτῶν καὶ ἄκρατον φυλάττοντες τὸ μαθητικὸν ὅπη τὸ οἰκεῖον ἔργον, ἵνα δυσπορώτερον ἐμφύηται τοῖς ἴχνεσι,

περι-

τόρματα θηρίων μελέων μυκτῆρσιν ἐρευνῶν. οὕτω δεῖ τὰς ἐπὶ πᾶν θέαμα καὶ πᾶν ἄκουσμα τοῦ πολυπράγμονος ἐκδρομὰς καὶ περιπλανήσεις ἀφαιρεῖν καὶ ἀντισπᾶν ἐπὶ τὰ χρήσιμα φυλάττοντας. ὥσπερ γὰρ οἱ ἀετοὶ καὶ οἱ λέοντες ἐν τῷ περιτατεῖν συστρέφουσιν εἴσω τοὺς ὄνυχας, ἵνα μὴ τὴν ἀκμὴν αὐτῶν καὶ τὴν ὀξύτητα καταξίβωσιν, οὕτω τὸ πολύπραγμον τοῦ φιλομαθοῦς ἀκμήν τινα καὶ στόμωμα νομίζοντες ἔχειν, μὴ καταναλίσκωμεν μηδ' ἀπαμβλυνώμεν ἐν τοῖς χειρίστοις. δεύτερον τοίνυν ἐθιζώμεθα θύραν παριόντες ἀλλοτρίαν μὴ βλέπειν εἴσω, μηδὲ τῶν ἐντὸς ἐπιδράττεσθαι τῇ ὄψει, καθάπερ χειρὶ τῇ περιεργίᾳ, ἀλλὰ τὸ τοῦ Ξενοκράτους ἔχωμεν πρόχειρον, ὃς ἔφη, μηδὲν διαφέρειν ἢ τοὺς πόδας ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι. οὔτε γὰρ δίκαιον, οὔτε καλὸν, ἀλλ' οὐδὲ ἡδὺ τὸ θέαμα. δύσμορφα μέν τοι τἄνδον εἰσιδεῖν ξένε. τὰ γὰρ πολλὰ τοιαῦτα τῶν ἐν ταῖς οἰκίαις σκευάρια κείμενα, καὶ θεραπαινίδια καθεζόμενα, καὶ σπουδαῖον οὐδὲν οὐδὲ ἐπιτερπές. ἡ δὲ συνδιαστρέφουσα τὴν ψυχὴν παράβλεψις αὕτη καὶ παρατόξευσις, αἰσχρὰ, καὶ τὸ ἔθος μοχθηρόν. ὁ μὲν γὰρ Διογένης θεασάμενος εἰσελαύνοντα τὸν ὀλυμπιονίκην Διώξιππον ἐφ' ἅρματος, καὶ γυναικὸς εὐμόρφου θεωμένης τὴν πομπὴν, ἀποσπάσαι τὰς ὄψεις μὴ δυνάμενον, ἀλλ' ὑποβλέποντα καὶ παρεπιστρεφόμενον, Ὁρᾶτε (εἶπε) τὸν ἀθλητὴν ὑπὸ παιδισκαρίου τραχηλιζόμενον; τοὺς δὲ πολυπράγμονας ἴδοις ἂν ὑπὸ παντὸς ὁμοίως θεάματος τραχηλιζομένους καὶ περιαγομένους, ὅταν ἔθος καὶ μελέτη γένηται, τῆς ὄψεως αὐτοῖς ταυταχοῦ διαφερομένης. δεῖ δὲ (ὡς οἶμαι) μὴ καθάπερ θεράπαιναν, ἀνάγωγον ἔξω ῥέμβεσθαι τὴν αἴσθησιν, ἀλλ' ἀποπεμπομένην ὑπὸ τῆς ψυχῆς ἐπὶ τὰ πράγματα, συντυγχάνειν αὐτοῖς ταχὺ καὶ διαγγέλλειν· εἶτα πάλιν κοσμίως ἐντὸς εἶναι τοῦ λογισμοῦ καὶ προσέχειν αὐτῷ. νῦν δὲ συμβαίνει τὸ τοῦ Σοφοκλέους· Ἔπειτα δ' Αἰνιαῖος ἀνδρὸς ἄστομοι Πῶλοι βίᾳ φοροῦσιν, αἱ

μὴ τυχοῦσαι παιδαγωγίας (ὥσπερ λέγομεν) ὀρθῆς, μηδ' ὑπ' οἰκέτου αἰδοῦς, προικὶ ἐχέσθαι καὶ συνεφιλκόμεναι πολλάκις, εἰς ἃ μὴ δεῖ καταβάλλεσι τὴν διάνοιαν. ὅθεν ἐκεῖνο μὲν ψεῦδός ἐστι, τὸ Δημόκριτον ἑκουσίως σβέσαι τὰς ὄψεις ἀπερισκόπου εἰς ἔσοπτρα γυναικῶν ἐμβλέποντα, καὶ τὴν ἀπ' αὐτῶν ἀνάκλασιν δεξάμενον, ὅπως μὴ παρέχωσι θόρυβον, τὴν διάνοιαν ἔξω καλοῦσαι πολλάκις, ἀλλ' ἐῶσιν εἴδωλον οἰκεῖον καὶ ἐμβατεύειν πρὸς τὰς νοητὰς, ὥσπερ παρόδιοι θυρίδας ἐμφράγνυσαι. τοῦτο μέντοι πάντως μᾶλλον ἀληθές ἐστιν, ὅτι τὴν αἴθησιν ὀλίγα κινοῦσιν αἱ πλεῖσται τῇ διανοίᾳ χαίρουσαι. καὶ τὰ μυστήρια πορρωτάτω τῆς πόλεως ἱδρύσαντο, καὶ τὴν τύχην προσεῖπον ἀφρόνιν, μέγα πρὸς εὕρεσιν τοῦ ζητουμένου καὶ σκέψιν ἡγούμενοι τὴν ἡσυχίαν καὶ τὸ ἀθεώρητον. ἀλλὰ μὴν κἀκεῖνο χαλεπὸν καὶ δύσκολον, ἀνθρώπων λοιδορουμένων ἐν ἀγορᾷ καὶ κακῶς λεγόντων ἀλλήλους, μὴ προσελθεῖν, ἢ στωμύλης ὅπου τι πλεόνων θρουμένης, μεῖναι καθήμενον· ἐὰν δὲ ἀπροόπτως ἔχῃς, ἀπελθεῖν αὐτίκα. χρηστὸν μὲν γὰρ ὑπνος, τοῖς πολυπραγμοσύναις ἀναμίξας σεαυτὸν, ἀπολαύσεις, μεγάλα δὲ ὠφελήσῃ, τὸ πολύπραγμον ἀποστρέψας καὶ λογισμῷ συνεθιζόμενον. ἐν δὲ τούτῳ μᾶλλον ἐπιτείνοντα τὴν ἄσκησιν ὀρθῶς ἔχει καὶ θέατρον ἀπροάματος δημευόντος παρελθεῖν, καὶ φίλους ἐπ' ὀρχήστινος, ἢ κωμῳδὸν θέαν προσλαμβάνοντας διώσασθαι, καὶ βοῦς ἐν σαθρῷ χθομένης ἢ ἱπποδρόμῳ, μὴ ἀποσκοπεῖν· καθάπερ γὰρ ὁ Σωκράτης παρῄνει φυλάττεσθαι τοῦ βρωμάτων ὅσα μὴ πεινῶντας ἐδίειν ἀπατᾷ, καὶ τῶν πομάτων ὅσα πίνειν μὴ διψῶντας, οὕτω χρὴ καὶ ἡμᾶς τῶν θεαμάτων καὶ ἀκουσμάτων φυλάττεσθαι καὶ φεύγειν, ὅσα κρατεῖ καὶ προσάγεται τὰς μηδὲν δεομένους. ὁ δὲ Κῦρος οὐκ ἐβούλετο τὸν Παύθειαν ἰδεῖν, ἀλλὰ τοῦ Ἀράσπου λέγοντος, ὡς ἄξιον θέας εἴη τὸ τῆς γυναικὸς εἶδος, Οὐκοῦν (ἔφη) δεῖ τοῦτο μᾶλλον αὐτῆς ἀφι-

κτέον. εἰ γὰρ ὑπὸ σοῦ πεισθεὶς ἀφικόμην πρὸς αὐτὴν, ἴσως ἄν με πάλιν ἀναπείσειεν αὐτὴ καὶ μὴ σχολάζοντα φοιτᾶν, θεᾶσθαί τε καὶ παρακαθῆσθαι προέμενον πολλὰ τῶν σπουδῆς ἀξίων. ὁμοίως οὐδὲ Ἀλέξανδρος εἰς ὄψιν ἦλθε τῆς Δαρείου γυναικὸς, εὐπρεπεστάτης εἶναι λεγομένης, ἀλλὰ πρὸς τὴν μητέρα φοιτῶν αὐτῆς πρεσβύτιν οὖσαν, οὐχ ὑπέμεινε τὴν νέαν καὶ καλὴν ἰδεῖν. ἡμεῖς δὲ τοῖς φορείοις τῶν γυναικῶν ὑποβάλλοντες τὰ ὄμματα, καὶ τῶν θυρίδων ἐκκρεμαννῦντες, οὐδὲν ἁμαρτάνειν δοκοῦμεν, οὕτως ὀλισθηρὰν καὶ ῥευστὴν εἰς ἅπαντα τὴν πολυπραγμοσύνην ποιοῦντες. Ἔστι τοίνυν καὶ πρὸς δικαιοσύνης ἄσκησιν, ὑπερβῆναί ποτε λῆμμα δίκαιον, ἵνα πόῤῥω τῶν ἀδίκων ἐθίσῃς σεαυτὸν εἶναι. καὶ πρὸς σωφροσύνην ὁμοίως, ἀποσχέσθαι ποτὲ γυναικὸς ἰδίας, ἵνα μηδέποτε κινηθῇς ὑπ' ἀλλοτρίας. τοῦτο δὴ τὸ ἔθος ἐπάγων τῇ πολυπραγμοσύνῃ, πειρῶ καὶ τῶν ἰδίων ἐνία παρακοῦσαί ποτε καὶ παριδεῖν, καὶ βουλομένου τινὸς ἀγγεῖλαί τι τῶν ἐπὶ τῆς οἰκίας, ὑπερβαλέσθαι, καὶ λόγους περὶ σοῦ λελέχθαι δοκοῦντας, ἀπώσασθαι. καὶ γὰρ τὸν Οἰδίποδα τοῖς μεγίστος κακοῖς ἡ περιεργία περιέβαλε. ζητῶν γὰρ ἑαυτὸν ὡς οὐκ ὄντα Κορίνθιον, ἀλλὰ ξένον, ἀπήντησε τῷ Λαΐῳ, καὶ τοῦτον ἀνελὼν, καὶ τὴν μητέρα λαβὼν ἐπὶ τῇ βασιλείᾳ γυναῖκα, καὶ δοκῶν εἶναι μακάριος, πάλιν ἑαυτὸν ἐζήτει, καὶ τῆς γυναικὸς οὐκ ἐώσης, ἔτι μᾶλλον ἤλεγχε τὸν συνειδότα γέροντα, πᾶσαν προσφέρων ἀνάγκην. τέλος δὲ τοῦ πράγματος ἤδη περιφέροντος αὐτὸν τῇ ὑπονοίᾳ, καὶ τοῦ γέροντος ἀναβοήσαντος· Οἴμοι πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῶ λέγειν. ὅμως ἐξημμένος ὑπὸ τοῦ πάθους καὶ σφαδάζων ἀποκρίνεται· Κἀγὼ γ' ἀκούειν. ἀλλ' ὅμως ἀκουστέον οὕτω τις ἐστὶ γλυκύπικρος καὶ ἀκατάσχετος ὁ τῆς πολυπραγμοσύνης γαργαλισμὸς, ὥσπερ ἕλκος αἱμάσσων ἑαυτὸν ὅταν ἀμύσσηται. ὁ δὲ ἀπηλλαγμένος τῆς νόσου ταύτης καὶ φύσει πρᾶος, ἀγνοήσας τι τῶν δυσχερῶν, εἴποι ἄν

ΣΣ πόντια λίθω τῷ κακῶν, ὡς ἡ σοφή. Διὸ καὶ παρὸς τοῦ-
τε συνεθιστέον αὐτὸς, ὑποσολὺ κομιθεῖσαν μὴ ταχὺ μηδὲ
κατεσθιομένως λῦσαι, καθάπερ οἱ πολλοὶ ποιοῦσιν, ἀλ-
λὰ χεῖρες βραδυῶσι, πῖς ὀδοῦσι τὰς δεσμὰς διαβιβρώ-
σκοντες· ἀγγέλε ποθοῦ ἥκοντος, μὴ προτδραμεῖν, μηδὲ
ἐξαναστῶαι. φίλε τινὸς εἰπόντος, ἔχω σοί τι καινὸν εἰπεῖν
παράγμα, μᾶλλον, εἴ τι χρήσιμον, ἔχεις ἢ ὠφέλιμον. Ἐ-
μέποτε ἐν Ῥάμῃ διαλεγομένε, Ῥέστικος ἐκεῖνος ὁν ὕστερον
ἀπέκτεινε Δομετιανὸς τῇ δόξῃ φθονήσας, ἤκροᾶτο, καὶ δια-
μέσε σρατιώτης παρελθὼν ὑποσολὴ αὐτῷ Καίσαρός ἐπι-
δοκε. διαλυομένης δὲ σιωπῆς, καὶ μὲ διαλιπόντος ὅπως ἀπα-
γγελῶ τῷ ὑποσολῷ, καὶ πῶθέλησον, καὶ δὲ ἔλυσε πρότερον ἢ
διεξελθεῖν ἐμὲ τὸν λόγον, καὶ διαλυθῶαι τὸ ἀκροατήριον.
ἐφ' ὧν πάντες ἐθαύμασαν τὸ βάρος τῷ ἀνδρός. Ὅταν δέ τις
ὅτις ἔξασι ξένων τὸ πολύπραγμον, ἰχυρὸν ἀπεργάσηται καὶ
βίαιον, καὶ ἔτι ῥᾳδίως πρὸς ἃ κεκώλυται φερομένω διὰ συ-
νήθειαν, κρατεῖν δυνατός ἔξιν. ἀλλ' ὑποσόλια παιδιᾶς
ἕνεκα, φίλων συμποσίοις διαρρήτες ἑαυτὸς παιδιαῖς,
ἱερῶν ἃ μὴ θέμις ὁρᾶν, γίνονται θεαταὶ, τοῖχες ἀβάτες πα-
ντὸς, παράγματα καὶ λόγες βασιλικὲς ἀναδυνᾶσι. καί τι
τὰς γε τυραννίδες οἷς ἀνάγκη πάντα γινώσκειν, ἐπαχθεσά-
τες ποιεῖ, τὸ τῷ λεγομένων ὤτων καὶ παρατηγωγέων θῦος.
ἀπαιωσὰς μὲν οὖν πρώτος ἔσχεν ὁ νέος Δαρεῖος, ἀπισὼν
ἑαυτῷ, καὶ πιόντας ὑφορώμενός καὶ δεδοικώς. τὰς δὲ παρατα-
γωγέας οἱ Διονύσιοι τοῖς Συρακουσίοις κατέμιξαν. ὅθεν
ἐν τῇ μεταβολῇ τῷ παραγμάτων, πάντες πρώτοι οἱ Συρακου-
σίοι συλλαμβάνοντες ἀπεσυμπαίζον. καὶ γὰρ τὸ τῷ συκοφα-
τῷ γένος ἐκ τῆς τῷ πολυπραγμόνων φρατρείας καὶ ἑτέρας ἐσ-
τίν. ἀλλ' οἱ μὲν συκοφάνται ζητῶσιν εἴ τις ἢ βεβούλευται
κακὸν, ἢ πεποίηκεν. οἱ δὲ πολυπράγμονες, καὶ τὰς ἀβε-
λήτες ἀτυχίας τῷ πέλας ἐλέγχοντες, εἰς μέσον ἐκφέρουσι.

λέ-

λέγεται δὲ καὶ τὸν ἀλιτήριον ἐκ φιλοπραγμοσύνης κατονομασθῆναι τὸ πρῶτον. λιμοῦ γὰρ, ὡς ἔοικεν, Ἀθηναίοις ἰσχυροῦ γενομένου, καὶ τῶν ἐχόντων πυρὸν εἰς μέσον οὐ φερόντων, ἀλλὰ κρύφα καὶ νύκτωρ ἐν ταῖς οἰκίαις ἀλούντων, περιιόντες ἐτήρουν τῶν μύλων τὸν ψόφον, εἶτα ἀλιτήριοι προσηγορεύθησαν. ὁμοίως δὲ καὶ τῷ συκοφάντῃ τοὔνομα γεγενῆσθαι· κεκωλυμένου γὰρ ἐκφέρειν τὰ σῦκα, μηνύοντες καὶ φαίνοντες τοὺς ἐξάγοντας, ἐκλήθησαν συκοφάνται. καὶ τοῦτο οὖν οὐκ ἄχρηστόν ἐστιν ἐννοεῖν τοὺς πολυπράγμονας, ὅπως αἰσχύνωνται τὴν πρὸς τοὺς μισουμένους μάλιστα καὶ δυσχεραινουμένους ὁμοιότητα καὶ συγγένειαν τοῦ ἐπιτηδεύματος.

ΑΙΒΑΝΙΟΥ

ΠΡΕΣΒΕΥΤΙΚΟΣ

Πρὸς τὰς Τρῶας ὑπερ τῆς Ἑλενίης. Μενέλαος.

Ἐγὼ μὲν ἐβούλετο Ἀλέξανδρος, ὦ Τρῶες, πρὶν γε μὴ
μὲ χρὴ εἶναι δίκαιος, ὅτε ὅπλων ἔδει νικᾶν, ὅτε πρε-
βείας, ὅτ' ἐκκλησίας· ἀλλ' ἡμεῖς τε αὖ οἶκοι διέβαλλε
ἐν πᾶσιν ἀγαθοῖς, ὑμῖν τε αὖ ἔξω φόβων καθεστήκει πρ
ἀγμασιν. Ἐπεὶ δὲ τὸν τῆς δικαίας πάξιν ἕλετο ἑτέραν πρ
ποίησαι τῆς ἡδονῆς, ἥκομεν, ὦ Τρῶες, ἀδικήσοντες μὲν ὑ
δεύς, τὰ δὲ ἡμέτερα αὐτῷ νομιοῦμεν, αὖ ἆρα βέλτιον
Τὸ μὲν ἓν στρατόπεδον τῶν Ἀχαιῶν ὅσον τὸν τειχῶν ὁρᾶτε
δήπου, καὶ τὸ πλῆθος ὅσον, καὶ τῆς παρασκευῆς τὸ μέγεθος·
μεῖς δὲ τοσαύτῃ παρασκευῇ χρώμενοι τῇ μονδὲν ἀπεικὸς ποιεῖ-
ντες τὰ ὅπλα παραστήσαντες, πρότερον χρώμεθα τοῖς λόγοις
ἐὰν μὲν ἐκ πρεσβείας τῶν δικαίων τύχωμεν, δι' ὑμᾶς ἀπέ-
μεν· εἰ δὲ μή, τότε δεύτερα παράξομεν. Ἔστε δὲ εἰς ἔρ-
γον παραχωρῆμα καθίστασθαι τῶν ἡμετέρων τρόπων, ἀπαράκλη-
τε τῆς πρεσβείας ἀπελθόντος, ἡσυχάζειν ἡμᾶς οὕτως. Εἰ-
ποίνυν ἐφ' ὑμῖν, ἢ περὶ πλείονος ποιῆσαι τὴν ἡδονὴν Ἀλέ-
ξανδρῳ τῆς ὑμετέρας αὐτῷ ἀσφαλείας, ἢ μετὰ τῆς Ἑλένης
ἀπηλλάχθαι καὶ τοῦ πολέμου. Μάχεσθαι μὲν οὖν τῆς παρού-
σης ἡμέρας, Ἀλεξάνδρου μόνου τὸν ἀρπαγὴν λογιζόμενοι, τὴν
τὴν εἰς ὑμᾶς ἀποστασίαν ἁπάντων ὑμῶν κοινὴν τῆς Τρωάδος
ποιῆσθαι νομίζομεν. Τὸ δὲ τῆς νῦν Ἐκκλησίας τέλος,
βεβαιώσει ταύτην καὶ δόξαν, ἢ τὸ μὲν ἔργον ἐκείνου, τὴν
βούλησιν κοινὴν ἁπάντων ἀποδείξει. Ἐν μὲν δὴ τῷ τοῦ Ἀλ-
ξάν-

ξώδρα θεραπεύειν χάριν, κοινωνεῖν δεῖ τῶν παραγμάτων, ἐν δὲ τῷ τοῦδε τὴν ἐκείνου γνώμην μέτριόν τι ποιεῖν ἐθέλειν, ἐν ἐκείνῳ τιμὴ μέμψιν οὐ φέρει. Α'εἰ μὲν ἦν ἐμοιγε συνήθες, μὴ μακρὰς ἐκτείνειν ὑπὲρ τῶν παραγμάτων λόγους. καὶ τάχ' εἰκότως ἔτω μοι δοκῶ ποιεῖν ὑπὲρ μὲν δὴ τῶν ἀδίκων, ὃ δ' ἂν εἴποιμι τοῖν ἀρχοῖν, τὰ δὲ δίκαια, βραχέως ἡγοῦμαι δεῖσθαι ῥήσεως. οἶμαι δὲ εἰ καὶ μακρολογεῖν εἰώθειν, πάγε. παρὸν πρᾶγμα οὐκ εἶλαι ἂν εἰς ἐλάχιστον τοὺς λόγους. τάχ' δὲ μόνον τῶν ἀπαιτῶν ἁδὺ ἀπαιτεῖ ποικίλον, ἁδὲ σοφὸν, ἀλλ' ἀπὸ φιλίας ἐρωτήσεως ἰέναι δεῖ τὸν ἀνθισάμενον. Κἀμοὶ δοκεῖ ἀπόκεινται παρὸς Διὸς ξενίου, Α'λέξανδρε. Ε"λαβές τι τῶν σοὶ προσηκόντων; ἔκειν δοτέον. ἔλαβες ἀδίκως; ἔκειν προσοφείλεις δίκην. δεῖ δὲ δίκην δυοῖν θάτερον, ἢ τὸ μηδὲν εἰληφέναι δεινωθῆναι ἀδίκως, ἢ τῶν ὁμολογέντα, μηδὲ ἀντιτείνειν ἔτι. Ὡς μὲν δὴ ἀφείλες μὲ τὸ τιμιώτατον πάντων, δίκη ἀξιώσεις ἀρνεῖσθαι. ἀκούω γάρ σε σεμνύνεσθαι τοῖς ἀδικήμασι. τάτε δὲ ὅπως ἔχοντος, ὁ τῶ δικαίω λόγος ἀποσεύαίσε τῶν ἡμετέρων ὀπαδόντων. ἐφ' ᾧ τῷ κοινῷ μὲν νόμῳ τῶν ξένων εἰσεδέχθης, διάθηκας δὲ τῶν πολεμίων πικρότερον. Μὴ δὴ οἴεσθε τῷδ' ὀπιβυλλὼ ἡμῖν αὐτὸν ἐμφανῆ καταστήσαντα τοσαῦτα δεδιωῆσθαι, μηδὲ ἅπω, μήτε τοῦτον θαυμαστὸν, μήθ' ἡμᾶς ὑπτίους, ὥστε τὸν μὲν ἐκ τοιαύτης ῥᾳδίως ἂν ποιῆσαι, ἡμᾶς δὲ τοιούσδε τοιῶτ' ἂν παθεῖν. ἀλλ' ὅπως ἔχε τὸ πρᾶγμα, ἀκούσατε. Α'λέξανδρος μὲν δὴ, ἀχ' ὡς ἐμέλλε τ' ἀληθὲς φυλάξειν, ἀλλ' ὡς ᾤετο αὐτῷ συνοίσειν, ἅπως ἴσως τοὺς ὑμᾶς ἀπήγγειλε, κλέπτων ψεύδει λόγῳ τὴν παρουσίαν. οὐδεὶς γάρ πώποτε τῶν ἠδικηκότων, ὡμολόγησε ἃ πεπόλμηκεν, ἀλλὰ πάντα τρόπον διαστρέφουσι τ' ἀληθῆ, ἐκ μὲν τῶν ἀδικημάτων πλέον ἔχειν, ἐκ δὲ τῆς ἀρνήσεως, χρῆσθαι δοκεῖν εἶναι βουλόμενοι. τὸ μέντοι πρᾶγμα τοῦτον ἐσκοτωρήθη τὸν τρόπον. Κατέπλευσεν εἰς τὴν Λακω-

νικὴν Ἀλέξανδρος, σχῆμά τι περιβεβλημένος οὐ φαῦλον, καὶ θεραπείαν ἐπαγόμενος, ἀφ' ἧς εἰκάζετο οὐ τῶν τυχόντων εἶναι. ἀναβὰς δὲ εἰς τὴν Σπάρτην, τάτε ἄλλα πρὸς τοὺς ἐντυγχάνοντας ἐφιλανθρωπεύετο, καὶ πραότητα πολλὴν καὶ σωφροσύνην πλαττόμενος, ἐδεῖτο ξενίζεσθαι. Ἀκούων δ' ἐγὼ, καὶ πρὸ τῶν ἄλλων ἐμοὶ προσήκειν ἡγούμενος τῷ ξένῳ πάντα ὑπηρετεῖν, ἀνέῳξάτε τὴν οἰκίαν, καὶ εἰσήγαγον ἀσμένως, ἐπὶ παῖδα καὶ γυναῖκα, τὰ τιμιώτατα, οὐδὲν, ὦ Τρῶες, ἐννοῶν, ὧν ἐσύστερον ἔπαρχον. Συναγωγέα γὰρ τοῦ πράγματος ἡγούμενος εἶναι τὸν Δία, τὴν αὐτὴν ᾤμην αἰδῶ σώζεσθαι πρὸς τὸν Θεὸν, ὑπό τε τοῦ δεξαμένου τὸν ξένον, καὶ τοῦ τετυχηκότος φιλανθρωπίας. μᾶλλον δὲ πλείω παρὰ τοῦ ξένου, καὶ τοσούτῳ γε, ὅσῳ περ ὁ παθὼν εὖ, τοῦ πεποιηκότος μείζω κεκέρδακεν. Ἐπεὶ καὶ νῦν ἡμεῖς, ἐγώ τε καὶ Ὀδυσσεὺς, Ἀντηνορατουτονὶ τὸν βέλτιστον (πῶς οἴεσθε;) θαυμάζομεν, καὶ συνευχόμεθα τὰ βελτίω, καὶ βουλοίμεθ' ἂν αὐτῷ μηδὲν τοιοῦτον περὶ τὸν οἶκον συμβῆναι. Οὕτω τοίνυν καλὴν καὶ γενναίαν ἐμοῦ δεξιότητα περὶ τὸν ξένον ἐνδεικνυμένου, καὶ τοῦ χρόνου προϊόντος, εἰπάτω παρελθὼν Ἀλέξανδρος, εἴ τινος δεηθεὶς ἠτύχηκεν, εἰ τῷ πλείονι τῆς στατριβῆς δυσχεραίνοντες ὤφθημεν, εἰ μικρὸν, ἢ μεῖζον ἀποστραφέντας ᾔσθετο; ἢ μικροψυχίαν ἡμῶν οἶδε καταγνοὺς, ἢ πρὸς ἑαυτὸν ἐνιδὼν ἀηδίαν, εἴ τινος ὅλως ἐπιλαμβάνεται τῶν περὶ ταῦτα, λεγέτω, δεικνύτω, καὶ πολλοστὸν ὧν ὀφείλομεν, ὁμολογήσομεν πεπονθέναι. ἀλλ' οὐκ ἂν ἔχοι, διόπερ οὐδ' ἐνίσταται. Ὄντων οὖν ἡμῶν ἀφυλάκτων ὡς ἂν πρὸς φίλον καὶ γνώριμον, καὶ τῆς πίστεως εἰς ῥᾳθυμίαν ἀγούσης (πῶς ἄντις χρήσαιτο τοῖς λοιποῖς;) μετέθηκεν, ὦ Τρῶες, τὸν περὶ ταῦτα θεσμὸν εἰς πᾶν τοὐναντίον, καὶ ἠμείψατο τὴν μὲν φιλανθρωπίαν ἀδικίᾳ, τὴν δὲ φιλοξενίαν ποιηρίᾳ, τὴν δ' ὑποδοχὴν ἁρπαγῇ, τὴν δὲ τιμὴν ὕβρει, τὴν δὲ πίστιν ἀμότητι· οὐ Θεοὺς φοβηθεὶς, οὐ τοὺς εὖ πεποιηκότας

αἰδε-

ωδεθείς, ὐχ ὑμᾶς αἰχμωθείς, ὐ τὸν πατέρα Πείαμον, ὃν ἀκέομμι ωεῖτε τὸ θεῖον ἐωιδαικνῦαι, ὐ ὅλως ἐν φροντίδι πεποιῆθαι, τὸ μηδὲν δοκεῖν ἐξαμαρτάνειν. Ταῦτα πάντα ὐ ἔτι πλείω τῶν ωᾶς φαῦλον θέμμος, ἀφεῖλετο μὲν τὸ γυνάκιον, προυαφῆλετο δὲ χρημάτων ὄγκον· οἰκέτας δὲ σιωπῶ, ὐ πολλὰ πρὸς τούτοις ἕτερα. τί δῆτ' αὖ τις μικυῖοι πρὸς εἰδότας ἀκεβῶς; ἐκ γὰρ ἂν εἰς ὑμᾶς ἦκον ἄγαν, ὅσων ἡμᾶς ἀπεστέρησεν ἔδειξε· ὐ πλυτεῖ νυῖ ἐκ τῆδ ἡμετέρων κακῶν. Καὶ ὅς τις βύλεται τὴν ἡμετέραν παροινίαν σαφῶς κα- μαθεῖν, ὐχ ἑτέρῳ δεήσεται· ἀλλ' εἰσελθὼν οἴκαδε ὡς Ἀλέξανδρον, ἐρέωδω· τυτὶ τὸ γυνάιον, ὦ τω, πόθεν ἔ- χεις λαβών, ὐ τίνι τρόπῳ; ἆρ' ὥωτερ ὁ πατήρ σου τῇ μητρὶ τῇ σῇ σιωφήκατον, ὥτω ὐ αὐτὸς Ἑλένῃ συζῇς, νόμῳ τῆς κοι- νωνίας ἠγκαμένος; ἢ γὰρ φύσεται τὴν πρᾶξιν ὁμολογήσων, ἢ τ' ἀληθῆ λέγων, ὁμολογήσει τὸ κακούργημα. Μηδεὶς δὲ ὑμῶν, εἰ μὴ παῤῥησίας οἱ λόγοι γίγνοιντο, τῦτο ποιείσθω δυσχερές. Πρῶτον μὲν γὰρ, ὅτ' αὖ ἡμεῖς τῷ δικαίων τύχοι- μι, ὅτ' αὖ ὑμεῖς ἃ προσῆκεν γνοίητε, εἰ μὴ τὺς προσήκοντας λόγυς τὰ πράγματα λάβοι. Ἔπειτα δὲ ἐντεῦθεν ὐ μάλιστα ἄν τις κατίδοι, πόσην ἔχει τὰ πεπραγμένα τὴν ἀτοπίαν· εἰ γὰρ ἑαύτις ἃ πέποιθεν ἀνεπικαλυμμένως εἴποι, τῦτο τῷ διδράσκων ὕβρεις, πῶς εἰκὸς τὺς πεποιθότας ὑπ' αὐτῷ τῷ ἔργων ἄγεσθαι; χαιρὶς δὲ τύτων, ὐκ οἶ τὴν πρεσβείαν ῥαιδίως δικαίαν, ἂν μὴ τὸν εἰργασμένον ἀδικῆντά τις ἀνα- δείξῃ. Ὁρᾶτε δὴν ὡς ἁπλᾶ ὐ δίκαια παρέχομαι. δύο γὰρ τὺς ἐγκαλυμμένυς τῆς αἰτίας ἀπολύειν πέφυκεν, ἢ τὸ μηδ' ὁτιῦν πεποιηκέναι τὴν ἀρχὴν, ἢ τὸ τῆς δικαίας εἶναι πράξεως τὰ πεπραγμένα. ὅταν δὴν μήτ' ἀρνεῖθαι τὴν ἀρπαγὴν οἷός τε ᾖ, μήθ' ὡς ὐκ ἀδίκως ἐτολμήθη διδάσκειν, δῆλόν ἐςι τὸ λει- πόμενον. Τίς δὴν ὁ σαμνὸς λόγος; ἐλαβόν, φησί, ὐ ἔχω, ὐ μὴ ἐνέχλει. ἀλλ' ὐκ ἀρκεῖ τὸ λαβεῖν, ὃ δ' ἔχειν, Ἀλέ-

ξαν-

ξανδρε. ἔστι γὰρ καὶ λαβεῖν ὅθεν μὴ ἄξιον, καὶ ἔχειν τὰ ἀλλότρια. ὁ γὰρ ἐν τῷ λαβεῖν ἐστὶ τὸ δικαίως κεκτῆσθαι, ἀλλ' ἐν τῷ δικαίως κεκτῆσθαι τὸ χωρὶς ἐγκλημάτων. ὥστε δεῖ τὸν λῆψιν ἁπλῶς σκοπεῖν, ἀλλὰ πολὺ πρὸ τούτου τὸν δότου. ἔστι γὰρ ταῦτα, ἃ κεῖνο δοκιμάζεται. Ὁρᾷς, ὡς οὐδὲ τοῖς ἱροσύλοις ἀκίνδυνον, τὸ τὰ τῶν Θεῶν εἰληφέναι; καίτοι καὶ τὸ ἔχειν ἀχυρὸν ὦν, ἐκὼν ὁμολογοῦντος ἔχειν, ἀπηλλάχθαι πραγμάτων. ἀλλ' οἶμαι πῶς ἐστὶ καὶ οὐδὲν ἕτερον ἐγκλημ' ἄρα, τὸ τὰ μὴ προσήκοντα ἔχειν. ἵνα μὴ ἀρκεῖ τὸ λαβεῖν, ἀλλὰ προσεῖναι δεῖ τὸ χωρὶς ἀδικήματος. Οὐδὲ γὰρ εἰ τὸν πατέρα τὸν αὐτῆς παρέσας Ἀλέξανδρος, καὶ τὸ σκῆπτρον ἁρπάσας, αὐτὸς αὖτ' ἐκείνῳ ἐφεστηκέναι τοῖς ὑμετέροις πράγμασιν ἤξίου, μεξίστε ποιεῖν ἐνομίσθη καὶ ὠφελεῖν. οὐδ' ὧν ἔμπροσθεν τὸ πάθος, ὅτε Πείσιος ὁ Ἠδωνεύς, καὶ ὑμεῖς οἱ σωσιδότες. ἀλλ' οὐδὲ ὧν ἅπαντες φῶτε δεῖν καταλύσειν, ὡς ἐκ ὅσια ποιοῦντες. Μὴ δή πῦτο λέγε, ὡς ἔλαβες; ἀλλὰ δεῖξον, εἰ μηδεὶς οἷς ἔλαβες ἠδίκηται. τὸ γὰρ δίκαιον, αὖτ' ἐπ' ἐμοῦ τις, αὖτ' ὅτι Πειράμα λογίζηται, τοῦ αὐτοῦ ἐχυρὸν ἔχει. Καὶ μὴν πολέμιοί γε, φησὶν, ἡμεῖς οἱ ταύτῃ ἔχοντες τοῦ ἥπειρον, καὶ ὑμεῖς οἱ τοῦ ἑτέραν. τὸ δὲ τῶν δυσμενῶν ἔξεστιν ἄγειν, καὶ φέρειν, καὶ λαμβάνεσθαι. καλῶς. Παρὰ δὲ τοῖς ἐχθροῖς, Ἀλέξανδρε, καταλύειν ἔξεστι; καὶ ξενίων τυγχάνειν, καὶ φιλανθρωπίας ἀξιοῦσθαι; οὐ τοίνυν ὧν εἶπες, πάντων ἔτυχες. ἐκὼν δὲ, ὦ βέλτιστε, τοῦ ἀρχοῦ ἀποστρέφειν οἰκίαν ἀνδρὸς δυσμενοῦς, καὶ μηδαμῶς ἀγαπᾶν τὰς ὠφελίας τῶν πολεμίων ἐργεσίας, μηδὲ ὁμαρόφιον γίνεσθαι τοῖς ἐκ παλαιῶν χρόνων, ὡς σὺ φῂς, εἰς ἔχθραν διαφημεσθέοις. ἢ πότερ μὲν ὡς ἐπιτηδείοις ἔχω, μικρὸν δὲ ὕστερον ὡς πολεμίοις ἐπέπεσα; καὶ μὴν οὐδ' ἐν τῷ μεταξὺ παρημελήθην ὡς σε δύσχερὲς ὑπῆρξεν ἰδεῖν. οὐδ' ἂν ἔχοις εἰπεῖν. Εἰ μὲν γὰρ ἐξ ἀρχῆς πολέμιος ἐνόμιζες, τί οὐκ ἔλεγες; τί δὲ

σύμ-

σύμφωνον παρεῖχες τῇ γεφύρᾳ τὸ χῆμα; εἰ δ' ὕστερον μεταβληθείς, ὡς δεῖν λυπεῖν, εἶπε πρὸς Διός, ὦθ' ὅτι; ἀλλ' οὐκ ἂν ἔχοις. ἀλλὰ παράγμα πάντων ἀνοσιώτατον εἰς νεῶν λαβών, εἰσῆλθες μὲν ὡς ξένος, ἀπῆλθες δὲ οἷς δυσμενὴς· κλέψας δὲ τὸν ὅπλων, δῶρον ὄνομα τοῖς κακουργήμασι τίθεσαι. ἀλλ' οὐ δὴ πείσεις ἰδόντα ἄνθρωπον. πόθεν; ὁ γὰρ τοῖς ῥήμασιν ἕπεται τῷ πραγμάτων ἡ φύσις, τῇ δὲ φύσει τῷ πραγμάτων τὰς προσηγορίας ἀκολουθεῖν ἄξιον. Εἰ μὲν οὖν πλοίοις μακροῖς, ἢ στρατοπέδῳ παντελάμπουτι τοῖς ὅπλοις προσενεχθεὶς τῷ Λακεδαιμονίῳ, ἢ τὸν ἔχθρων ἐν φυσερᾷ καπυσώσας, ἢ χεῖρα ἀπαράμυθος, ἢ βέλος ἀφεὶς, ἢ δόρυ διξάμενος, ἢ λόχον ὑπερόμβαν ἐνεγκών, ἢ τῆς τύχης, ἢ τῆς ἀρετῆς τινὶ παρεχώρησας, εἶλες μὲν τὸ ἄστυ, τῷ δὲ σωμάτων ἐκράτησεν, ἐγὼ δὲ λαφύρων μοίρᾳ τὸν Ἑλληνίων ἐκτήσατο, ἐχέτω, ξυφάπω λαμπρῷ ἡμεῖς, ἔγκλημα παυσάμενοι τὸ πολέμιον τὸ ἀθλα. εἰδὲ πάντα εἰρωνεία προδείξας, τὸν καταπλοῦν, τὸν σκοπόν, τὸς λόγους, τὸ χῆμα, τὸν ὁμιλίαν, τὰς διαβάσεις, ἐναντίον ὑπῆγαγε τῷ προοιμίων τὸ τέλος, ἴσως, ὅτι πολὺ διενυκόχει νίκη κλοπῆς, καὶ πολέμιον κράτος μεμηχανημένης ἀπάτης. Τὸ μὲν δὴ, τὸ κρεῖττονος ἀπόδειξιν ἔχει. τὸ δὲ, τὸ χείρονας εἶναι, τὰς ἀπάτῃ περιφανεῖς ἕλκειν, ἃ δ' ἀνδρείας ὑ δεδιώλωται. Τὸ μὲν ὖν εἰς τὸς κρείττους, τὸ τῶν χειρόνων ἴσως ἔχοι, καὶ δίδωσιν ὁ τῶ πολέμου νόμος. τὸ δὲ τὸς μηδ' ὁμολογῆσαι τὸν ἔχθραν ὑπομείναντας, τὸ τῶν βελτιόνων λαμβάνειν, εἰς ἀδίκημά τε πελεῖ, καὶ δίκαιο αὖ ζημίας. Ὅτι μὲν ὖν ὑβρισμένοι, καὶ τὸ δεινότατα πεπονθότες ἐστρατόσαμεν εἰς τὸν ὑμετέραν γῆν, καὶ ὐκ ἄρχοντες, ἀλλ' ἀμυνόμενοι, καὶ πλὴν τῆς αὐτομολίας ὐδὲν Ἀλεξάνδρῳ λείπεται, πολλαχόθεν οἶμαι δῆλον εἶναι. Ἡμεῖς δὲ πρὸ τῶν χειρῶν, εἰκότως τοῖς λόγοις

χρώ-

χώμεθα πολλῶν εἵνεκα. πρῶτον μὲν, ὅτι τὸ λόγῳ τε δίκαια πειρᾶσθαι λαμβάνειν, ἀλλὰ μὴ τοῖς ὅπλοις ὁπόσα, ἀνθρωπικώτερον δόξειεν ἂν εἶναι. δεύτερον δὲ, ὃν ἀξιῶ κερδαίνειν, ὡς εἰς ἠδύνατο, πρὸ πάντων τοῦτο δίκαιον λαμβάνειν, ὅπερ εἰς πόλεμον καταστᾶσιν ἀναγκαῖον ἤδη γίνεται. ὃ δὲ συμβαίνει τοὺς ἀντιδίκους φιλοπολεμεῖν, ἀλλ' ἀνάγκη τοὺς πρᾶγματα ἔχοντας πολεμεῖν. ἵνα δὲ μὴ τοῦτο γένηται, μηδὲ ὧν ἂν τις βούλοιτο λυπῆσαί τινα προσχθῇ, πρεσβείᾳ καὶ λόγῳ ἐξετάζεσθαι τὰ διάφορα κελεύω. Πρὸς δὲ τούτοις μεγάλῳ μοι ῥοπῷ ἐν τοῖς τοῦ πολέμου πράγμασι τοῦτο τῶν θεῶν ἡγήσεσθαι εὐτυχίαν. τοῦτο δὲ ὁρῶ, ἐν τοῖς θρασυτέροις, ἀλλὰ τοῖς δικαιοτέροις ὑπάρχοντα. Διὸ τοῦτο, τὸν θυμὸν ἐπισχόντες, δόγε πρεσβείας ἀρχόμεθα. ἵνα, εἰ μὲν ἀρκέσει αὐτὰ πρὸς τὸν ἀμφισβητουμένων πέρας, μηδενὸς ἔτι προσδεήσεσθε. εἰ δὲ μὴ, τῇ τοῦ δαιμονίου συμμαχίᾳ, καὶ τοῦ δικαίου πιστεύοντες, ἕπως ἤδη πρὸς τὰ δεύτερα χωρήσομεν. Ὁρᾶτε δὲ ἀμφότερα, καὶ παρασκευάζεσθε τῷ συλλόγῳ τὰς μάχας, καὶ τοῖς λόγοις τὰ ὅπλα, καὶ πρὸς τοῦ παρόντος εὐδαιμονίαν ἀποβλέποντες, καὶ τοῦ ἀπ' ἐκείνου δυχέρειαν ἐξεπάσαντες, γίνεσθε τοῦ κρείττονος. Δεῖ δὲ, ὦ Τρῶες, ὑπὲρ τῶν πολιτῶν μὴ ῥᾳθύμως βουλεύεσθαι, ἐκεῖνο εἰδότας, ὡς ἂν ἔσιν ἅπαξ ἁμαρτόντας, αὖθις γενέσθαι βουλῆς κυρίους. πρὶν μὲν γὰρ ἅψασθαι τοῦ πολεμεῖν, ἔξεστιν αὐτοῖς καθάπαξ μὴ πεισθῆναι, λογισμῷ βελτίονι τὸ πρόσθεν ἀναιρεῖσθαι. εἰσελθόντας δὲ εἰς τὸ ἔργον, αὐτὰ τὰ πάθη κατέχει μέχρι πόρρω· καὶ τῇ τύχῃ τὰ πολλὰ κεῖται τὸ τέλος, ἀλλ' οὐ τῇ σωφροσύνῃ μᾶλλον. Ὁρᾶτε δὲ, μὴ παρὸν γνῶναι τὸ δίκαιον, πρὸς τὸ πολεμεῖν ἔλθητε, τῷ δὲ πολέμῳ λυπηθέντες, αὖθις ὑπεθυμήσητε βουλεύσασθαι, ἵνα τοῦτο ἂν ἔτ' ἔξεστε. Μάλιστα μὲν οὖν, εἰ μὴ μηδεὶς ἐπιὼν ἀγαθὸν, οὐδὲ κίνδυνος, ἐχρῆν αὐτὸ καθ' αὑτὸ τὸ δίκαιον αἱρεθῆναι. τοῖς γὰρ

ἄπαν

οὕτω γνώμης ἔχουσιν, ἐξ οὐρίας φιλεῖ τὰ πράγματα φέρεσθαι. νῦν δέγε, εἰ δεῖ μὴ ληρεῖν, οὐδὲ βουλομένοις ὑμῖν ἔνεστιν ἑτέρως ποιεῖν. Οὐχ ὁρᾶτε τοὺς Ἀχαιοὺς μετὰ τῆς ἠϊόνος ἐκκεχυμένους καὶ τοῦ πεδίου, μικρὸν ἀποφαίνοντας τῷ πλήθει τὸν χῶρον; οὗτοι μὲν πάντες ἐκ πολλῶν συνεληλύθεισαν πόλεων, μίαν δὲ γνώμην ἐσχήκασιν, ἀμῦναι τοῖς ὑβρισμένοις εἰς τέλος. καὶ τοσαύτη μὲν προθυμίᾳ κέχρηνται πρὸς τὰ ἡμέτερα πράγματα, ὅση καὶ χωρὶς ὅρκων ἤρκεσεν ἄν. τοσαύτη δὲ ἔστιν ἡ τῶν ὅρκων ἀνάγκη, ὅση καὶ μὴ βουλομένους προθυμεῖσθαι, πάντως ἂν ἐπαναγκάσαι. Τίς οὖν οὕτως ἠλίθιος, ὃς οὐκ ἂν ἕλοιτο, χωρὶς τοῦ τί παθεῖν δεινὸν, ἀποδοῦναι ταῦτα, ὧν μετὰ συμφορᾶς ἀποστήσεται; ὅτι νὴ Δία ἄδηλον τοῦ πολέμου τὸ τέλος; οὐ μὰ τοὺς Θεοὺς, οὐδαμοῦ τὸ τοῦ παρόντος ἄδηλον. εἴπερ μὴ καὶ τοῦτο ἄδηλον, πότερον ὁ τῆς δικαιοσύνης καρπὸς, ἢ τῆς πονηρίας ἀμείνων; καὶ πότερον ἐκείνην τὴν τάξιν οἱ Θεοὶ τιμῶσιν, ἢ τοῖς τάδε πράττουσι συναίρονται; εἰ γὰρ μηδέτερον τούτων ἀμφισβητήσιμον, κἀκεῖνο σαφὲς εὐθὺς, τὸ μεθ' ὧν ἂν ᾖ τῶν κρειττόνων ἡ μερὶς, τούτοις ἀποκεῖσθαι τὸ τῶν ἐναντίων κρατεῖν. Περὶ τοίνυν τῶν συμμαχησόντων ὑμῖν (οἶμαι γάρ τινας ἐννοεῖν, ὡς οὐκ ὀλίγους ἕξετε βοηθοὺς) ἐκεῖνο λέγω, ὅτι κἂν ἅπαν τὸ λοιπὸν στρατόπεδον τὴν ἡσυχίαν ἄγῃ, Ὀδυσσεὺς οὗτοσὶ μόνος, γέλωτα τοὺς ὑμετέρους ἀποφαίνει συμμάχους, τῇ συνέσει τὸ πλῆθος ἐλέγχων. Ταῦτα, οὔτε ὀκνῶν τὸν πόλεμον, οὔτ' ἐπιθυμῶν πραγμάτων εἴρηκα. πλείω μέντοι διεξιέναι, πρόχειρον μὲν, μάταιον δὲ καὶ κενόν. εἰ γὰρ μὴ τούτοις προσέξετε τὸν νοῦν, οὐδὲ τοῦ πλείονος οὐδὲν ὄφελος. Μαρτύρομαι δὲ Δία τε ξένιον, καὶ Θεοὺς ἅπαντας, καὶ δαίμονας, ὅσοι τήνδε κατέχουσι τὴν γῆν, ὅτι καὶ τὴν ἀρχὴν ἀδικούμενοι προσέρχομεν Ἰλίῳ, καὶ νῦν λόγῳ διαλύεσθαι προαιρούμεθα· καὶ πολεμήσομεν, ἑτέρων ἀναγκαζόντων.

ΤΟΥ

ΤΟΥ ΑΥΤΟΥ ΠΡΕΣΒΕΥΤΙΚΟΣ, Β'. ΠΡΟΣ ΤΟΥΣ

Τρῶας ὑπὲρ τῆς Ἑλένης. Ὀδυσσεύς.

Ἐν τούτῳ τῷ λόγῳ μάλιστα παρατηρεῖν ἄξιον, τῆς τε εὑρέσεως τὸ πλῆθος, καὶ τῆς δεινότητος τὴν ὑπερβολὴν, καὶ τῶν περιόδων τοὺς κύκλους, οὐ μέντοιγε οὐδ' ἀκμῆς ἀμοιρεῖ.

Ὤμην μὲν, ὦ Τρῶες, μηδενὸς ὑμᾶς ἔτι προσδεήσεσθαι λόγου πρὸ τὸ πάνθ' ἃ προσῆκεν ἐθελῆσαι ποιεῖν, ἀλλὰ τὴν τελευτὴν τῆς Μενέλεω δημηγορίας, ἀρχὴν τῶν εἰς ἡμᾶς δικαίων ἔσεσθαι. ἐπεὶ δὲ ὁρῶ τοὺς μὲν ὅλως τὴν ἡσυχίαν ἄγοντας, ὡς ἂν οὔτε ἡμῶν κατεγνωκότας, οὔτε Ἀλεξάνδρῳ προσκρούειν ἐθέλοντας, τοὺς δὲ θορύβου πολλοῦ τὴν ἐκκλησίαν πληρώσαντας, τοὺς δὲ καὶ διαρρήδην εἰπόντας, ὅτι προσῆκεν ἡμᾶς ἀποκτεῖναι λαβόντας, ἀνέστην τῷ Βασιλεῖ τῶν Ἀχαιῶν συνερῶν ὅ,τι ἂν δύνωμαι. Καὶ γὰρ ἄτοπον, ἔργῳ μὲν ὑπὲρ αὐτοῦ τοσοῦτον ὑπομεῖναι πόνον, ὥστε μήτε πλοῦν μακρὸν, μήτε τῶν οἰκείων ἀπόλειψιν, μήτ' ἄλλο μηδὲν ὑπολογίσασθαι πρὸς τὸ μὴ πάνθ' ὑπουργεῖν. τῆς δὲ βοηθείας εἰς λόγους ἡκούσης, ἢ μηδὲν εἰπεῖν τὴν ἀρχὴν, ἢ ῥᾳθυμότερον τῇ δημηγορίᾳ χρήσασθαι. Ἓν μὲν οὖν ἐκεῖνο χρὴ πρῶτον ὑμᾶς εἰδότας ὑπάρχειν, ὅτι κἂν αἰκίσασθαι, κἂν διαφθεῖραι, κἂν ἄλλοτι τῶν ἀπειρημένων εἰς τοὺς πρέσβεις ὑμῖν ἐπέλθῃ τολμῆσαι, οὐ τοὺς παθόντας ἔσεσθε μᾶλλον, ἢ ὑμᾶς αὐτοὺς ἐζημιωκότες. ὁ μὲν γὰρ ἀδίκως ἀποθανὼν ὑπ' οὐδενὸς ἂν πονηρὸς νομισθείη, καὶ τοῦτ' ἂν εἴη πεπονθὼς, ὃ μικρὸν ὕστερον αὐτόματον ἔπεισι. τοῖς δὲ ἀδίκως ἀπεκτονόσι,

τόσι, καὶ παρὸς Θεὸς καὶ παρὸς ἀνθρώπους ὁ λόγος γέγονεν ἡ καὶ τῆς ἀδικίας εἰς ἅπαν τὸ χρῆος. Τ'πὲρ μὲν ἐν πάντων τούτων ἔχειν τὸν γνώμην ἄξιον. δεῖ δὲ ὑμᾶς, μηδὲ τοὺς ὑπὲρ τοῦ πράγματος λόγους ἡγεῖσθαι φορτικοὺς, ὅπως ἂν γένωνται. καὶ γὰρ εἰ μὲν ἀναγκαῖον ἦν τὸν λίθον αὐτοὺς ἕπεσθαι τοῖς εἰρημένοις, καλῶς ἂν τις ἐδυσχέραινε τὴν ἀκρόασιν, ὡς ἂν ὑπ' αὐτῆς ἀφαιρούμενος ἢ βιαζόμενος κυρῶσαι. ἐπεὶ δὲ τὸ μὲν εἰπεῖν, τοῦ πρέσβεως, ἡ δὲ ὑπὲρ τοῦ παντὸς γνῶσις ἐν ὑμῖν, οὐδὲν ἂν δόξαι βλάβος εἶη, καὶ τέλος ἀκούσασι, παρᾶξαι τὸ παρεισάκτιον. Τοῖς μὲν ἄν ἄλλοις ἅπασι, καὶ ὅσοι παρ' ἄς τινας ἦλθον πρεσβεύοντες, τὸ μὴ τυχεῖν ὑπὲρ ἂν ἐφίοντο, τοῦ ἐχάτων ἀτυχημάτων εἶναι δοκεῖ. ἡμῖν δὲ, ὡς ἔοικε, τό, τε διαπράξασθαι περὶ ὧν ἀπεστάλημεθα, τοῦ κρίσεως ἕξειν, καὶ τὸ διαχρῆσθαι ἀπελθεῖν, οὐδὲν λυπηρόν. τὸ μὲν γὰρ πρότερον, πραγμάτων ἡμᾶς ἀπαλλάττειν φαίνεται καὶ διαξιβῆς, ἐν δὲ τῷ δευτέρῳ, μειζόνων ἔργων ἐλπὶς ὕπεστιν. Ὡς ἂν ὑπὲρ ὑμῶν ὄντος μᾶλλον ἢ ἡμῶν τῷ συλλόγῳ, καὶ παρισχόντες ἀκούσατε, καὶ τῶν ἐξέτασιν μὴ παρὰς τὸ ἧττον μᾶλλον, ἢ τ' ἀληθὲς ποιήσατε. Πάλαι μὲν, ὦ Τρῶες, παρὰς τὸν Ἀλεξάνδρου γνώμην τὸ κοινὸν τῆς πόλεως ἦθος ἐξετάζοντες, κακίστους ἁπάντων ἀνθρώπων (δόξαι γὰρ εἰπεῖν μετ' ἐξουσίας) καὶ δυσσεβεστάτους νομίζομεν, καὶ πάντων ὠμοτάτους βαρβάρων· νῦν δ' ἔγε πεῖραν ὑμῶν καὶ τῶν ὑμετέρων νομίμων λαμβάνοντες, καὶ συνηθείας, καὶ τάξεως, καὶ τοῦ ἄλλου, οἷς πόλεως τρόπος γνωρίζεται, τὸν μὲν κοινὸν ἡμῶν παρανίκησιν ἀγνώμεθα, οὐδὲ δ' ἡγούμεθα φαῦλον ἐν πόλει δεξιῶς ἐχούσῃ θαυμαστὸν εἶναι ἡγούμεθα. Ἐπὶ καὶ τοῖς Ἕλλησιν αὐτοῖς καὶ ταῖς ἀνομμοίαις τοῦ πόλεων εὕροις ἂν τινα τὸν αὐτῶν βίον ἐναντίως τοῦ κοινῷ καθεστῶτα νόμῳ. διόπερ καὶ κολάζεται νόμῳ. ἀλλ' ἃ τοῦ πόλεων οἶμαι ταῦτα καταγνώσματα, τοῦ δὲ

πε-

πεποιηκότες ἀδικήματα. Ἀ τοίνυν θαυμάσαντες ὑμῶν ἔχομαι εἰπεῖν ὅδε· πρῶτον μὲν ὅτι τὸ χρῆμα τῆς παρόσβειας ὠλίσθατε, καὶ τὰς ἵππους παρασήκασθε, καὶ οὐκ ἀπεστράφητε, ὡς ἠκούσατε, ἀλλ' ἀνοίξαντες τὰς πύλας, τοῦτο μὲν ἐδίξασθε ἐν τῇ πόλει παρέσω, τοῦτο δὲ ξενίζετε λαμπρῶς. λέγω γὰρ νυνὶ ὑμετέραν παρεῖναι τὴν φιλανθρωπίαν Ἀντιόχου. ἐπὶ πύλαις βωμοὶ πανταχῇ τῆς πόλεως ὁρώμενοι, καὶ κάλλη θεῶν, καὶ πλῆθος ἀναθημάτων, καὶ συνεχεῖς θυσίαι, καὶ πανηγύρεις συχναὶ, καὶ τεταγμένος ἑκάστου χρόνος, (καὶ γὰρ ἀκούειν ἐμοὶ) καὶ μαντικὴ ῥίμιος οὐκ ἐῶσα τὸ μέλλον ἐν ἀδήλῳ κεῖσθαι, καὶ ὅλως τὸ πλεῖστον πρὸς Ἑλληνικὸν ἀμιλλώμενα κόσμον. Ἐκκλησίαι, βάπτρες, τὸ βουλῇ χώραν εἶναι, τὸ λέγειν εἰς μέσον ἐξεῖναι, τὸ μὴ τῷ θυμῷ πλέον, ἢ τῷ δικαίῳ δίδοσθαι. τὰς μὲν γὰρ ἄλλας βαρβάρως ἀκούομεν, ὀργῇ μᾶλλον, ἢ λογισμοῖς τὰ καθ' ἑαυτὰς διοικούσας· ἐγγύτατα τῆς θείων ἔχόντων, καὶ τοσοῦτον ἐπ' ὠμότητι καὶ πανοπλίᾳ φρονεῖν, ὅσον εἰκὸς ὑπὸ τοῖς ὠμοῖσι. τὰ δ' ὑμέτερα πρὸς τὸ βέλτιον ὁρῶμεν πάντα σωφρονισμένα, καὶ συγχαίρομέν γε ὑμῖν τῆς τε ἐθῶν καὶ τῆς καθιστώσης τάξεως. Ἔστι δ' ὑμῖν ἀπ' αὐτῆς, ὧν ἀδοκιμεῖτε τὸ τὰ δίκαια πανταχῇ φυλάττειν ἀναγκαῖον. καὶ δι' ὧν ὑμᾶς ἐπαινεῖν ἔχομεν, θαρρεῖν ὑμῖν ὑπὲρ ὧν ἥκομεν ἔπεισι. τοῖς μὲν γὰρ ἐξ ἀρχῆς ἀδόκιμον τὸ καλῶς ἀκούειν θεμένοις, ἴσως ἂν ἐνέγκαι συγγνώμην τινὰ, τὸ ῥᾳδίως ὑπὸ τὸ χεῖρον καταφέρεσθαι. ἀδόκιμον γὰρ ὑπομονῆς οἷς ἐγνώσαμεν ὠφθαι, δοκοῦσι μεταπράττεσθαι, καὶ τῇ σωφροσύνῃ τῶν ἔργων ἀφαιρεῖσθαι τὸ πλέον τῆς μέμψεως. ὅσοι δὲ ἀρχὴν ἐνστάσεως καλὴν καὶ γενναίαν, εἶθ' ἑκόντες ἀμαρτάνουσιν, αὐτῷ κατήγοροι γεγόνασιν, οἷς ἔκρινον δ' ἔχειν ὑπομονὴν τολμῶντες. Πῶς τοίνυν ἂν εἴη τῷ αὐτῷ φρονεῖσθαι μὲν τοὺς Θεούς, πάλιν δὲ αὐτῷ καταφρονεῖν; καὶ θύειν μὲν ὑπὲρ εὐσεβείας, δυσσεβεῖν

δὲ

δι' ἃς τὴν χρείαν; ἢ τὸν μὲν Δία τιμᾶν, ἢ διὰ πολλῆς τῆς ἐπιμελείας θεραπεύειν, τὴν μὲν ἐν ταῖς κορυφαῖς τῆς Ἴδης, αὐθις δὲ ὑπὸ τῆς ἀκροπόλεως, πάλιν δὲ αὐτῷ τῷ Θεῷ ἅπαξ ὀλιγωρεῖντας φαίνεσθαι, ὥστε καὶ μεγίστην αὐτῷ τὴν τιμωρίαν εἶναι διαφθείρειν; τίς γὰρ ἂν ἰδοι ἂς ὁ Ζεὺς ξενίους, ὅπερ ἢ κεφάλαιόν ἐστι τῆς ἐπωνυμίας αὐτῷ; ἢ ὅτι πανὸς μὲν ἀναθήματος ἥδιον ἐπειται, πᾶσι δὲ τοῖς ξένοις εὖ ἔχειν; πάσης δὲ δεινότερον ἱεροσυλίας, ὅτι συμβαίνει δυχερὲς, ἢ τῷ ξένῳ τοῦτο τῷ δεξαμένῳ, ἢ τῷ δεξαμένῳ τοῦτο τῷ τυχόντος ἀνοίας; Οὐ τοίνυν ἐστὶν ἴδιον τῆς αὐτῆς ὑβρίζειν τε ὁμοῦ καὶ θεραπεύειν τὸν Θεόν. εἰ μὲν γὰρ ἐπ' ὀργίζεται παροινικῶς, τί περὶ τοῦ θεραπείαν ἐπιδείκνυμι; εἰ δὲ τὸ τιμᾶσθαι προσῆκον λόγον, εἰκὸς δήπου καὶ τοῖς ὑβρίζουσιν ἔχεσθαι. Εἰ μὲν τοίνυν ἐξ ἁπλοτέρας ἔνεστι τῷ Θεῷ τυχεῖν, καὶ ταύτης, ὁποίας ἂν ἡμᾶς αὐτῷ προσάγωμεν, ἀλλ' ἔστι μὲν ἀδικώτατος, τῆς ἐν χείρονι φορυείας ἀπολαύειν, ἔστι δὲ τὰ δίκαια προαιρούμενος, μηδὲν ἄμεινον τῶν πονηρῶν πράττειν, καθαιρετέον μὲν βωμὸς, ἀμελητέον δὲ θυσιῶν, παραιτέον δὲ πανηγύρεις, ἐν ἁπλοῦς δὲ μέρει τὸ θεῖον ἑκτέον, ἁπλῶς τε νομιστέον εἶναι φέρεσθαι τὰ ἀνθρώπινα, καὶ τὸ προσυχὸν ἔχειν; τῆς δὲ τοῦ βελτίονος πάσεως μηδὲν εἶναι τὸ κέρδος τοῖς ἄπω ζῆν ἐθέλουσι. καὶ τί δεῖ δικαιοσύνῃ ἀοικεῖν, πρᾶγμα ἅπαξιμον, ὃ ἐξὸν ἀφανισάντας πανοῦργον, ἁπλοῦν ἀκίνδυνον κερδᾶναι; εἰ δὲ τοῦτο μὲν ἁπλῶς λέγειν καλὸν, μήτιγε δὴ πράττειν ἄξιον, ἀλλὰ τοῖς μὲν ὁσίοις αἱ βελτίους ἐλπίδες ἀπόκεινται, τοῖς δὲ ἑτέρως ζῆν ἡμιμόροις, καὶ τὰ παρόντα δυχερῆ, καὶ τὰ μέλλοντα φόβου μεστά· πολὺ δήπου κάλλιον, ὦ Τρῶες, ἐκείνης εἶναι τῆς μοίρας, ἢ τὰ χρηστὰ προξενεῖ. Καὶ ἐγὼ μὲν ἀποτιμῶμαι ὑμῖν, ὡς ἐγὼ ἔπω φρονεῖτε. ἀρχὴν γὰρ ἐδ' ἂν συνεβάλλου ὑμῖν, εἰ μὴ πάντων διέμεσθε τὸν ξόανον. ἀλλ' ἐπειδὴ πανδ' ὑμᾶς δικαίως ὁρῶμεν ἀποδύοντας, ἐγὼ ἂν

βουλοίμεθα τὴν πόλιν ὑμῖν ἐξ ἡμισείας εἶναι δικαίαν, οὐδὲ τὰ ἄλλα ἀνεγκλήτους ὄντας, ἐν τοῖς περὶ τὴν Ἑλένην δοκεῖν ἁμαρτάνειν. Πάντων γὰρ ἀτοπώτατον, τῆς μὲν ἐγχειρήσεως καὶ τῶν ἔργων ἀφεστηκέναι, ἐν δὲ τῇ περὶ τῶν πεπραγμένων βουλῇ, τῆς αἰτίας τοῖς πεποιηκόσι κοινωνῆσαι. Εἰ μὲν οὖν κοινῷ δόγματι τῆς πόλεως τὸ ἀδίκημα τετόλμηται, καὶ τὸν Ἀλέξανδρον ὑμεῖς ἐπὶ καλῷ οὕτω πρᾶξιν ἐξεπέμψατε, σαφῶς εἴπατε μηδὲν ὀκνήσαντες, καὶ οὐδὲν ἔτι φθεγξόμεθα. τίς γὰρ ἂν νοῦν ἔχων, αὐτοῖς τοῖς εἰργασμένοις δικασταῖς ὧν ἠδίκησαν χρήσαιτο; εἰ δὲ, ὅπερ ἀληθές ἐστιν, ὁ μὲν ἀφ' ἑαυτοῦ βαλλόμενος ἔπραττε τὸ τερπνὸν, ὑμῶν δὲ τὸ κοινὸν οὐ μετεῖχε τῶν γιγνομένων, δείξατε τοὺς δεδρακότας ἐν τῇ ψήφῳ, καὶ τῇ χειροτονίᾳ τῆς αἰτίας ἐξέλεσθε τὴν πόλιν. Καὶ μὴν ἔγωγε πολλοὺς ὑμῶν οἶδα, τῷ μὲν Ἀλεξάνδρῳ δυσκόλως ἔχοντας, ἡμῖν δὲ τοῖς πεπονθόσι συναλγοῦντας. δεῖ δὲ τόντε ἀληθῶς ἁπλοῦν καὶ γενναῖον, μὴ πλάττεσθαι τὴν καλοκἀγαθίαν, ἀλλ' ἐπὶ τῶν ἔργων τοῖς ἠδικημένοις ἀμύνειν, καὶ τοῦ νόμου τῆς Ἐκκλησίας διδόντες παῤῥησίαν, ἀποδοῦναι κελεύειν τὴν Ἑλένην. ἀλλ' οὐκ ἰδίᾳ σεμνολογεῖσθαι τὴν πρᾶξιν, δημοσίᾳ μὴ αἰτιώμενον. Καὶ μὴν εἴτις ὑμᾶς ἔροιτο, τί παθόντες οὔτε πρότερον οὐδὲν τοιοῦτον εἴργασθε, οὔτ' ἐπειδήπερ Ἀλέξανδρος ὢν ἐπεθύμει κύριος ὤν, ἐζηλώσατε τὴν ἁρπαγὴν, εὖ οἶδα, ὅτι φήσειαν ἅπαντες, ὅτι καὶ πρότερον καὶ μετὰ τὴν τοῦ Ἀλεξάνδρου παροινίαν, πονηρᾶς εἶναι φύσεως τὸ ἅρπαγμα κατεγνώκαμεν, καὶ οὐ διὰ τοῦτο χρηστὸν, ὅτι τῷ δεῖνι τῶν Τρώων ἤρεσε. Τούτοις μέν τοι τοῖς λόγοις οὐ συμβαίνει τὸ συμπράττειν Ἀλεξάνδρῳ καὶ συναγωνίζεσθαι, πρὸς τὸ μὴ παύσασθαι τῶν ἀδικημάτων ποτέ. εἰ μὲν γὰρ ἐπαινεῖτε τὸν ἄνθρωπον, τί οὐ μιμεῖσθε. εἰ δὲ καταμέμφεσθε, τί οὐ κωλύετε. οὐ γὰρ δήπου λόγον ἔχον ἐστὶ, ταῦτα διαφυλάττειν εἰς τέλος, ἃ μηδὲ γενέσθαι τὴν ἀρχὴν βέλτιον ἦν. ἢ τὴν μὲν ἁρπαγὴν αἰτιασόμεθα,

μεθα, τὸ δὲ μὴ ἀποδῦναι βάλεσθαι, τοῦτο θαυμασόμεθα; Ὅλως δὲ, εἴ τις ἀκριβῶς λογίζεσθαι βούλοιτο, ὁ Μενέλεως ἠδίκηται μόνος ἐν τοῖς πεπολεμημένοις, ἀλλὰ καὶ τὰ πράτιστα τῶν ἀνθρωπίνων συγκέχυται καὶ κεκίνηται. Εἰ δὲ Ἀντιλοχος ὁ βέλτιστος ἐνεθυμήθη πρὸς ἑαυτὸν, καὶ ὅτι νεῶ ἐγὼ Μενέλεων καὶ Ὀδυσέα καταλύειν αὐόξομαι παρ' ἐμαυτῷ, τὸν μὲν εἰς τὰ τιμώτατα βεβλαμμένον, τὸν δὲ συναρχιομένον τῷ πένθει. ἀλλ' ἴσως ἀποκρίσονται πρός τι τῶν δυσχερῶν τῇ παρ' ἐμοὶ δεξιᾷ (παρ' ἡμῶν δὲ αὐτῶν ἔχουσι τῶν τοιούτων τὸ παράδειγμα (καλῶν αὖ εἴλω ἀπολαύσων ξενίων. εἰ ταῦτα διαλογισάμενος, παρορμήσας ἀπήλαυνε, καὶ μηδαμῆ παρσίετο, ἀρ' ἂν οὐ δεῖμα δεινὸν, καὶ πάντων ἐλεεινότατον, ἀνδρας ξένους, ἱκέτας ἐμοὺς, ἐπ' ἀγορᾶς κυλινδεῖσθαι; οἵμοι δὲ αὖ καὶ τὰς ἄλλας μιμήσασθαι, τῷ φόβῳ τῶν πεπραγμένων παρὸς ἀπιστίαν ἀγομένας. ταῦτα τοίνυν τὸ μὲν Ἀλεξάνδρου μέρος συμβέβηκεν, ἡ δὲ Ἀντιόπης καλοκἀγαθία πρείττων ἐφαίνη τῆς ὑποψίας. Μάλιστα μὲν ἂν, ὦ Τρῶες, καὶ τὸ περὶ ὁτιοῦν εἰς τὸν ὑποδεξάμενον ἁμαρτεῖν, τῷ δεινοτάτῳ ἐστί. τῆς δὲ αὐτῆς παροινίας δοκοῦσιν ἔχειν τὸ παραπόμπιμον ἅπαν, ἕως ἂν ἐκβαίνῃ τὸ προσῆκον. Ἀλέξανδρος δὲ παρανομεῖν ἐπιχειρήσας, ἐν τῷ μεγίστῳ τῶν ἀδικημάτων ἔδειξεν. ἡ μὲν ἦρχεν θεραπαίνας, καὶ χρυσία, καὶ ὅσα εἰς ἑαυτὴν φέρειν λαβόντα, οἴχεσθαι, καὶ πάντα ὀφείσαι τὰ ἀδικήματα. ἀλλ' ὅτι τὸ γυναῖον ὑπεθυμίαν ἀκόλαστον ἐκίνησε, καὶ τοῖς αὐτοῖς ὀφθαλμοῖς τὸν μὲν δεξιώμενος, τὸν Ἕλενον εἶδεν ἐφ' ὕβρει, καὶ οὐκ ἔστιν ὅτι τῆς ἐννοίας τὸ ἐγχείρημα, ἀλλὰ προσέθηκε τῷ παρᾶξαι, ὑπὲρ οὗ καὶ τὸ βλάπτεσθαι, τῷ ἐχάτων ἀεὶ λῷ. Καὶ εἰ μὲν οὐκ ἐώρα παιδίον αὐτοῖς γεγονὸς, ὃ μάλιστα δὴ πάντων εἰς οἰκειότητα τὰς γονέας συνάγει, λῷ μὲν ἂν ἦδε ἔτι μικρὸν, τὸ δὲ νῦν ἐργασμένῳ μετειώτερον. νῦν δὲ ὅσης αὐτοῖς Ἑρμιόνης τοσαύτης ἀφορμῆς, εἰς ποινω-

νίαν, Ἀλέξανδρος διέσσασεν, ἃ συνῆπτο θεσμῷ καλλίσει. Οἶδα τοίνυν ὡς ἐρεῖ τις, ὅτις δικαίως ἂν στέργοιμεν ταῦτα πάσχοντες ἅ ποτε πεποιήκαμεν. οἷον ὑμεῖς φησιν, ἐκ μὲν Φοινίκης Εὐρώπην, ἐκ δὲ Κόλχων ἡρπάσατε Μήδειαν. τί τοίνυν ἀσχάλλετε ταῦτα ὑπομένοντες, ὧν ὑπήρξατε; Ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο τεθαύμακα, εἰ ὧν ὡς ἐγκλημάτων μέμνησθε, ταῦθ' ὁμολογεῖτε μιμήσασθαι. εἰ μὲν γὰρ μηδὲν ἡμάρτανον οἱ τότ' ἐκεῖνα πράττοντες, πῶς ἔγκλημα προφέρετε; εἰ δὲ οὐκ ἦν ἔξω τοῦ ψέγεσθαι, πῶς ἃ ψέγειν οἴεσθε δεῖν, ἐζηλώσατε; Καὶ μὴν καὶ κατ' αὐτὸν τοῦτον τὸν λόγον, εἰς τοὺς βαρβάρους ἔρχεται τὸ ἔγκλημα. εἰ γὰρ τὸ μὲν τῶν ἀδικημάτων ἄρχειν παρὰ τὸν νόμον ἐστὶ, τὸ δὲ ἀμύνασθαι τοὺς ὑπάρξαντας εἰς τὸ δίκαιον τελεῖ, εἰπάτω μοί τις· πότερον οἱ Κρῆτες πρότερον τὴν Εὐρώπην ἐκ Φοινίκης ἥρπασαν, ἢ Φοίνικες ἐξ Ἄργους Ἰὼ τὴν Ἰνάχου; ἐγὼ μὲν γὰρ οἶμαι, τῶν Φοινίκων γεγενῆσθαι τὴν ἀρχήν. καὶ οὐκ ἐπαινοῦμεν οὐδὲ τοὺς Κρῆτας πρὸς τοῦτο ἐλθόντας· πάντων γὰρ ἀλογώτατον, τῶν ἠδικημένων ἀντεπιβουλεύειν οὐ προῃρημένων, ἐκείνους ταῦτα περιεργάζεσθαι. ἔπειτα εἰ καὶ πλέον τῶν πεπονθότων ἤχθοντο (δῶμεν γὰρ ὅτι καὶ μᾶλλον ἤλγουν Ἰνάχου) οὐχ ἁρπαγῇ τὴν ἁρπαγὴν μετιέναι ἐχρῆν, ἀλλὰ ταῦτα ποιεῖν, ἅπερ ἡμεῖς νῦν, πρεσβείαν ἀποστέλλειν, στρατόπεδον συγκροτεῖν, πόλεμον ἀπειλεῖν. τοῦτο μὲν γὰρ ἦν μηδὲν τοιοῦτον μήτ' ἐν γῇ, μήτ' ἐν θαλάττῃ βουλομένων τολμᾶσθαι, ἐκεῖνο δὲ πολλὰ παρασκευαζόντων παραπλήσια γίνεσθαι. Ἐπαινεῖν μὲν οὖν ἐκείνους οὐκ ἔχομεν. εἰ δὲ ἰσχυρόν τις εἶναι νομίζει τὸ χρῆναι τοῖς ἴσοις ἀμύνασθαι λόγοις, τί ἂν αὐτοῖς λείποιτο; πλὴν ἔν γε ἐκεῖνο ἴσμεν, ὅτι Φοινίκων τὸ ἔγκλημα γίνεται, τῶν καταβεβληκότων τὸ σπέρμα τῆς ἁρπαγῆς. Τί οὖν Μήδειαν Γάσων ἐλάμβανεν; Ἄλλος μὲν ἄντις ἔφησεν, ὅτι πρὸς τὰ τῶν Φοινίκων παροξυνόμενος, καὶ προσδεῖν ἡγούμενος τῇ τιμω-

μωρίᾳ. ἐγὼ δὲ οὐ τὸν Γάσωνα αὐτῆς Μηδείας ἐπιθυμήσαντα σκοπῶν εὑρίσκω, τὴν δὲ Μήδειαν ἁλοῦσαν Γάσωνος. ὡς μὲν οὖν συνέπραξεν αὐτῷ πρὸς τοὺς ἄθλους αὐτόματος ὁρμήσασα εἰς τὴν ἐπικουρίαν, καὶ ὡς ἀπέκτεινε τὸν ἀδελφὸν ἀποσπᾶν ἐπιχειροῦντα, καὶ ὡς ἀβίωτον ἡγεῖτο τὸν βίον, εἰ μὴ ἐκεῖνον ὄψεται, καὶ ὅσα τῶν πρώτων ἐστὶ παραλείψω. τί γὰρ ἄν τις μακρηγοροίη; Ἀλλ' ἐπειδὴ τῆς Ἑλλάδος ἦσαν ἐν Κορίνθῳ, ὁ μὲν ἄλλην ἐμνήσευεν, ἡ δὲ ἐδάκρυε. καὶ ὁ μὲν ἣν ἐβούλετο ἤγετο, ἡ δὲ, οὐκ εἶχεν ἥτις γένηται. οὕτω σφόδρα αὐτὴν Γάσων ἠγάπα, καὶ τὰς Συμπληγάδας ὑπὲρ ἐκείνης διέπλευσεν, ὥσπερ Ἀλέξανδρος ὑπὲρ τῆς Ἑλένης τὸ Αἰγαῖον. πότερον οὖν, Γάσων Μηδείας ἑαλώκει, ἢ Μήδεια τὸν οὐδὲν δεόμενον αὐτῆς ἠνώχλει; τὰ μὲν γὰρ πράγματα τὸ δεύτερον βεβαιοῖ. Εἰ δὲ ἐκεῖνό τις φήσειεν, ὅτι καὶ τὴν Ἑλένην παραπλήσιος λογισμὸς ἀκολουθεῖν Ἀλεξάνδρῳ συνέπεισεν, οὐ χαλεπὸν εὑρεῖν τὴν ἀλήθειαν. εἰπάτω πρὸς αὐτὴν ἀπαλλαγῆναι τῆς οἰκίας, ἕτερον ἐγγυάσθω γυναῖον, κἂν προκαθημένη δακρύῃ, χαίρειν ἐάτω, καὶ τότε εἰσόμεθα οἷς ἐγκαλεῖν ἄξιον. καὶ ὥσπερ ἂν εἰ τότε Αἰήτης ᾔτει τὴν Μήδειαν, πόλεμον ἀπειλῶν εἰ μὴ λάβοι, ῥᾶστα ἂν Γάσων ἐδίδου, πρὸς τὸ χάριν εἰδέναι τοῖς ἥκουσιν. οὕτω νῦν Ἀλέξανδρος δειξάτω, μηδὲν τῆς γυναικὸς δεόμενος. ἀλλ' οὐ ποιήσει τοῦτο ἑκὼν εἶναι, πόθεν; οὔκουν Γάσων ἠδίκει τότε, ἀλλ' ἡ παῖς ἠδίκει τοὺς γονεῖς, ἑκοῦσα παρ' αὐτὸν ἀπελθοῦσα. τί οὖν ἄν τις εἰς παράδειγμα χρῶτο τούτοις, ὧν πολὺ τὸ παρὸν ἀποστατεῖ; Τὸ δὲ μέγιστον, ὃ καὶ σαφῶς εἴσεσθε. ποίῳ τοίνυν κεχώρισται τὰ πράγματα; οὔτε γὰρ ἣν οἱ Φοίνικες, οὔτε ἣν οἱ Κρῆτες ἔλαβον, ἀλλ' οὔτε ἡ Μήδεια συνοικοῦσα τισὶν, ἤδη τοῦτο ἔπασχον. οὐδὲ διεσπᾶτο γάμος, οὐδὲ εὐνὴ κατῃσχύνετο, οὐδὲ παίδων διαδοχὴ διεκόπτετο, οὐδὲ ἐφ' ἃ Θεοὶ γαμήλιοι παρεκλήθησαν, ταῦτα κατὰ πολλὴν ὕβριν ἀνῃρεῖτο. ἀλλ' ἣν κἀκεῖνα δεινὰ μὲν, οὐ μὴν δ' εἰς τοσοῦτον

ἀσεβείας ἥκοιτε. εἰ δὲ δὴ κἀκεῖνα πολλῆς ἂν ἀξίαν εἴη ἀγανακτήσεως, πόσης γε εἶναι τὸ παρὸν ὀργῆς θήσομεν; Ἔτι τοίνυν (καὶ δὲ δὴ τοῦτο μικρὸν) τὸν μὲν Ἰάσονα παῖδα, ναυκλήρου τινὸς φασὶ κλέμμα γενέσθαι, ἔτε θαλαττεύοντος, ἔτε καταλύσαντος ἐν τῷ πατρὶ τῆς πόρης. περὶ δὲ τῆς Εὐρώπης καὶ δεῦρο ἐάσω καὶ νῦν οὐκ ἐρῶ ἀκέραιος. Ἰάσονα δέ γε δυσμενέστατος πάντων ἐτύγχανεν Αἰήτης, καὶ τοιαῦτα προβάλλοντος, ἃ πρόδηλον εἶχε τῷ μετιόντι συμφορά. ὥσθ' ὅπως γε εἴτι καὶ δυσχερὲς ὕστερον εἰργάζετο τὸν Αἰήτην, τὸ προπεπονθέναι κακῶς, δικαίως ἐποίει τὸν πράξαντα αὐτῷ. Τίνων ἕκαστος, Ἀλέξανδρε, τοῖς γε σεσυλημένοις, οὐχ ἁλῶν, οὐ σοροῖν, οὐ ξυστίδος ἐκοπώνησεν· μᾶλλον δὲ, οἱ μὲν ἀδικοῦντες τοιαῦτα μετεσχήκοτες ἦσαν, ὁ δὲ δικαίως ἐπεπόνθει κακῶς. καὶ εἰ τἄλλα πάντα ἦσαν πονηροὶ, τοῦτό γε περὶ τὸν ξένιον δεῖ πλημμελεῖν, ἦσαν ἐλεύθεροι. καὶ τὸ μὲν ἐκείνοις ἦν πλεονεξία, τὸ δὲ ἀσέβεια. πλεῖστον δὲ δίκῃ διαφέρει τῆς τοῦ πλείονος ἐπιθυμίας ἡττᾶσθαι, ἢ τοῦ περὶ τοὺς θεοὺς φόβου μείζονας εἶναι βούλεσθαι. Μὴ τοίνυν ἀναιχυντῶμεν εἰς μέσον ἐκείνους φέροντες, ὧν αὐτοὶ πειρώμεθα, ἢ λύσομεν ἡμᾶς αὐτοὺς πλέον θάτερον ποιοῦντες. εἰ γὰρ ὧν ὡς δεινοπάθων κατηγορεῖμεν, ταῦτα ὑπερβάλλοντες ἁλισκόμεθα, καθ' ἡμῶν αὐτῶν ἐκεῖνα κατοικίζομεν. Παρὰ πάντα δὲ ταῦτα, ἐκεῖνο εἰπεῖν ἄξιον· πάντων δοξῶν ἀλογώτατον, ὦ Τρῶες, τὰ μὲν ἐγκλήματα ἑτέρων εἶναι, τὸν δὲ τιμωρίαν ἑτέρους ὑπέχειν. καὶ τοὺς μὲν ἠδικηκότας ἀθώους ἀφεῖσθαι, τοσούτοις δὲ ὕστερον χρόνοις, ἄλλως αὖ ἐκείνων πάσχειν κακῶς. οἷον τι λέγω; Κρῆτες ἠδικήκασιν; Κρησὶν ἐγκαλεῖ. Ἰάσων ἥμαρτεν; εἰσπράττει τὸν τιμωρίαν τῷ Ἰάσονος οἰκείων. καὶ δὲ Κρῆτες μὲν καὶ Θετταλοὶ καὶ συμμαχίαν στρατεύουσι, Μενέλεως δὲ μηδὲν ἐγκαλούμενος, ὑπὲρ τοῦ ἑαυτοῦ συμφορῶν ἐκείνους στυγάγει. καὶ οἱ μὲν τὰς προφάσεις δεδωκότες, ἄλλοις ἐπαμύνουσιν· ὁ δὲ καθαρὸς αἰτίας, ἐκείνων

εἰς ἐπικουρίαν διδέηται. Καί τοι καὶ Κρησὶ, καὶ Θετταλοῖς λόγος ἐστὶν ὑπάρχων ἰσχυρός. οὐ γὰρ ἡμεῖς γε, φήσουσιν, οἱ νῦν ὄντες, οὐδὲν τοὺς βαρβάρους ἀφειλόμεθα, ἀλλ' οὐδὲ ἴσμεν τὸ παράπαν εἴτις Εὐρώπη γέγονεν· εἰ δὲ μὴ συκοφαντία ταῦτα ἦν, ἐχρῆν τοῖς προγόνοις ἐγκαλεῖν, οὓς καταμέμφεσθε ταῦτα ἡμαρτηκέναι. εἰ μὲν οὖν οὐ κατεμέμψασθε τὴν ἀρχὴν, τί νῦν ἐνοχλεῖτε; τί δὲ μεταφέρετε τὰς αἰτίας ἐπὶ τοὺς ὕστερον γενομένους; εἰ δὲ μεμφομένων κατεγέλων, ἔδει τοῖς ὅπλοις χρήσασθαι. Ὅτε τοίνυν καὶ τοῖς ἐγγόνοις τῶν δοκούντων ἡμαρτηκέναι, πολλῆς εὐηθείας ἐγκαλεῖν, ἤπου πλείστης ἀναιδείας, τὸ τοὺς μηδὲν ἐκείνοις προσήκοντας ἀδικεῖν. Οὕτω δὲ πανταχόθεν ἀνέστραπται τὸ πρᾶγμα, ὥστε οὐ μόνον ὁ μὲν χρόνος τῆς τιμωρίας πολὺ τῶν ἐγκλημάτων νεώτερος, οἱ δὲ μηδὲν ἠδικηκότες ἀντὶ τῶν ἡμαρτηκότων ἕλκονται, ἀλλὰ καὶ τὸ τρίτον τῆς αὐτῆς ἀλογίας, ἀντὶ Φοινίκων καὶ Σκυθῶν, Ἀλέξανδρος ἐπὶ τὴν τιμωρίαν ἧκεν, ὥσπερ ἐκείνων, ἢ παροξύνεσθαι τοῖς γεγενημένοις οὐκ εἰδότων, ἢ δίκην ὑπὲρ αὐτῶν οὐ δυναμένων λαβεῖν. Καὶ μὴν εἰ μὲν οὐδὲν ἐφρόντιζον ἐκεῖνοι τῶν πεπραγμένων, πῶς ὑμᾶς ἀγανακτεῖν ἄξιον; εἰ δὲ ἀλγοῦντες, ὅμως ἡσύχαζον, τί δεῖ χαρίζεσθαι τοῖς ὑπὲρ αὐτῶν οὐ κινουμένοις; Θαυμάζω δὲ εἰ μελλούσης μὲν ὑμῖν κινδυνεύειν τῆς πόλεως, οὐδεὶς ἐκείνων ἐπιστρέφεται, οὐδ' εἰδέναι βούλεται τὸ παράπαν, οὔτ' εἴτις Ἀλέξανδρος ὑπὲρ αὐτῶν Ἑλένην ἥρπασεν, οὔτ' εἴ τινες πόλεμον προσβαλοῦσιν ἀντὶ τούτων Ἰλίῳ, ὑμεῖς δὲ ὑπὲρ τούτων οὕτω διακείμενοι, παροξύνεσθαι φήσετε· μωρία ταῦτα, καὶ οὐδὲν ὑγιές. Χωρὶς δὲ τούτων, εἰ μέν ἐστιν ἐφ' ὑμῖν μέχρι παντὸς παροινεῖν, δίκαιον μὲν οὐδαμῶς, χρῆσθε δὲ, εἰ βούλεσθε τούτῳ. εἰ δὲ μείζων ὁ φόβος τῆς ἐξουσίας, καὶ τὸ προσκαθήμενον στρατόπεδον οὐκ ἐᾷ τρυφᾶν, τί ἄν τις ληροίη περὶ τῆς Εὐρώπης, τῶν ὅπλων οὐκ ἐόντων μυθολογεῖν; Καὶ γὰρ εἰ μὲν ἤρκει τοῖς Ἕλλησι ταῦτα ἀκούσασι τὴν ταχίστην

ἀποπλεῖν, εἶχεν ἂν ἴσως τι χρηστὸν ἡ περὶ ταῦτα διαξιβή. εἰ δὲ δυοῖν θάτερον, ἢ διὰ τῆς Ἑλένης ὑμᾶς πρίασθαι τὴν ἀσφάλειαν, ἢ τῶν ἀλλοτρίων ἐπιθυμοῦντας ὑπὲρ τῶν οἰκείων κινδυνεύειν, λάβετε λογισμὸν περὶ τῆς πρεσβείας ὀρθόν. τίς δὲ οὗτός ἐστι; μὴ μᾶλλον ὑπὲρ τῶν ἀπεσταλκότων, ἢ ὑμῶν τῶν δεξαμένων νομίζειν αὐτὴν γεγενῆσθαι, μηδὲ ἀποστερῆσθαι τινὸς ὑπολαμβάνειν, εἰ τὴν Ἑλένην ἡμεῖς ἀπολήψόμεθα. ἀλλὰ τὰ μέγιστα ἡγεῖσθαι κερδαίνειν, εἰ τὴν Ἑλένην λαβόντες, ἀρκεῖν ἡγησόμεθα. Εἰ μὲν γάρ ἐστί τις ὑμῖν ἐγγυητὴς Θεῶν, καὶ τοῦτο οἱ μαίτεις ὑπισχνοῦνται σαφῶς, ὡς εἰ τὸ πρᾶγμα εἰς πόλεμον προβαίη, καὶ τοῖς ὅπλοις τὴν κρίσιν ἐπιτρέψαιμεν, ἧττα μὲν τοῖς ἠδικημένοις ἀπόκειται, τὰ δὲ τῆς τύχης μεθ' ὑμῶν τῶν ἠδικηκότων στήσεται, οὐκ ἂν παραινέσαιμεν ὑμῖν μὴ χρήσασθαι τοσαύτῃ πλεονεξίᾳ. εἰ δὲ τὸ μέλλον ἀκριβῶς μὲν οὐκ ἔστι προϊδεῖν, τοῖς δὲ λογισμοῖς ἀκολουθῶν τις, οὐκ ἂν εὕροι χαλεπῶς ὁποτέροις μένει τὸ τοῦ πολέμου κράτος, ἐξετάσατε παρ' ὑμῖν αὐτοῖς, ποτέρως ἂν ὑμῖν ἔχοι καλῶς· πότερον, εἰ μετὰ τοῦ τῆς Ἑλένης ὕστερον στέρεσθαι, καὶ τὴν πόλιν προσαποβάλοιτε, ἢ εἰ τὴν Ἑλένην ὑπὲρ τῶν ὅλων ἀποδοίητε. Εἶτά μέ τις ἐρωτᾷ· τί οὖν, ἐξὸν ὑμῖν τῶν ἡμετέρων κρατῆσαι, φείδεσθε τῶν δυσμενῶν; ὅτι νῦν οὐ κακὸν ποιήσοντες ἑτέρους ἥκομεν, ἀλλ' ἄγε ἀφῃρέθημεν κομιούμενοι, ὧν τε ἠδικήμεθα δίκας ἄνευ ὅπλων προσληψόμενοι. οὔκουν ἀξιοῦμεν, πρὶν ἢ καὶ χωρὶς πραγμάτων τευξόμεθα τῶν δικαίων, εἰδέναι πόλεμον ἐπιφέρειν, τοῖς χωρὶς ἀνάγκης ἴσως ἄν τι βουλευσαμένοις μέτριον. Ἵν' οὖν μὴ δῶμεν ἀφορμὴν τοῖς ἐπιθυμοῦσι βλασφημεῖν, ὡς οὐχ ἡ τῆς ὕβρεως ὀργὴ τὴν στρατείαν παρεσκεύασεν, ἀλλ' ὁ πλοῦτος τῆς Πριάμου πόλεως, πᾶσι βουλόμεθα καταστῆσαι σαφὲς καὶ Θεῷ καὶ ἀνθρώποις, ὅτι καὶ Μενέλεῳ καὶ πᾶσιν ἡμῖν ἀποχρήσει κατὰ πολλὴν ἡσυχίαν τῶν δικαίων τυχεῖν. Ὑπὲρ μὲν οὖν τούτων

πλείω

πλείω λέγειν οὐκ οἴομαι δεῖν, οὐ γὰρ ἐνδεῶς εἰρῆσθαι δοκῶ. ἐπαίνειμι δὲ ὅθεν ἐξέβαν. Ἅπασι μὲν ἀνθρώποις, ὦ Τρῶες, εἰρήνη μὲν καλὸν, πόλεμος δὲ δυστυχές. καὶ τῆς μὲν ἀνθεκτέον, τὸν δὲ φευκτέον, ὡς ἐκείνης μὲν ὀρθούσης τὰς πόλεις, τούτου δὲ καταστρέφειν εἰωθότος. καὶ τὴν μὲν ἄξιον καὶ παροῦσαν φυλάττειν, καὶ ἀποῦσαν ὅπως ἔσται ζητεῖν· τὸν δὲ καὶ ἐπικείμενον λύειν, καὶ προσδοκώμενον, ὅπως μὴ γενήσεται, προνοεῖν. Ἁπάντων δὲ ἀνθρώπων εἰκότως ἂν ταύτην περὶ αὐτῶν ἐχόντων τὴν κρίσιν, ὑμῖν πολὺ πλέον τῶν ἄλλων φροντιστέον, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τοῖς πᾶσιν ἀγαθοῖς ἀνθοῦσαν οἰκεῖτε πόλιν, καὶ λόγος πάντων πεφοίτηκεν, εὐδαιμονέστατον ἀνθρώπων εἶναι Πρίαμον, καὶ αὐτὸν, καὶ τοὺς ἀρχομένους. ὅσοις μὲν γὰρ τῶν ἀνθρώπων οὐκ εὖ τὰ πράγματα ἔστηκε, τούτους μὲν οὐδὲν ἀπεικὸς, ἑτοίμους ἐπὶ τὸ πολεμεῖν χωρεῖν. ἢ γὰρ κρατήσαντες, ἀλλοτρίων ἀγαθῶν ἐγένοντο δεσπόται, ἢ σφαλέντες, οὐκ ἐν μεγίστοις ἐζημιώθησαν. ὑμῖν δὲ, καὶ τοῖς ἐγγύτατα ὑμῖν εὐδαιμονίας ἥκουσι, πολλῆς δεῖ τῆς βουλῆς, εἰ πόλεμον πρὸ εἰρήνης αἱρετέον. μᾶλλον δὲ οὐδὲ βουλεύσασθαι τοῖς οὕτως ἔχουσιν ἄξιον. εἰ μὴ βουλῆς δεῖσθαι φήσουσιν εἰς τὸ μαθεῖν, πότερον ἡ τῶν ὑπαρχόντων ἀπόλαυσις, ἄμεινον, ἢ τούτων ἐστερῆσθαι. Ἐξετάσωμεν, ὦ Τρῶες, τὰ παρόντα ὑμῖν ἀγαθὰ, τοῖς χαλεποῖς ἐκείνοις παραβάλλοντες. δεῖ δὲ οὐδὲν εὐλαβεῖσθαι τὸ βλάσφημον τοῦ λόγου· ἃ γὰρ ἐφ' ὑμῖν ἐστιν ἢ παθεῖν, ἢ μὴ, τί ἂν τὴν τούτων ἀκοὴν δυσχεραίνοιτε; ἆρ' οὖν ἴσον, ἢ παραπλήσιον, ἔξω κινδύνων ἐν εὐπαθείᾳ διάγειν, ἢ μεθ' ὅπλων ἐν αἵματι; καὶ χρηστὰς ἐλπίδας ἔχειν περὶ τῶν συγγενῶν, ἢ τὴν παροῦσαν ἡμέραι, ἀεὶ τελευταίαν ἡγεῖσθαι; καὶ καλεῖν συμμάχους, ὧν οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἥξουσιν, οἱ δὲ ἄκοντες ἐλθόντες, ἐθελοκακήσουσιν ἐπὶ τῆς χρείας; Ἐκεῖνο δὲ ἴσον, ἢ προσόμοιον, εὐφημίας, ἢ μίσους παρὰ τῶν περιοίκων τυγχάνειν;

οὐκ

οὐκ ἴστε ὅτι ναῦ μὲν ἅπαντες ὑμῖν καὶ τοῖς ὑμετέροις πράγμασι συνεύχονται τὰ βελτίω, εἰ δὲ ὁ πόλεμος ἐμπέσοι, πρῶτοι τῶν ἀνιαρῶν αἰσθήσονται, περιπλεόντων ἡμῶν καὶ λῃζομένων τὸ προστυχὸν, καὶ τὰς μὲν τῶν πόλεων περικοπτόντων, τὰς δὲ ἄρδην ἐξαιρούντων, καὶ μήτε θάλατταν μήτ' ἤπειρον τὴν ὑμῖν ὅμορον ἔξω τῶν κακῶν ἀφιέντων; Οἱ δὲ τοιαῦτα δι' ὑμᾶς ὑπομένοντες, ὦ πρὸς Θεῶν, ἔσθ' ὅπως ἂν ὑμῖν ἔχοιεν εὐμενῶς; τί δέ ἐστιν ὅπερ οὐκ ἂν ὑμῶν κατεύξαιντο, τῶν σωμάτων αὐτοῖς εἰς θάνατον καὶ δουλείαν δι' ὑμᾶς μεριζομένων; οὐκοῦν πρὶν ἀποσπᾶσθαι ἡμᾶς, τοῖς ἀστυγείτοσι πολεμίοις χρήσεσθε. καίτοι τί τῶν ἐν ἀνθρώποις ἀντάξιον τῆς τοσαύτης δυσμενείας; Τὰ κελευόμενα, ἡμᾶς ἄρα δεῖ ποιεῖν, ἐρεῖ τις, ὥσπερ οὐκ εἰδότας ὅτι μηδαμῶς εἴκειν τοῖς πολεμίοις ἀνδρῶν ἐστιν; Ἡμεῖς δὲ τὸ μὲν ἀφίστασθαι τῶν οἰκείων τοῖς πλεονεκτεῖν ἐπιχειροῦσι φόβῳ τῶν κινδύνων, αἰσχρὸν ἡγούμεθα, καὶ τοῦτο ἔργῳ δεδηλώκαμεν. ὅπως γὰρ μηδεὶς Ἑλλήνων τῶν ὑπαρχόντων στεροῖτο, μήτε καταγελάσειαν τῶν πεπονθότων οἱ δεδρακότες, πελάγη μὲν οὕτω μακρὰ διεβάλλομεν, τιμιωτέραν δὲ τὴν τῶν λελυπηκότων τιμωρίαν τῆς μετὰ τῶν φιλτάτων διατριβῆς πεποιήμεθα· γνώμη δὲ αὕτη ἐνίκησεν, ἢ λαβεῖν ταῦθ' ὑπὲρ ὧν ἥκομεν, ἢ μαχομένους πεσεῖν. Τοῖς μὲν οὖν ὑπὲρ τῶν τοιούτων ἀγωνιεῖσθαι μέλλουσι, τὸ μὴ τολμᾶν πολεμεῖν, δειλίας αἰτίαν ἔχει. εἰ δέ τινες ἃ μὴ καλῶς ἔλαβον, ἀποδοῦναι δέον, πολεμεῖν μᾶλλον αἱροῖντο, οὐκ ἀνδρείας οὗτοί γε δόξαν, ἀλλ' ἐμπληξίας λαμβάνουσι. καὶ τοσοῦτον ἀπέχουσι τοῦ δοκεῖν τι βεβουλεῦσθαι λαμπρὸν, ὥστε διπλοῦν φέρονται τὸ ὄνειδος, ἐκ μὲν ὧν τὴν ἀρχὴν ἠδίκησαν, πονηρίας, ἐκ δὲ ὧν ἐπὶ πολλῷ κατέχουσιν, ἀναισθησίας. οὐ γὰρ ἐν τῷ πολεμεῖν ἁπλῶς τὸ τῆς εὐκλείας προσγίνεται, ἀλλ' αἱ τῶν πολέμων προφάσεις ἢ καλοὺς αὐτοὺς εἶναι δοκεῖν ποιοῦσιν, ἢ μὴ τοιούτους. τῆς γὰρ αὐτῆς ἀτοπίας, δειλίᾳ τε κατα-

προ-

πραδῶναι τὸ δίκαιον, καὶ θρασύνεται τὸν ὑπὲρ τῆς ἐκ προσηκόντων ἀπαράσκαθαι κίνδυνον. Εἰ μὲν οὖν μὴ παθόντες ἡμεῖς κακῶς, μήδ' ἐπ' ἐγκλήμασι δικαίοις κεκινημένοι, μηδὲ τὰ οἰκεῖα ἀπίζοντες, ἀλλὰ τῆς ἀλλοτρίων ἐπιθυμοῦντες, ἅπαν πολλῷ καὶ μεγάλῳ στρατιᾷ αὐτοστράτους, ἢ βοᾶς ἀπιλαυνόμενοι, ἢ παρεπεμνόμεθα γοῦν, ἢ τῆς ἐντὸς τείχους χθονὸς ἐζητοῦμεν τὸ μέρος, εἶθ' ὑμεῖς ὑπεκύπτετε, ῥᾳδίως ἀγαπῶντες εἴτις ἐάσει ζῆν, πάνυ ἂν ὑμῶν ἐμεμψάμεθα τὴν ἄγαν ἀπραγμοσύνην. εἰ δὲ τὰ μὴ ὑμέτερα βουλόμεθα ἂν ὑμῖν ἀκέραια μένειν, αὐτοὶ δὲ ὑπὲρ ὧν ἀφηρέθημεν, ἥκομεν, οὐχ ὁρῶμεν ὅπῃ τινα ὑμῖν ἔξει λαμπρότητι τὸ πολέμιον πρᾶγμα· οὐδὲ γὰρ εὐσφόρα πρόδηλον ἐστίν, ὡς ἡ τύχη μεθ' ὑμῶν ἀξιοπαθήσεται, οὐκ ἂν ἐν ἐσθ' ὑγιαινόντων, ὑπὲρ τοιούτων κινδυνεύειν ἄθλων, ὧν τὸ μὴ ἁμαρτεῖν δαίμονος, τὸ δὲ τυχεῖν εὐτυχές. τὰ γὰρ ἀδίκως κτηθέντα βέλτιον ἀποθέσθαι μᾶλλον, ἢ ἀεὶ τέλως κατέχειν, καὶ οὐκ ἀναλογίζεσθαι δυνάμενοι μετὰ τῶν προσθεῖσαι χρημάτων πλῆθος, ἥδιστ' ἂν ἀπαλλαγεῖεν τοσαύτης συμφορᾶς. Καίτοι καλὸν ὑπὲρ τοιούτων ἀγωνίζεσθαι τοῖς σώμασιν, ἃ καὶ εἰ μηδὲν εἶεν αἱ ἀπαιτοῦντες, εἶχε καλῶς ἐκβαλεῖν. ἀτοσὶ δὲ σκοπῶμεν ἐν βραχεῖ. Κάλλιστον εἶναι κτημάτων τὸν Ἕλενόν ἐν Ἰλίῳ κεῖνε; οὐκ οἶμαί γε τοὺς σώφρονας. οὐκ ὄν ἂν μὲν ἀποδῶτε τοῦτο, οὐκ ἔξετε ᾧ παρόντι δυσχεραίνετε· ἂν δὲ πολεμεῖν ἕλησθε, κρατηθέντες μὲν, μετὰ τοῦ πόλιν ἀποβαλεῖν, οὐδὲ ἐκεῖνον ἕξετε· νικήσαντες δὲ, κεκινδυνευκότες ἄνητε, ὑπὲρ ὧν οὐ χρήζετε. Εἰ δὲ δεῖ μηδὲν ὑποσκελίζοντα λέγειν, τοῦτο μόνον ἁπάντων πραγμάτων πρόδηλον ἔχει τὸν τελευτῶν, ὁπότερον ἔσται τὸ κράτος. μαντείας μὲν οὖν, καὶ φήμας, καὶ Θεοῦ σημεῖα, καὶ τὰ φοιβαζόντων ἐν τῇ συλλογῇ τοῦ στρατοῦ, καὶ ὅσα τοιαῦτα παρίημι, μή τις ἀλαζονείαν αὐτιάσηται τῷ λόγῳ. ἀλλὰ τίς οὐκ οἶδεν ὅτι δύο ταῦτα μάλιστα

τῆς ἀγωνιζομένοις νικᾶν τίκλυν φέρει. σὺ μὲν, τὸ τῆς τρο-
πάιας ὑπερβάλλον, ἕτερον δὲ τῆν κρειττόνων ἡ συμμαχία
Πότερον ἂν, ὦ Τρῶες, εἶναι νομίζετε πρόσοιπον, ἢ δίκην
ἢ νέμεσιν ἀφροσύνην τε ἀνθρώπινα; καὶ τὰς μὲν χρησὰ
ἐπαινεῖν, τοῖς δὲ πονηροῖς ὀργίζεσθαι; ἢ τοῖς μὲν ἀποδιδό-
ναι χάριν, ἀδίκως δὲ τῆν, ἀποστρέφεσθαι δίκην; ἔστι ταῦ-
τα, ὦ Τρῶες, ἔστιν ἢ ἤ; ἔστιν, εἴτε βούλεταί τις εἴτε μή. τι
δέ; οἷς αὐ ἐθέλουσι, ταῦτα πρόσεστιν ἀνάγκη; κἀκῖν ἐ-
τέτη ἄλλον, ὅτι καὶν εἰκομιδῆ τινας ἀριθμῆτας Μενέλεως
ἀγείρας ἐστράτευσεν, ἔδει τὰ τῆς νίκης εἶναι τῶ τὸ δίκαιο
ἔχοντος συμμαχον. Τοσαύτης δὲ ὔσης τῆς ἀδικῆ τῆν κρειτ-
τόνων ἐπικρείας, ποσῆτον συνερρύηκε πλῆθος, ὥστε μη
δενὰ λόγον τῆς ἀκριβείας ἐφικνεῖσθαι. πολλᾶ δὴ χρόνα διελ-
θόντος ἀφ' ἧ τὰν γᾶν αὐθρωποι νέμονται, καὶ πολέμων συ-
χνῶν πολλῶν, τῆν μὲν πρὸς ὁμόρες, τῆν δὲ ἐπὶ τῆς ὑπε-
ρορίας, κἀδεὶς ἔτ' ἐώραχεν, ἔτε ἀκήκοεν ὕπο πολλῶ κίνησι
τῆς Ἕλλησι γεγονυῖαν. ἔτε δὴ ναῦς, ἔτε ἵππος, ἢ
ἀνὴρ ὅπλα φέρων δυνάμενος, καὶ ἄρχων, καὶ ἰδιώτης, ἢ
πεζός, ἢ φιλὸς ἀπολέλειπτο τᾶ σόλᾳ, ἀλλὰ πάντες πα-
νταχόθεν ἀνήχθησαν. ὕπω πολὺς ἔρως τοῖς Ἕλλησιν ἐνέπε-
σεν ὑπὲρ τῆ δικαίων μάχεσθαι. Καὶ τίς ἂν ἐξαριθμήσαι
το τὰς καθ' ἕκαστον, ὅπως γε ἢ τᾶς ἑκάστων Βασιλέας, καὶ
ἀρχερέας; ἀλλ' ἐν κεφαλαίῳ λέγω· πᾶσα μὲν ἦκεν ἡ Βοιω-
τία, πᾶσα δὲ ἡ Πελοπόννησος, Ἄργος, Πελασγικὸν ὁ
πᾶσαν ἐχόμενοι. ὅτι τᾶτοις Εὔβοια, Κρήτη, Κεφαλλωία,
Σαλαμὶς, Ἀθῆναι, πολλοὶ μὲν Ἠπειρῶται, πολλοὶ δὲ
ἀπὸ τῆ νήσων· ἢ τῆ ἀρχόντων, οἱ μὲν ἀνδρεία νικῶσιν, οἱ
δὲ σωφροσύνει κρατῶσι, πᾶσι δὲ τοῖς, ἀμφοτέρων ἡ κτῆσις,
ἢ τὰς αὐτὰς ὄρκοις τις ἂν ἢ συμβαλοῦσαι δεινᾶς, ἢ πολεμῆ-
σαι κρατίστας. οἴεσθε δέ τινα ἢ σοφὸν εἶναι παρ' αὐτοῖς, ἢ
δὲ βούλεταί τις ἢ πανοῦργον ἱκανὸν τὰ μὲν ἐν τᾶ φανερᾶ κα-

τερ-

περγάσασθαι, τὰ δὲ κλέψαι λανθάνοντα. Ἀλλὰ καὶ παρ' ἡμῖν, φασί τινες, εἰσὶν ἄνδρες ἀγαθοὶ, καὶ συμμάχους οὐκ ὀλίγους κεκλήκαμεν, μεθ' ὧν διοίσομεν τὸν πόλεμον. Ἔστι μὲν οὖν ὁ πρὸς ταῦτα λόγος φορτικώτερος. οὔτε γὰρ ἑαυτὸν ἐπαινεῖν τινα νοῦν ἔχειν ἡγοῦμαι, τό, τε ἑτέρους κακίζειν προχείρως, μικροψυχίας ἄν τινος εἴη. δεῖ δὲ ὅμως χρήσασθαι παρρησίᾳ· τοὺς δὲ λόγους τῆς ἀνάγκης νομιστέον. Ὡς μὲν οὖν ἰσχὺς κράτιστον ἐν πολέμῳ, καὶ ὡς εὐβουλία μεῖζον ἰσχύει χειρῶν πολλάκις, καὶ ὡς χειρῶν μάλιστα δεῖται πόλεμος, καὶ ὡς ταῦτα πάντα παρ' ἡμῖν μετὰ πολλοῦ τοῦ κρείττονος, ἐάσω. Ἀλλ' ἐκεῖνο ἂν ἐροίμην ἡδέως ὑμᾶς, πότερον νοῦν ἔχοντας κεκλήκατε συμμάχους, ἢ οὔ; εἰ μὲν οὖν ἐμπλήκτους καὶ τετυφωμένους, εὐχῆς ἂν εἴη τοῖς τοιούτοις προσπολεμεῖν· εἰ δὲ σώφρονας καὶ λογίζεσθαι δυναμένους, πῶς ὑπακούσονται καλούντων, εἰδότες ὡς ὑπὲρ τῶν ἀδίκων μαχοῦνται; καὶ ὅπως κύρια ταῦτα καταστήσωσιν, ὧν εἴπερ φρονοῦσι, κατηγοροῦσι; Δύω γὰρ ἅπαντας ἀνθρώπους ἐπὶ τοὺς πολέμους παρακαλεῖν πέφυκεν, ἢ τὸ προειδέναι τὴν ῥοπὴν ἐφ' ἑαυτοῖς ἥξουσαν, ἢ τὸ τὴν ὑπόθεσιν εἶναι τῶν κινδύνων θαυμαστήν. καὶ νῦν μὲν τὸ κέρδος διώκοντες, νῦν δὲ τὴν φιλοτιμίαν θηρεύοντες, ἀξιόχρεως προφάσεις ὑποκεῖσθαι τῷ πολέμῳ νομίζουσι. τούτων δὲ οὐδέτερον ὁ παρὼν τοῖς γε μεθ' ὑμῶν ἑπομένοις προδείκνυσι πόλεμος· ὥστε ἢ τὴν ἀρχὴν οὐχ ὑπακούσονται νοῦν ἔχοντες, ἢ τῇ παρουσίᾳ τὴν ἄνοιαν ἐπιδείξουσι. Χωρὶς δὲ τούτων ἡμεῖς μὲν ἀθρόοι συντεταγμένοι κατήρκαμεν, καὶ τοῖς Βασιλεῦσι τὰ τῶν συμμάχων οὐκ ἐν ἐλπίσιν ἐστίν· ἀλλὰ τοσούτους ἦλθον ἄγοντες, ὥστε εἰ Τροίας μόνης ἀποπειρᾶσθαι δεήσειε, πολλοὺς ἂν οὐκ ἔχειν εἰς ὅ, τι χρήσαιντο σφίσιν αὐτοῖς, μικροτέρου τοῦ ἔργου καθεστῶτος τῆς τῶν ἐπελθόντων χειρός. ὑμῖν δὲ, εἴ τινες ἄρα καὶ βοηθοῖεν, οἱ μὲν θᾶττον ἴσως, οἱ δὲ σχολαιότερον ἥξουσιν, ὅσον ἕτερος ἑτέρου κατὰ τὸν τόπον ἀφέστηκε, τοσοῦ-

τον ὑστερίζων μετὰ τὸν χρόνον. Ἂν οὖν ὑμεῖς μὲν ἀντιτείνην πρὸς τὴν πρεσβείαν, οἱ δὲ βοηθήσοντες ὑμῖν μελήσωσι τοῖς Ἕλλησι δὲ λοιπὸν ἢ τὰ ὅπλα πρὸς ἁρπαγὴν, ἆρα κατόπιν, εἰ καὶ δυσχερὲς εἰπεῖν, τῶν πραγμάτων παρέσονται, καὶ τοῦ καιροῦ τῆς ὠφελείας παρελθόντος, ἐπὶ τὴν τῶν συμφορῶν ἀφίξονται θέαν; Οὐ γὰρ δὴ ταύτην παρ' ἡμῶν ἐπαγγέλλεσθε τὴν χάριν, οὐδέ γε πέμψαντες κήρυκας ἐκεῖνα ἐρεῖτε. ὅτι, ὦ βέλτιστοι, τί ἐπείγεσθε; ἀναμείνατε Λυκίους ἡμῖν, καὶ Παίονας ἐλθεῖν, ὥστε καὶ ἡμᾶς ἔχειν μεθ' ὅσων παραταξόμεθα. Ἀλλὰ πάντα ἀφίημι ταῦτα, καὶ θῶμεν, ἢ πάντας ἤδη παρεῖναι τοὺς ὑπηκόους ὑμῖν, ἢ καθεδεῖσθαι τοὺς Ἕλληνας ἀργοῦντας, ἕως ἂν ἀπορήσωσιν ἀντιπάλων. Ἥξουσι πολλοὶ πολλαχόθεν συνδιασώσοντες Ἴλιον; οὐκοῦν τὸ μὲν πλῆθος ἴσον ἀμφοῖν, εἰδοκεῖ, λογισώμεθα, τὰς δ' ἀρετὰς παραλλήλους θέντες, ἐξετάσωμεν. εἰ δὲ ὑπερβολῇ προσήκει κεχρῆσθαι, δεδόσθω μήτ' Ἀχιλλέως, μήτ' Αἴαντος ἑκατέρου, μήτε Διομήδους, μήτ' Ἰδομενέως, μήτε Τεύκρου, μήτε Σθενέλου, μήτε Μενεσθέως (ἐμαυτὸν γὰρ, καὶ τοὺς Βασιλεῖς ἀφήσω, καὶ πολλοὺς καὶ ἄλλους καλοὺς κἀγαθοὺς στρατηγοὺς) δεδόσθω νῦν μηδενὸς εἶναι τούτων φαυλοτέρους ἐκείνους, οἷς φατὲ πιστεύειν εἰς τὴν νίκην. ταῦτα κοινὰ θέντες, τὴν ἀνάγκην σκεψώμεθα, μεθ' ἧς ἑκάτεροι τῶν ἔργων ἁψόμεθα. Οὐκοῦν ἐκείνους μὲν ἄγει παράκλησις, καὶ δέησις, καὶ τὸ βούλεσθαι Πριάμῳ χαρίζεσθαι. ἡμῖν δὲ τὸ μὲν βούλεσθαι χαρίζεσθαι τοῖς Ἀτρείδαις, τοῦτο κοινὸν πρὸς ἐκείνους ἐστί. πρόσεστι δέ γε καὶ τὸ τῶν ὑπηκόων δίκαιον. ἐκείνοις μὲν γὰρ ἔξεστιν ὅσον βούλονται χαρισαμένοις, μηκέτι τοῦ λοιποῦ πρὸς ἀνάγκην ταλαιπωρεῖσθαι, ὥστε καὶ τῆς ἐπικουρίας καὶ τῆς ἀναχωρήσεως ὅρος αὐτοῖς ἡ γνώμη. ἡμῖν δὲ ἡ προαίρεσις οὐχ ἕξει μεταβολήν. βεβαιοῦται γὰρ τῇ τῶν Βασιλέων ἀνάγκῃ. Ἔστι δέ τι καὶ τούτου μεῖζον· πολλῷ γὰρ βελτίοσι

τῶν

τῶν Ἀτρειδῶν Βασιλεῦσι καὶ ἰσχυροτέροις ὁμολογίαν δεδώκαμεν, ἢ μὴν ἐκπολιορκήσειν τοὺς ἀδικοῦντας τὸν Ἑλένῃ συνοικοῦντα. καὶ οὐδ' ἂν εἰ σφόδρα βουλοίμεθα, προκαταλῦσαι τὴν προθυμίαν ἡμῖν ἀκίνδυνον. τί δὲ τοῦτό ἐστιν; Ἔτι νέας οὔσης Ἑλένης κομιδῇ, ἀνεῖπεν ὁ Θεὸς, ἔσεσθαί τινα περὶ τὸ γυναῖον ταραχήν. Ὡς οὖν πολλοὶ πολλαχόθεν οἱ κράτιστοι συνῆλθον μνηστεύοντες, ἔδοξεν, ἔτι ἀδήλου τοῦ μέλλοντος ὄντος, πίστιν ποιήσασθαι καὶ ὅρκους ἰσχυροὺς, ἢ μὴν ἀποτυγχάνοντας, βοηθήσειν τῷ ληψομένῳ κατὰ τῶν ἀδικούντων. ᾤετο γὰρ ἕκαστος, ἐν μετεώρῳ τοῦ πράγματος ὄντος, αὐτῷ ταύτην ἀποτίθεσθαι τὴν ὠφέλειαν. Καὶ νῦν ἡμᾶς ἐπὶ τὴν στρατείαν ἤγειρεν ὁ Ζεὺς, ὁ Ἀπόλλων, καὶ πάντες οἱ Θεοί. καὶ λιπεῖν τὴν τάξιν οὐκ ἔστιν, εἰ μήτις μέλλοι τὰς τῶν βαρβάρων χεῖρας φεύγων, περιπεσεῖσθαι ταῖς τῶν Θεῶν, καὶ τὰ ὅπλα δεδιὼς, πολεμήσειν τοῖς κρείττοσιν. Ἆρα ὑμῖν δοκεῖ Πρίαμος παραπλησίους στρατιώτας συλλέγειν, καὶ τὴν αὐτὴν ἔχοντας τοῦ μέχρι παντὸς κινδυνεύειν ἀνάγκην; οὐ γὰρ ἄδηλον, ὅτι κἂν τὸ τυχὸν ἀντικρούσῃ, ταχέως μνήσονται τῆς οἰκίας, οὐδενὸς ὄντος, ὃ φοβερωτέραν ποιήσει τὴν ἀναχώρησιν τῆς μονῆς. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ τὸ μένοντας ἀποθνήσκειν, μετριώτερον φαίνεται, τοῦ μετ' ἐπιορκίας σώζεσθαι. Φέρε δὴ καὶ τὰ λοιπὰ σκοπήσωμεν, καὶ ὅπως εἰς ἄνισον πόλεμον ἐμβαλεῖν ἐπιθυμεῖτε. Οὐκοῦν ἡμῖν μὲν παῖδες, καὶ γυναῖκες, καὶ τὰ ἄλλα ἀγαθὰ πόρρωπου τυγχάνει κείμενα ἐπὶ τῆς Ἑλλάδος ἐν σκέπῃ τοῦ πολέμου, κἂν, ὃ μὴ γένοιτο, σφαλῆναι συμβαίη, τῆς χείρονος οὐ μεθέξουσι τύχης, ἀλλ' ἐν τοῖς ἡμετέροις σώμασιν ὁ κίνδυνος ἵσταται. εἰ δὲ ὑμεῖς τι πταίσετε, τοῖς ὅλοις ἐπταικότες ἂν εἴητε, καὶ δεῖ συνυποκεῖσθαι τοῖς ἀποβαίνουσι τὸ τῆς πόλεως ἔδαφος. Καί τοι τίς οὕτω σφόδρα μεγαλόψυχος, ὅστις ἂν ὑπὲρ οὕτως ἀνομοίων ἄθλων ἀναρρίψειε

τὸν κῦβον, μέλλων, εἰ μὲν κρατήσειεν, οὐδὲ μικρὸν κερδανεῖν, εἰ δὲ σφαλείη, τοῦ παντὸς στερήσεσθαι; Εἴτι τοίνυν τὴν ἡμετέραν χώραν οὐδείς ἐστιν ὁ ποιήσων κακῶς, ἡ δὲ ὑμετέρα στρατόπεδον ἡμῖν γενήσεται, καὶ τὴν τροφὴν πορεύμεν ἀπὸ τῶν ὑμετέρων καρπῶν καὶ βοσκημάτων. καὶ διχῇ δεήσει δαπανᾶσθαι τὸ Ἴλιον, τῶν μὲν συμμάχων αἰτούντων, τῶν δὲ πολεμίων ἁρπαζόντων· καὶ τῶν μὲν οἰκειότητος ὀνόματι λαμβανόντων, τῶν δὲ πολέμου νόμῳ ληϊζομένων. Καὶ μὴν οὐδὲ ἐκεῖνο παραπλήσιον. εἰ γὰρ μεθ' ὑμῶν τὸ δαιμόνιον γένοιτο, καὶ τὰ πράγματα ἡμῖν εἰς ἔσχατον προβαίη κακοῦ, πρόχειρον καθελκύσασι τὰς ναῦς, ἔξω γενέσθαι τῶν δεινῶν, καὶ πρὸς βραχὺ τῷ καιρῷ παραχωρήσαντας, αὖθις ἐπιπλεῖν, ἡνίκα βέλτιον. εἰ δὲ ἐφ' ὑμῶν τὸ αὐτὸ συμβαίνοι, τίς ὑμῶν ἔσται πόρος; τίς μηχανὴ τῆς ἀκαιρίας ἰσχυροτέρα; οὐ γὰρ δὴ τὴν πόλιν γε μεθορμιεῖτε πρὸς τὸ ἀσφαλές. ἀλλ' ἐγὼ μὲν εἰπεῖν οὐ βούλομαι, τοῦ δὲ πράγματος ἡ τελευτὴ καταφαίνεται. Οἱ μὲν λογισμοὶ ταῦτα καὶ πολλὰ τοιαῦτα παριστῶσιν, ὦ Τρῶες· ἔστι δ' ἐφ' ὑμῶν ὁποτέραν βούλεσθε τραπέσθαι· βέλτιον δὲ ἐκείνην, ἀφ' ἧς ὕστερον ὑμᾶς αὐτοὺς ἐπαινέσεσθε. Καὶ γὰρ εἰ μὲν ἅπαντες (ἐρῶ γὰρ, εἰ καὶ φορτικώτερον ἀκοῦσαι) συνῳκεῖτε τῇ ἀνθρώπῳ, τάχ' ἂν εἶχε συγγνώμην, κοινὴν ἡδονὴν ὠνήσασθαι κινδύνου· εἰ δὲ τοῦτο οὐκ ἔνεστιν, οὐδ' ἂν γένοιτό ποτε, τίς ἡ πολλὴ πρόνοια τῆς Ἀλεξάνδρου τρυφῆς; Ὅτι νὴ Δία κρατοῦσιν, ὑπουργεῖν ἄξιον. κἂν παρανομῶσιν, ὦ Τρῶες; κἂν ἀποσφάττωσι τοὺς ἀρχομένους; κἂν παῖδας, κἂν γυναῖκας ἀνδραποδίζωνται; κἂν πυρπολῶσι τὴν πόλιν; ταῦτα τοίνυν Ἀλέξανδρος ἐπενήνοχεν Ἰλίῳ. ὁ γὰρ τὴν ἀνάγκην παρεσχηκὼς τοῦ ταῦτα ποιεῖν ἑτέροις, οὗτος ἂν αὐτόχειρ νομίζοιτο τούτων, ὧν καθέστηκεν αἴτιος. Εἶτα Βασιλέα τοῦτον προσερεῖ τις, οὐ φρονῶν, τὸν οὐ καταλιπόντα ὧν βασιλεύσει; Οὐκ

οἰ-

οἶσθα ὅτι τὸ τῆς ἀρχῆς ὄνομα τοῦ κρείττονός ἐστι; καὶ τοῦτό ἐστι Βασιλεὺς (εἰ μὴ τὴν προσηγορίαν ἀρνεῖται τοῖς ἔργοις) εὐδαιμονίας πρύτανις, δικαιοσύνης κανὼν, τῶν ἀρίστων παράδειγμα. ὁ δὲ χείρω τῶν ὑπηκόων παρέχων ἑαυτὸν, εἰκότως ἂν ἀφεὶς τὴν βασιλείαν, εἰς τοὺς ἀρχομένους τάττοιτο. Οὐ καλῶ κυβερνήτην ἐγὼ, τὸν καταδύοντα τὸ σκάφος, οὗ τοὺς οἴακας ἐπιστεύθη, οὐδὲ τὸν ἐν οἷς ἐπιτηδεύει, δεικνύντα τοῖς ναύταις, ὡς ἀμελητέον ἤδη τοῦ πλοίου, οὐδέ γε τὸν, ἃ μηδεὶς τῶν ναυτῶν πλημμελεῖ, περὶ ταῦθ' ἑκόντα ποιηρὸν ὄντα. Ἀλέξανδρος τοίνυν ἄρχειν ἀξιῶν τῶν ἄλλων Τρώων, ἃ μηδεὶς τῶν ἀρχομένων ἐτόλμησε, ταῦτα ἑαυτῷ προσήκειν ἡγήσατο. Ἔοικα δὲ τηνάλλως μακρολογεῖν, ἕτοιμον ὂν ἐπιστομίσαι τὸν ταῦτα προφασιζόμενον. νῦν γὰρ οὔτ' Ἀλέξανδρος, οὔθ' Ἕλενος, οὔτε Δηΐφοβος, οὔτ' ἄλλος οὐδεὶς τῶν Πριάμου παίδων κρατεῖ τῶν ὑμετέρων πραγμάτων, ἀλλὰ Πρίαμος αὐτός. καὶ τοῦτο οὐκ ἀκοῇ μόνον ἐστὶν εἰδέναι, ἀλλὰ καὶ τοῖς ὁρωμένοις δῆλον καθίσταται, καὶ χωρὶς τούτων, τοῖς ἁπάντων νενομισμένοις. ταῦτα δέ ἐστι τί; τὸ τοὺς παῖδας τοῦ Βασιλέως, περιόντος μὲν αὐτοῖς τοῦ πατρὸς ἰδιωτεύειν, ἀπελθόντος δὲ, εἰς τὴν ἐκείνου τάξιν παριέναι τὸν πρεσβύτατον, ἄλλως τε εἰ καὶ δεινὸς εἴη χρήσασθαι πράγμασιν· ἅπερ ἀμφότερα τὸ σκῆπτρον εἰς Ἕκτορα περιάξειν ἔοικε. τοσοῦτον ἀπέχει τοῦ νῦν Ἀλέξανδρον βασιλεύειν, ὥστε οὐδὲ ἐν ἐλπίσιν ἐστὶ τοῦ πράγματος. ὥστε ζῶντος μὲν καὶ ὄντος Πριάμου, οὐδεὶς τῶν ἐκείνου παίδων Βασιλεὺς κληθήσεται; τελευτήσαντος δὲ, Ἕκτορ γίνεται τῆς ἀρχῆς τοῦ πατρὸς κληρονόμος. Οἶδα δὲ, ὡς εἰ καὶ Πρίαμος οἷάπερ Ἀλέξανδρος ἠσέλγαινεν, ἠσέλγαινε δὲ ἐπ' ὀλέθρῳ τῆς πόλεως, οὐκ ἂν ἠνέσχεσθε τῆς ἀκολασίας ἐκείνου, τὴν δίκην αὐτοὶ διδόντες· ἀλλ' ἔσχετ' ἂν εἰπεῖν πρὸς αὐτὸν μέτριά τε καὶ δίκαια; καὶ αὐτῷ πεισθῆναι

συμφέροντα· ὦ Βασιλεῦ, ἡμεῖς μὲν ἑαυτοὺς ἡμᾶς ἐπιδώσαμέν σοι, καὶ τῷ ὅλων παραγμάτων, οὐκ ὅπως τὸ κακῶς ὑφ' σοῦ πάσχειν, ἀλλ' ὅπως τὸ, κἂν εἴ τις ἕτερος τολμήσῃ, διακωλύειν. ὡδ' ἵνα μὴ δυσπάθειαν δοκῶμεν τῇ Βασιλείᾳ, ἀλλὰ τὴν ὑπάρχουσαν δαιμονίαν ἐπιτεινῆς τῇ παροιστρᾳ. σὺ δὲ οὐκ εἰς καλὸν ἔοικας δοκολαύειν τῷ δοθεντί σοι, οὐδὲ πὰς ἐλπίδας ἡμῖν βεβαιοῦν, ἀλλ' ἃ μηδεὶς ἂν ἤλπισε, πότερος δυνήσεται, καὶ δύο τὰ χείρονα ἐργάζεσθαι. σαυτὸν μὲν γὰρ πονηρότατον ἀποφαίνεις, ἐν ὧν δ' αὐτὸς ἀδικεῖς, πότερος ἡμᾶς δοκολλύεις. Ταῦτα καὶ ὑμᾶς ἂν οἶμαι καὶ Πείσανδρον αἰσχυνθῆναι, καὶ δικαίως ποιήσασθαι τὴν αὐτῶν ῥᾳθυμίαν τῆς τῶν ἄλλων σωτηρίας. μὴ τοίνυν ἃ τὸν Βασιλέα τολμῶντα ποιεῖν ἐκωλύετ' ἄν, ταῦτα τοῖς ὕπω τοσοῦτον ἰσχύουσιν ἐπιβάλητε. μηδὲ εἰς τοσοῦτον συγχέητε τὰ πράγματα, ὥστε Βασιλέα γε νομίζειν, τὸν μὲν ἔχοντα τὴν ἀρχὴν, καὶ πλείω τύπῳ παρέχειν ἐξουσίαν, ἢ παρ' οἷς ἐστὶ τὸ κρατεῖν. Οἶμαι τοίνυν ἐρεῖν τινας, ὡς ἐκεῖνος συμμαχεῖσθαι μὲν ἡμῖν, καὶ ὅτ' Ἀλέξανδρος ἠδίκει, Μενέλεώ τε πραγματοδέστερός ἐστι τῷ προσήκοντος, τὴν δικαίαν ἀμυνῶσθαι ἀξιῶν. ἔστι δὲ πρόχειρον μὲν εἰπεῖν, ὡς Ἀλέξανδρος μὲν ἀδικεῖ, τὴν ἐβουλόμην ἀπολωλέναι ἁρπάσας· Μενέλεως δὲ τὸ προσήκοντα ποιεῖ, τὴν ἔκδικον ἀπειλῆσαι ἀξιῶν ἔχειν. Ἀλλ' ἵνα μὴ ἀπέρωντος ὁ λόγος εἴη, δεδόσθω βεβουλημένην ἀκολουθῆσαι. ἔκειτο, ἐξαπατήσαντος Ἀλέξανδρος, τὴν ἐποίησεν. ἃ δ' ὁτέρου γε ἂν δικαίου τοιοῦτον εἰργασμένου φαίνεται. Ἔστιν δ' Ἀλεξάνδρῳ καὶ τὸ ἀδίκημα. καὶ πολύ γε δεινότερον, τὸ πεῖσαι φθονεῖσθαι φυλλίδι τὸ πρὸς ἀνάγκην καταιχθῆναι. ἡ μὲν γὰρ βιασθεῖσα τὸ μὲν σῶμα ὕβρεισται, τὴν δὲ γνώμην οὐ διέφθαρται, καὶ πρόσεστι μισεῖν τὸν ἀνάγκην ἐπεισαγόντα. ἡ δὲ πεισθεῖσα θαυμάζειν ἃ φθονεῖν ἄξιον, συνεπείληπται τῷ ἀδικημάτων, καὶ γέγονε πο-

μη-

νημας κοινωνὸς, καὶ οὐδ' ἂν ἐπανόρθωσις εἴη τῷ πράγματι, διεφθαρμένου τοῦ τρόπου. οὕτω κατ' ἀμφότερα Ἀλέξανδρος ἀδικῶν, καὶ θατέρῳ πονηρότερος δείκνυται. Ὑπερβολῇ δ' ἔγωγε χρήσομαι. ἀλλ' ἐκείνη μὴ βουλόμενον ἠνώχλησε. καλῶς. ἔδει τοίνυν ἐπιχεῖν ἁμαρτάνουσαν, ἀλλ' οὐ συλλαβεῖν ἀδίκως, καὶ ταύτην ἀντιδοῦναι τῷ ξενίσαντι τὴν χάριν, τὸ συμπράττειν εἰς ἃ μὴ προσῆκε τῇ γυναικί. οὐ γὰρ ἡ κοινωνία τῶν ἀδικημάτων ἐν τοῖς τοιούτοις ἐξαιρεῖται τὸν μεταχόντα, τῆς μέμψεως, ἀλλ' εἰς ταυτὸν τίθησι τῷ παρακεκληκότι τὸν ὑπακούσαντα, καὶ τοσοῦτον αὐτῷ νέμει τῶν αἰτιῶν, ὅσον καὶ τῶν ἔργων μέτεστιν. ὁ τοίνυν λόγος ὁ τοιοῦτος οὐ τοῦτον ποιεῖ καθαρὸν ἐγκλημάτων, ἀλλ' ἐκείνην συνδεβάλλει. οὐδὲ Ἀλέξανδρος μετριώτερος, εἰ καὶ τὸ γυναῖον ἐν αἰτίᾳ. Ἀλλὰ μὴν πρός γε τὸν φάσκοντα θαυμάζειν, εἰ μὴ αἰσχύνοιτο Μενέλεως, Ἑλένην ἀπολαμβάνειν ἐπιχειρῶν, ἐκεῖνο λέγω· ἡμῖν, ὦ Τρῶες, μελήσει τῆς ἡμετέρας αὐτῶν δόξης. ὑμῖν δὲ τῆς ὑμετέρας αὐτῶν φροντιστέον. θαυμάζω δὲ, εἰ τὸ μὲν ἡμῖν τὰ οἰκεῖα κομίζεσθαι ζητεῖν αἰσχρὸν, ὑμῖν δὲ τὸ τῶν οὐ προσηκόντων ἀμφισβητεῖν, καλόν. καὶ Μενέλεως μὲν Ἑλένῃ συνοικῶν, γέλωτα καὶ χλευασμὸν οἴσει, Ἀλέξανδρος δὲ κρείττων ἔσται κατηγορίας, πάντα ἐκείνην ἡγούμενος· πάντων δὲ ἀτοπώτατον, ἣν ἑκοῦσαν φατὲ τοῖς χειρίστοις ἐπιδραμεῖν, ὑπὲρ ταύτης ἀποθνήσκειν ἐπιθυμεῖν. Τίς δ' ἂν εἰδείη τίποτε χρήσεται τῇ γυναικὶ εἴτ' ἐπὶ τιμωρίᾳ λαβεῖν βούλεται, εἴτ' ἀποσφάξαι, εἴτε καταποντίσαι, εἴτε συνειδὼς αὐτὴν παρὰ γνώμην ἡρπαγμένην, τοῦ πεποιηκότος, ἀλλ' οὐ τῆς παθούσης τ' ἀδίκημα κρινεῖ. τί ἂν τις περιεργάζοιτο ταῦτα, περὶ ὧν ἀφεῖναι δεῖ δοκιμάζειν τὸν κύριον; Ἤδη τοίνυν τινὸς ἤκουσα τὸν Ἀλέξανδρον ἐπαινοῦντος, ὅτι βούλεται γυναικὶ συνοικεῖν καὶ νέμει καὶ κάλλει διαφερούσῃ. τοῦτο δὲ κα-

πηγορία μεγίστη τῷ ἀπατεῶνός ἐστιν. εἰ δὲ σεμνόν τι τοῦτο, καὶ πολλῆς εὐδαιμονίας γέμον, καὶ ζηλωτὸν δοῦναι κεκλῆσθαι τὸν Ἑλένῃ συνοικοῦντα, μεγίστων ἀγαθῶν δοκεῖ ὁ Μενέλεως ἐστέρησθαι, καὶ ὧν πάντων εὐδαιμόνων ἐστί, τούτων ἀπόντων ἐστὶν ἀθλιώτατος. ὥστε ὁ λέγων τοῦτο, ἡμῖν μὲν ἀλόγου τινὸς στρατεύειν ἀποφαίνει, τῷ δ' ἀπολογίαν Ἀλεξάνδρου ποιεῖσθαι φαίνεται. εἰ μὲν γὰρ εὐδοξος ἄξιον Ἑλένῃ, τὸ κινδυνεύειν ὑπὲρ τούτης εὔπιθες. εἰ δὲ πλείστων καὶ τῶν παντὸς, μετ' ὑπερβολῆς ἀδικήκατε. ὥστε ἢ μικρὸν τὸ κτῆμα νομίζοντες καθεῖξατε, ἢ μέγιστον κεκτῆσθαι ἀποδώσετε. τὸ μὲν γὰρ μέσον, τὸ δὲ ἄδικον· εἰ δὲ ὅτου ἐκάστῳ ποθεῖται λογισμός, καὶ τοῦ πλησίον γυναῖκας σκεπτόμεθα, καὶ τὰς ἀφέντας, ἡμῶν αὐτῶν εἶναι μᾶλλον, ἢ καὶ ἐχόντων βουλησόμεθα, ὁρᾶτε, ὦ Τρῶες, μὴ καὶ πρὸς ἀλλήλους τοῦτο πάθητε, καὶ τὸ νόσημα πάσας ἀπέλθῃ τὰς πόλεις, καὶ ποινὸν ἔθος παρ' ὑμῶν ὁρμηθῇ. Θαυμάζεις τινὰ παῖδα τὸν Διός; ἀλλ' ἔστι δίδωσιν αὐτινὰ ἡ τύχη, ἀλλ' ὃς ἅπαντων ἀνθρώπων κινδυνεύει ποιεῖται Μενέλεων. τοῦτ' ἔστιν ὁ κλῆρος, ἡ γνώμη τοῦ Διὸς, τοῦτον αἱρεῖται, τούτῳ τὸ θυγάτριον ἐγγυᾷ. Πάντων δὲ χειλιώτατα, ὅτι πάντες ἁπλῶς οἱ τότε μνηστεύοντες ἔστερξαν τὴν τύχην, καὶ τοῦ δικαίου τινὰ αὐτῷ ἰσχὺν ἂν ἠξίωσαν προσθεῖναι, ὁ δὲ μηδὲ μνηστεύειν τολμήσας, πλέον ἔχει τοῦ λαχόντος. Ἀλλ' ἵνα μὴ τοῖς λόγοις τὸν χρόνον, μηδὲ τὸ στρατόπεδον τοιοῦτον ἐν ἀργίᾳ καθίζηται, παρέξεως ὑπεύθυμον, τοσοῦτον εἰπὼν, ὑμῶν ἀπαλλάξομαι. κατέχοντες μὲν Ἑλένην πολεμηθήσεσθε, δόντων δὲ ὑμῶν αὐτινὰ καὶ δίκας, ἀφέξόμεθα. καὶ νικᾶν ἐφ' ὑμῖν ἔστιν, ἢ ζῆν ἀδόξως, ἢ κινδυνεύειν. Δότε δὴ ἡμῖν ἤδη τὰς ἀποκρίσεις, καὶ τινὰ παχίστην ἀποστόμωτε. ὡς ἤγαγε πάντας μὲν, μάλιστα δὲ τὸν Ἀχιλέα, καὶ τὸν Αἴαντα, ζηλωτὴν μὲν ἡγεῖσθαι πεποιῆσθαι τὸν μέλλοντα. καὶ νικᾶν μετέωρον εἶναι

τὸ

τὸ στρατόπεδον, εἴς τε τὰ ὅπλα ἀποβλέπον, καὶ τὴν ἀκολουθίαν ἀναμφίλογον. Εὖ δὲ ὅπως ἂν ὡς τὸ τῆς παρόσβεως ἀπρακτον, προθήκη σοὶ τοῖς ἀγωνάκτησιν τοῖς ἀπεσταλκόσι καθίσεται. ὁ γὰρ ὅπλα κατὰ τῶν ἀδικηκότας χρησάμενος, ἐπειδὰν ὑπερφρονηθεὶς τύχῃ, χαλεπώτερος γίνεται τοῖς ἀπ' ἀρχῆς εἰς χεῖρας ἰόντων, σοὶ δὲ τοῖς ἀδικήμασιν ὑπὸ τῆς ὕβρεως κινήμασι. Καὶ νῦν ἐπὶ μὲν ἀπὸ τῶν δυσχερῶν ἠρξάμεθα, καὶ τῇ ἀποβάσει τὸ ἔργον ἠκολούθησε, πάλαι αὖ ὕστερον διομένοις ἀσοκλῶν ὑποδώσαμεν, καὶ τὰς ἐχούσας ζαχέως, ῥᾷστον ἂν ἐν ἀπαντῆσαι. ἐπὶ δὲ διελέχθημεν τοῖς ἀνθρώποις, ἐπ' αἱρέσεως κύριοι κατέστησαν. εἰ δ' ἄκοντες ἐπεισάσαντο τὰ χείρω, Ἀλεξάνδρε τὸ πονηρόμενα γίγονεν, ἡ δὲ πόλις ἐσωσθήκατε. καὶ πολλὰ ἂν ἐν ἀπαντῆσαι τὴν ὀργὴν εἰς φιλανθρωπίαν. Νυνὶ δὲ τίς ἂν ὕστερον διριθείη λόγος μέτριος, δι' ὃν κατεσθίετε τὸν πόλεμον, εἰ μὴ νῦν ἐθελήσετε; Ἄνθρωποι τοσοῦτοι τὸ πλῆθος, καὶ τοιοῦτοι τὰς ἀρετὰς, ἐγκαλεῖν ἔχοντες τὰ μέγιστα, ὅπλα ἐν ταῖς χερσὶ φέροντες, ἐφεστηκότες τῇ τῆς λελυπηκότων γῇ, σαφῶς εἰδότες ὡς εἰ μὴ τὰ πρῶτα τῶν ἀδικημάτων ὑπερφῆς τύχοι, φανεῖται ταχέως καὶ τὰ δεύτερα, ὅμως κατέχουσιν ἑαυτὰς, καὶ νικῶσι τῇ πρόσπτι τὸν θυμὸν, καὶ παρέχουσι τοῖς ἠδικηκόσιν ἀφορμὴν εἰς σωτηρίαν. ὧν ἓν ὑμεῖς μὴ δίχησθε τὸ ἔρημον, μηδὲ ἁρπάζητε τὴν δωρεὰν, ἀλλ' ἀποστρέφησθε τὴν δυτυχίαν, εἶτα παίσαντες ὕστερον, πάνυ ἐτοίμως συγχωρεῖν ἥτε, ὧν καὶ πολλοστὸν μέρος ἤρκει τὴν πρώτην, μήτε τὴν δεσποτῶν, μήτε τὴν πόλιν ὑμῖν ἀπόλυσθαι. ἆρ' ἂν ἀναχέσθαι νομίζητε, τὰς ἐγγὺς ὄντας ἤδη τὴν πόλιν ἔχειν; Ταῦτ' ἂν ἐνθυμηθέντες καὶ φοβηθέντες τὴν ἡδονὴν Ἀλεξάνδρε, τὸν φθόνον τῶν τῆ ἄστεος, τὰς νεὼς, καὶ τὰ δημοσίων οἰκοδομημάτων, κατασκευὰς ἰδίας, δυποιείας, πλοῦτον, ῥᾳστώνην, γεωργίας, παῖδας, γυναῖκας,

γυναῖκας, τὰ παρόντα ἀγαθὰ, τὰς μελλούσας ἐλπίδας, ἐμαπίσατε ὑμᾶς αὐτὰς γε, εἰ ποτέρων ἀξίων πείσθαι τὴν παρὰ Ἀλέξανδρον χάριν. Εἰ δὲ ὑμῖν, μέλισσα πάντων ἀνθρώπων, οἰκείοις σωφρονίζεσθαι παραδείγμασι, καὶ τὸ γιγνόμενον κερδαίνειν ἀπὸ τῆς συμφορᾶς. τοῦτο δὲ ὄφελε, τῇ πείρᾳ τῇ παραλαβόντων, τὸ μὴ τοῖς αὐτοῖς παραπεσεῖν ἐπιδεῖσθαι φυλάττεσθαι. τίς γὰρ ἂν οἶδεν, ὅτι Λαομέδοντι ἀγανακτοῦσιν παρὸς Ἡρακλέα χαλεπάνοντος, καὶ ὧν μὴ ἐδεήθη τυχεῖν, ἃ δὲ ὑπῆρχεν δίκαιον εἶναι παρεῖναι, πολέμου καὶ κακῶν ἐπειρᾶτο; καὶ ἡ πόλις ἔκειτο, καὶ χρήματα ἦγετο, καὶ σώματα ἤλκετο, ἃ τῶν ἀποκλυμένων οἱ λειπόμενοι δυσχερέστεροι, τῇ τῶν δεινῶν αἰσθήσει τῶν ἀπελθόντων πλουσιώτεροι. Τοῦτο μέντοι τὸ δεινὸν καὶ Φοινικῶδες, Πέρσου σοὶ παραιτέτω, καὶ μὴ βαλλέσθω πολλὰ τοιαῦτα ποιεῖν παραδείγματα, μηδὲ ῥᾳθυμότερον ἔχέτω περὶ τὴν πόλιν ἡ κυβερνήτης περὶ τὸ σκάφος. Ἐκεῖνοι τοὺς ὑφάλους, εἰς ἃ προσβαλόντας ξώσασι τὸ πλοῖον, ὅπη τῆς δόξης ὠφελίας φυλάττονται. καὶ γίγνεται τὸ πρότερον πάθος, σωτηρία πρὸς τὰ δόξαντα. ὑμᾶς δὲ, εἰ μηδ' ἐξ ὧν πεπείρασθε σωφρονίσετε, πάνυ ἂν ἅπαντα δυσχεῖς. Καίτοι, τί ποτ' ἔπαθεν ἐπεστράτευσε τότε; ἐξ ἀνδρῶν Ἡρακλῆς ἐδέήθη πρὸς τὴν ἄλωσιν Ἰλίου. τὰ δὲ νῦν εἰς ἐπίδειξιν μᾶλλον, ἢ χρείαν παρεσκεύασται, χιλίαις ναυσὶ πελαγῶν καλυπτομένων, καὶ τῆς γῆς οὐκ ἀποχρώσης. Καὶ μὴν καὶ τὸ ἀδίκημα μετριώτερον τῶν Λαομέδοντος, τῶν νῦν τετολμημένων. πολὺ γὰρ ἔλαττον, οἶμαι, δικαίου δέον, μὴ βαλλθῆναι, ἢ τὰ μὴ προσήκοντα μηδαμόθεν ἁρπάσαντα ἔχειν. ὃ δὲ φανεῖται τοσούτῳ χείρων ὁ Τελαμώνιος Αἴας τῶν παρόντων, τῶν σωθέντος Ἡρακλεῖ Τροίαν, ὡς' ἐκείνου σπουδασθέντος ἐπ' ἐλάττοσιν, αὐτὸς ἐφ' ὅτῳ μείζοσι μὴ μιμήσασθαι τὸν χρόνον. Τὸ πάντων δὲ χαλεπώτατον, εἰ Θησέως μὲν αὐτὴν

τὴν

τὴν παλμίσωνος λαβεῖν, νέαν ἅσαν νομιδῆ, καὶ βελόμενον γυναῖκα ποιήσασθαι, πρὸς τὸ μηδενὰ λυπεῖν (ἐ γὰρ σωφρονεῖν ἐδοκεῖ) ἔδει μὲν κινεῖσθαι τὴν Πελοπόννησον, ἔδει δὲ πολέμου τὴν Ἀττικὴν ἐμπίπλασθαι, καὶ πὰς Ἀφίδνας πορθεῖσθαι, καὶ πάλιν Ἑλενίου δὴ Λακεδαίμονος εἶναι· καὶ δ' ἀλλοφύλων παῖς εἰργασμένων μ' γαμον, ὦ Ζεῦ, καὶ παῖδα, καὶ πῶ, ὅσον ἐστὶν ἐν ἡμῖν, μὴ πρὸς τιμωρίαν ζητῆσαι. Οἶμαι δὲ ἐ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐτῷ καλῶς ἔχειν Ἀλεξάνδρῳ πείθεσθαι. νικᾶ μὲν γὰρ τὰ σεσωσμένα τὴν πόλιν, δόξαν λαμπρὰν. ἐὰν δὲ καὶ φιλονεικῶν πέρα τοῦ δέοντος ἐπάγῃ τὰ δυσχερῆ, ὀκνεῖδη μὲν ὅσα ἀμύσσεται, σιωπῶ. ἀλλὰ καὶ συμφοραὶ δεινὰι παροξυνῶσι καὶ καὶ τῶν οἰκείων τὰς ἀναιμωλύσεις, ἄπω τοῖς μὲν ἄλλοις, ὁ πρὸς τὰς ἔξω πολεμίους μόνος ἐστὶν ἀγών· τοῦτο δὲ καὶ πρὸς ἐκείνους, καὶ πρὸς τὰς οἰκείας καὶ τὸ τῆς ἀξίας ἐν ὀπλίτῃ. παῦσαι ἐγὼ, ὦ Τρῶες, πρὸς ὑμᾶς διεξελθεῖν, ἵνα πολλὴν τὴν ὑπεικείαν πρὸς δείξαντες, μὴ τῆς ἀγαθῆς τύχης ἀπαμεθα καὶ ἅπλων, εἰ τῶν ὑμῖν ἀρέσκοι.

ΛΙΒΑΝΙΟΥ ΜΕΛΕΤΗ ΤΡΙΤΗ.

Ἔχων τις γυναῖκα, καὶ ὢν ὑπὸ πατρὶ, ἀπεδήμησεν. ἐγένετο ὑπὸ λῃσταῖς. ἔγραψε πρὸς τὸν πατέρα λυθῆναι διόμενος, ὁ δὲ οὐχ ὑπήκουσεν. ἡ γυνὴ ἀποδομένη τὰ ὄντα αὐτῆς ἔπλευσεν ἐπὶ τῷ λύσασθαι. ναυαγίῳ ἐχρήσατο. ἐξεβράσθη εἰς τὸν τόπον, ἐν ᾧ ἦν ὁ ἀνήρ. ἰδὼν ἐκεῖνος τὸ σῶμα, καὶ ἐπιγνοὺς, ἐδάκρυσε. γνόντες δὲ οἱ λῃσταὶ τὴν αἰτίαν, ἀφῆκαν αὐτόν. ἐπανελθὼν ἀναγκάζεται ὑπὸ τοῦ πατρὸς γαμεῖν, καὶ μὴ βουλόμενος ἀποκηρύττεται.

Οὔπω κόρον ἔοικεν ὁ δαίμων, ὦ Δικασταὶ, τῶν εἰς ἐμὲ κακῶν εἰληφέναι, καὶ ταῦτα οὕτω συχνῶν καὶ μεγάλων γεγενημένων· ἐγὼ μὲν γὰρ ᾤμην πέρας εἶναί μοι τῶν δυσχερῶν τὴν ἐπάνοδον, εὑρίσκω δὲ τὴν τύχην (ἄμεινον γὰρ ἐκείνην ἀντὶ τοῦ πατρὸς λέγειν) ἐπηρεάζουσαν ἔτι. Τὸ μὲν μετὰ τὸν πλοῦν τὸν ἐπάρατον ἐκεῖνον, καὶ τοὺς λῃστὰς, καὶ τὴν τῆς ἀθλίας γυναικὸς τελευτὴν, ἔτι καὶ τῶν οἴκοι πειρᾶσθαι δυσκόλων, οὐκ οἶδα εἴ τινι κατέλιπε μείζω στενάξαι. Ἀλλ' εἰ μὲν οἱ δυστυχοῦντες ἀδικεῖν νομίζονται, καί τινες ἀνθρώπων οὕτως ἀτόπως ἔχουσιν, ἀνάγκη σιωπῇ φέρειν τὴν ζημίαν. οὐδὲ γὰρ εἰπόντι μοι πλέον οὐδέν. εἰ δὲ χωρὶς μὲν τὰ πονηρεύματα, χωρὶς δὲ τὰ δυστυχήματα, καὶ τοὺς μὲν μισοῦμεν, τοὺς δὲ ἐλεεῖν εἰώθαμεν, οἶμαι (ξὺν Θεοῖς εἰπεῖν) τόν τε πατέρα τῆς ὀργῆς παύσειν, ὑμᾶς τε διδάξειν, ὡς οὐκ ἄξιός εἰμι ταῦτα παθεῖν, ἐφ' οἷς εἰσῆγμαι. τὸ μὲν οὖν προσῆκον ἦν, ὦ Ἄνδρες, πενθεῖν με νῦν ἐγκεκαλυμμένον, καὶ θρηνεῖν συνεχῶς τὸ γυναῖον, καὶ τὸν πατέρα τουτονὶ τὸν χρηστὸν, εἰ μὲν ἐβούλετο κοινωνοῖν μοι

τῶν

τῶν δακρύων, εἰ δὲ μὴ τοῦτο, ἐπ' ἐμαυτόν με τὰς ἐμὰς συμφορὰς ὀδύρεσθαι. ἐπεὶ δὲ οὐκ οἶδα τί γνοὺς, μελανειμονοῦντά με ἕλκει εἰς δικαστήριον, τὸν δὲ τῶν θρήνων καιρὸν ἀγῶνος ποιεῖται, δέομαι ὑμῶν καὶ ἱκετεύω μὴ συνδραμεῖν τῷ πάθει τῶν ἀδίκως ἀγανακτούντων, ἀλλ' εἰς ὅσον ἔξεστιν ἐπανορθώσασθαι, καὶ μὴ περιϊδεῖν τοῦτον μὲν ἔρημον γιγνόμενον, ἐμὲ δὲ ἐξελαυνόμενον ἐπὶ τῷ δοκεῖν ἀδικεῖν, ὃ καὶ μάλιστα δέδοικα. ὡς τὸ μὲν παθεῖν τι δεινὸν, μέτριον ἔμοιγε καὶ καινὸν οὐδὲν, τὸ δὲ προσεῖναι τινὰ φαυλότητος αἰτίαν, τοῦτο ἂν εἴη τοῖς σωφρονοῦσιν ἀφόρητον. Πλεονεκτεῖ μὲν οὖν ὁ διώκων αὐτῷ τούτῳ, τῷ πατὴρ εἶναι, καὶ πᾶν ὅ, τι φθέγξηται τῇ τῆς προσηγορίας προσθήκῃ δίκαιον φαίνεται. παῖς δὲ φεύγων καὶ κρινόμενος, ἂν μὲν ὑποστείληται, καὶ τὸν ἐφεστηκότα κατήγορον αἰδεσθεὶς ὑπερβῇ τι τῶν ἰσχυρῶν, ἑάλωκεν. ἂν δ' οἴηται δεῖν ἑαυτῷ βοηθεῖν, αὐτῷ τούτῳ τῷ τὰ δίκαια λέγειν, θρασύνεσθαι δοκεῖ. Ἓν μὲν οὖν, ὦ Δικασταὶ, τοσοῦτον ἐλαττοῦμαι, ἕτερον δὲ οὐ μικρόν τι. ἀνάγκη γὰρ τῇ μνήμῃ τῶν γεγενημένων, καὶ μάλιστα δὴ τῆς γυναικὸς εἰς ταραχὴν ἐμπίπτοντα, τῶν λογισμῶν ἐκκρούεσθαι. ἂν οὖν τι τοιοῦτον συμβῇ, βοηθεῖτε τῷ κινδυνεύοντι, καὶ παρ' ὑμῶν αὐτῶν πληροῦτο τὰ ἐλλείματα. τὸ γὰρ τὰ εὔορκα ψηφίζεσθαι τοῦτό ἐστι, τοῖς πανταχόθεν φαινομένοις ἀκολουθεῖν, κἂν ὁ λέγων ἀδυνάτως ἔχει σώζειν ἑαυτόν. Ἐγὼ μὲν οὖν ἐβουλόμην, ὦ πάτερ, ἐν ἡμῖν αὐτοῖς ἑστάναι τὰ συμβεβηκότα, μηδὲ ἀνάγκην προσεῖναι τοῦ ταῦτα φέρειν εἰς μέσον. διατί; ὅτι οὐ πάντες ἡμῖν ἔχουσιν οἱ κατὰ τὴν πόλιν ἐπιτηδείως, ἀλλ' εἰσὶν οἳ καὶ μισοῦσιν. οὐδὲ γὰρ ἔνεστιν ἀνθρώπους ὄντας μὴ καὶ δυσχεραίνεσθαι. Τί οὖν τούτους εὐφραίνομεν τοῖς ἡμετέροις κακοῖς; τί τοῖς διαφόροις χαρίζῃ, τὰ τιμιώτατα τῶν σαυτοῦ περιελαυνῶν; πέπρακται τινὶ χαλεπά; σιωπάσθω ταῦτα. κέρδος λαθεῖν τοὺς πολλοὺς συμφορὰς γεγενημένας. ἐπεὶ δὲ οὐ συγχωρεῖς ἡσυ-

χά-

χάζειν ἐθέλοντι, ἀλλ' ἐν δικαστηρίῳ δεῖ με τραγῳδῆσαι τὰ πάθη τῆς οἰκίας, λέξω, καὶ διηγήσομαι, ἄκων μὲν, ἄκων, νὴ τοὺς Θεοὺς, ἐρῶ δὲ ὅσα ἂν οἷός τε ᾦ. Ἐγενόμην, ὦ Ἄνδρες, τούτῳ παῖς, δυστυχὴς μὲν ἄγαν, πονηρὸς δὲ οὐδαμῶς. τεκμήριον δὲ, οὐ γὰρ ἀπεκήρυξε πρότερον, οὐδὲ ἐπηνέγκεν αἰτίας, οὐ μικρὰς, οὐ μείζους, ἀλλ' ἔστεργεν, ἐπαίδευεν, ἐπῄνει, πολλάκις ηὔξατο τοῖς Θεοῖς φυλάττειν αὐτοῦ τὸν τοῦ κλήρου διάδοχον. ἐπεὶ δὲ ἐδόκει καιρὸς εἶναι γάμου, πρὸς ἐμὲ μνημονεύει, καὶ διηγεῖται τὸ γένος τῆς κόρης, τὴν σωφροσύνην, τὸν τρόπον, τοῦ σώματος τὴν ὥραν, πάντα οἷς αἔτις ἐπιπασθείη νοῦν ἔχων, καὶ τελευτῶν προσέθηκεν, εἰ μὴ κατὰ τὸ παρὸν ἁρμόσαιμι, μηκέτι παραπλήσιον γάμον ζητήσῃς. Ἐπείσθην. τί γὰρ οὐκ ἔμελλον τοσαῦτα ἀγαθὰ προσίεσθαι; καὶ νὴ Δία τὸν πατέρα τῆς προνοίας ἐθαύμασα. Τί δεῖ καθ' ἕκαστον λέγειν ὅσα παρ' ἡμέραν ἐξέφερε γυναικείας ἀρετῆς ἐπιδείγματα; ἐν γὰρ τὸ εἰς ἐμὴν διὰ χρημάτων ἀποπλεῦσαι ἐλευθερίαν, ὃ πᾶσιν ἐπέθηκε, γνώρισμα τῶν ὅλων γίνεται. Ὄντων οὖν ἡμῶν ἐν ἅπασι χρηστοῖς καὶ κουφιζόντων τὰ λυπηρὰ, καὶ συναυξόντων τὰ βελτίω, δαίμων πονηρὸς τῇ συζυγίᾳ φθονεῖ, καὶ περιίστησι τοσαύτην ἀποδημίας ἀνάγκην, ὅσην οὐκ ἦν διώσασθαι. καὶ γάρ τοι περὶ πολλοῦ μὲν ἐφαίνετο τῆς γυναικὸς ἀπολαύειν, ἔμπροσθεν δὲ ἐγίνετο τῆς ἐπιθυμίας ἡ χρεία. Καὶ τούτοις οὐκ ἀντερεῖς, ὦ πάτερ. εἰ γὰρ ἄλλως περιειργαζόμην, ἐξῆν κωλύειν. Οὔσης τοίνυν ἀνάγκης ἀπαίρειν, ἐμβὰς εἰς ὁλκάδα, καὶ παρὰ τοῦ Ποσειδῶνος αἰτήσας ἰδεῖν ποθ' ὕστερον τὸν πατέρα καὶ τὸ γυναῖον, ἀνηγόμην. Ὡς δὲ γῆν ἀποκρύψαντες, πέλαγος διεβάλλομεν, ὁρῶ πλοῖον ἐπιφερόμενον λῃστρικόν. οἱ δὲ καὶ δὴ πλησίον ἦσαν· καὶ παραχρῆμα μεστὸν τὸ κατάστρωμα τοξοτῶν, ὁπλιτῶν, ἀνδρῶν ἐκ κοίλης νηὸς ἀνιόντων. ὥστε μικρὸν ἦν αὐτοῖς ἔργον τὸ κρατεῖν. Αἱ μὲν οὖν προσ-

δο-

δοκίμω, θανάτου ὑπείλεν. οἱ λῃσαὶ δὲ ἀρέντως τῆς προσδοκίας ἐγκύοιτο. ἐφ' οἷς τότε μὲν αὐτοὺς ἠγασάμην, νυνὶ δὲ κατηγορεῖν προῆγμαι. Τί γὰρ ὦ κακῶς φιλανθρωπευόμενοι πρᾳότεροι τοῦ χήματος ἀπεδείχθητε; τί μὴ τοσαύτας ἀπέθεσθε συμφορᾶς; θρήνῳ γυναικὸς, παῖδὸς ὀργῇ, ψήφῳ δικαστῶν; Ἐπειδὴ τοίνυν ἁλοὺς, ἤλγυν τοῖς συμβᾶσι. δρασμὸν δ' οὐκ ἐβουλόμην, οὐδὲ παρεῖχον ὑποπτεύειν, οὐδὲ καθ' ὁντινοῦν τρόπον, ἀλλ' ἐφύλαττον ἐν ᾠδῇ τὴν δυσυχίαν τὴν γνώμην, ὑπανέμπτων πρὸς ἔλεον τὰς λῃσὰς λαμπρότερον. ἐν πάντι ἄλλα πάντα φιλανθρώπως ἐπεχρώτο μοι, καί ποτε γέροντο, εἰ πατήρ ἔστι μοι. Ἔστιν, ἔφην, ἐν χρηστὸς ἐν βέλτιστος, ἐν πάντα ἐλάττω τοῦ παιδὸς ἠγνόμην, ἐν νυνὶ ἀγνοεῖν ἔοικε τὴν συμφοράν, εἰ δ' ἐπισάμενος ἐτύγχανε, πάλαι ἂν ὑμᾶς ἐκέτευεν. Ἀλλὰ παρέσω, φασὶ, λύπα φέρων, καὶ πρὸς τὰς οἰκείας ἀνασώζει. Ἐκεῖνοι μὲν ταῦτα, τὰ δὲ ἑφεξῆς ἔπω, ἐν διηγήσομαι, ἐν ἐκ ὀργῆ. δεῖξον, ὦ πάτερ, τοῖς δικασταῖς τὴν ἀπιστολήν, εἴπε τίς ἐκείνῳ ἔπεμψε, ἐν πόθεν, ἐν τοῦ δούλιος; Καὶ ταῦτα δηλῆθον, ἐ βαλλόμενος (μή πέτοι ἄτων μανείω) ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας ἐνταῦθα ἐμπεπτωκώς. ἐπεὶ ὅτι γε κακοήθειαν ἐδεμίαν προσάγω τοῖς πεπραγμένοις, δῆλον ἐγγύθεν. αὐτὸς ἀπολογοῦμαι περὶ τῶν ἐλλελεγμένων. μηδεὶς λεγέτω τὸν πατέρα κακῶς, ἐ κατερράθυμησεν· ἐκ ὠλιγώρησε τοῦ παιδός. ἐ φειδεὶ τὴν φύσιν. ἀλλ' ἐκ ἠπόρησεν ἐρωτήσων· ἐκ ἦν ὅθεν ποιήσαιτο δώσισμα. ταῦτα αὐτὸς ἐμαυτὸν πέπεικα· ταῦτα ἐν τοὺς ἄλλους φρονεῖν ἀξιῶ. ἐν τὸν μὲν ἐκακίζω· τὴν γυναῖκα δὲ ἐπαινῶ. πάντως ἐν τοῦτο σόν, ὦ πάτερ, γίγνεται, δι' ὃν ἐκείνη σωφρόνησα. Πῶς ἐν τὸ γυναῖον; τοῦτ' ἐκεῖνο τὸ πάθος μὲ καταλαμβάνει, ἐν συγχεῖ τὸν λογισμόν. πειρατέον ἐν διελθεῖν ἄτως ὅπως ἂν ἐξῇ. Ἦν αὐτῇ νόσμος, ὦ Δικασταὶ, ἱμάτια, ἐν χρυσία, ἐλικτῆρες, ἐν ἀμ-

ἀμφιδέραι, καὶ τοιαῦτά τινα· ταῦτα ἀποδομένη, καὶ τῷ λύχνῳ ἀγείρασα τὸ μέγον, λαθοῦσα μὲν τὸν κύβδεβιν, μεμψαμένη δὲ ὕδον, ἐπβαίνει πεῶς, αὐτὴ προσπίκειτο ἡγησαμένη τὴν λύσιν. Καὶ πάλιν ἡ τύχη βελδίαι χαλεπώτερα. σκηπτοὶ γὰρ ἐξ ὑρανοῦ, καὶ ζάλη θαλάττης, καὶ τὸ κλυδώνιον ὑπερίσχε. καὶ τὸ σκάφος ἀθύς ὑποβρύχιον. Ἔδει ἄρα καὶ τελευτῆσαν τὸ γυναῖον λύσασθαί μέ τινα τρόπον. πνεῦμα καὶ ῥᾶς ἐπιῤῥύμβος ἐκφέρει τὸ σῶμα πρὸς τὴν ἠϊόνα, καὶ τὸν χῶρον ἐκεῖνον, ὃ δελδίων ἐτύγχανον. Ὡς δὲ κατεῖδον νεκρὸν ὑπὸ θαλάττης ἐκβεβλημένον, πορσιῶν καὶ μικρὸν γνωρίζω μὲν τῆς μορφῆς τὸν τύπον, ἐνθυμοῦμαι δὲ τῆς συμφορᾶς τὴν αἰτίαν, ἔξω δὲ ἐμαυτὸν ῥηγνύμενος, ὑπὸ τοῦ κακοῦ προσπεσὼν ἐκείμην, καὶ τὸ κῦμα ἐπεξιὸν ἀμφοτέρους κατεκλυζεν. Ἐκεῖνο τὸ πάθος, καὶ λησῶν ἐδάκρυσα φατρείαν, καὶ κατλιπόντα εἰς οἰμωγὰς πρὸς τὴν ὄψιν τοῦ δράματος, καὶ τὸν οἶκτον ἔδεξαν ἔργοις αὐτοῖς· ἃ δὴ προϊσχόμενοι ἐκείνῳ εὐσεβοῦσιν βελομένῳ, πᾶσι ἔδωκαν καὶ κεκμῆν. καὶ πρὸς ἐμὲ, ὡΐσω, φασὶν, ὦ κακόδαιμον. ἐπείγου πρὸς τοὺς οἰκείους. ἔδου σοι δεῖ χρημάτων. λῦσαί σε τῆς γυναικὸς ἡ τύχη. Τοιαῦτα ῥηθέντων λόγων, ῥίψασα μὲν ἐπικαταφάξαι τῷ σώματι ἐμαυτὸν, καὶ τῷ ἁμοιβῷ δοῦναι παρέπεσον. ἐννοήσας δὲ τὸν πατέρα καὶ τὴν ἡλικίαν, ἧκω τοῦτον μὲν γηροτροφήσων, αὐτὸς δὲ ἐν δάκρυσι βιωσόμενος. Ὁ δὲ αὖτε πάντων ἐκ ἐσκέψατο παραμυθίαν, ἐὰν μὴ τὸ γυναῖον συνεπαινέσαι τῆς λύπης ἀφεῖλεν. Ἀλλ' ἄρτι καταπεπλουτικὼς παραέπτομαι, καὶ φανεὶς ἀπροσδόκητος κεῖνον καὶ διεδέξατο δουλείαν καὶ σέρνειν γυναικὸς δικαστηρίᾳ φόβος. Ναίφησι. νόμος γὰρ ἔστι μοι, δικὴς τὴν ἀποκήρυξιν. ἐγὼ δὲ ἐρῶ τὸ προχειρότατον, ὡς ὁ νόμος ἔστος ἀπειλὴ μὲν ἔχει φιλῶ, τὸ δὲ ἔργον ἐ προσίθησιν. ἐπ' ὡς ὁ θεὸς αὐτὸν ὠκείωσεν μὲν τοῖς νέοις τὴν τιμωρίαν, προσκατέλιπεν μὲν θρασύτητα τῷ δίκῃ, τὴν δὲ φύ-

σιν

σιν οὐκ ἀνέχεται πρὸς αὐτὴν ἐκπολεμῶν. τοῦτο γὰρ ἂν ἦν οὐκ ἀνδρὸς ὁμονοοῦσαν τὴν πόλιν συνέχοντος, ἀλλ' ἐχθροῦ κοινοῦ δεσπᾷν τὰ γένη πειρωμένου. Ἀλλ' ἔστω, δεδόσθω. τοῖς γράμμασι προσέχωμεν μόνοις· μηδὲν ἐξεταζέσθω πλέον. Τί οὖν ἐν τῷ δοῦναι τὴν τῆς ἀποκηρύξεως ἐξουσίαν, καὶ πάντας εὐθὺς ἀποκηρύττειν δέδωκεν; οὐκ ἔστιν· ἀλλ' ὧν μὲν κατέγνωκε, τούτους μισεῖ, οἷς δὲ οὐδὲν ἐγκαλεῖ, τούτοις οὐδὲ διείλεκται. ἐπεί γε καὶ τὸν ἀνδροφόνον κρίνειν ἔξεστιν, ἀλλ' οὐ τόν γε τὴν χεῖρα καθαρὸν ἄξιον. οὕτω δὴ καὶ περὶ τούτων. οὐχ ἡ τῆς ἀποκηρύξεως ἐξουσία βλάπτει τοὺς ἐπιεικεῖς τῶν νέων, ἀλλ' οἱ μοχθηροὶ τῶν νέων ὑπὸ τὸν νόμον ἔρχονται. Εἰπὲ δὴ τὰ πλημμελήματα παρελθών; μεθύοντα λαβὼν ἀγανακτεῖς; ἐκπεφορηκότα τι τῶν ἔνδον; κυβεύοντα; πόρνην ἔχοντα; ἀλλ' εἰς σεαυτόν τι πεπαρῳνηκότα; κακῶς εἶπον; ἀναιδὲς ὑπέβλεψα; πληγὰς ἠπείλησα; ἠτιασάμην πρὸς τὸν πλησίον; σκαιὸν ἀπεκάλεσα καὶ τραχύν; ἀῤῥωστοῦντος κατημέλησα; ταῦτα ἐπίδειξον; καὶ μικρὰν ἡγοῦμαι δίκην τὴν ἀποκήρυξιν. Ἀλλὰ τούτων μὲν οὐδὲν, ὠμότητα δὲ προσηνέγκα τὰ περὶ τὴν ἐπιστολὴν διηγούμενος, ὡς ἐγὼ μὲν ἠντιβόλουν, σὺ δὲ διέπτυες; καὶ τίς τῶν πάντων ἀκήκοεν; οὐδὲ πρὸς τοὺς λῃστὰς ἔγωγε τοῦτο ἐξελάλησα. εἶεν. ἀλλ' ἔναγχος καταθάψας γυναῖκα χρηστὴν ἀναξίως ἀπολωλυῖαν, ἐπείγομαι πρὸς δεύτερον γάμον. καὶ τοῦτο ἐγκαλῶν ἀπελαύνεις; μὴ σύγε. μὴ μόνος ἀπέλαυνε. δημίου δεῖται τὸ πονήρευμα. ταῦτα οἴου παρὰ τοῦ νόμου νῦν ἀπαιτεῖσθαι. τί πέπρακται; τί τετόλμηται; Εἰ μὲν ἠδίκησε, λάμβανε δίκην, εἰ δὲ οὐδὲν πέπονθας, παῦσαι φιλονεικῶν. διὰ ταῦτα γάρ φησι, καθίζω δικαστήριον, ὑφορώμενος τὴν τῶν πατέρων ὀργὴν ἔξω πολλάκις τοῦ δικαίου φερομένην. Ἐπειδὴ τοίνυν τιμωρία τὸ γιγνόμενόν ἐστι, δειχθήτω πρὸ τῆς ζημίας τὰ κακουργήματα. Οὐ γὰρ ἐθέλεις, φησὶ, γαμεῖν. καὶ τίς τοῦτο νόμος εὐθύνει; τίς οὐ γαμῶν,

μῶν, ἀδικεῖν εἰσήχθη πώποτε; τίς ἔδωκε δίκην τοῦ τοιούτου βίου ἢ νῦν, ἢ πρότερον, ἢ παρ' ἡμῖν, ἢ παρὰ τοῖς προσχώροις, ἢ τὸ κοινὸν δὴ τοῦτο, παρ' ἕλλησιν; ἐγὼ μόνος, εἰπέ μοι, ταύτην ἤρημαι τὴν ὁδόν; παραδείγματα δὲ οὐκ ἂν ἔχοιμι λέγειν καὶ παλαιὰ καὶ νέα; πῶς οὖν οὐκ ἄτοπον τὰ μὲν αὐτὰ πολλοὺς ἐπιτηδεύειν, μόνον δὲ ἐξ ἁπάντων ἐμὲ κινδυνεύειν; καὶ τῶν ἔργων ἔχοντα κοινωνοὺς, τῆς ὀργῆς παρὰ τοὺς ἄλλους κληρονομεῖν; ἀλλ' οὔτε ἐκείνοις οὐδεὶς ἂν ἐγκαλέσειεν ὑγιαίνων οἶμαι, ἐγώ τε τοῖς αὐτοῖς δικαίοις ἀφεῖμαι. ἀμφοτέρων γὰρ δήπου κύριοι καθεστήκαμεν, καὶ τοῦ γαμεῖν ὁπότε κρεῖττον, καὶ τοῦ μὴ τοῦτο ποιεῖν, ὁπότ' ἄμεινον. ὥσπερ οὖν τοῖς ἐκεῖνο τιμῶσιν οὐκ ἔχει κίνδυνον ἡ προαίρεσις, οὕτω καὶ τοῖς τοῦτο προαιρουμένοις, ἀθῷον εἶναι δεῖ τὴν γνώμην. ὅλως δὲ τάτε ἀδικήματα, καὶ τὰ μὴ, τῷ τὰ μὲν κεκωλῦσθαι, τὰ δὲ μὴ, δοκιμάζεται. Πρὸς ἐκεῖνο τοίνυν ἀναφέροντες κρίνωμεν. οὐ γὰρ νομοθετήσοντες ἤλθομεν, ὦ πάτερ, τήμερον, ἀλλὰ τοῖς κειμένοις ἑψόμενοι. ἀπόκριναι δήμοι· διὰ τί τὸ κλέπτειν ἀδικεῖν νομίζομεν; ὅτι, φαίης ἂν, γέγραπται μὴ δεῖν ὑφαιρεῖσθαι. καὶ περὶ τῶν προδοτῶν τοίνυν ὁ αὐτὸς λόγος, καὶ τῶν ὑβριστῶν, καὶ τῶν ἀνδροφόνων, καὶ τῶν μοιχῶν, καὶ τῶν ἐπὶ καταλύσει τοῦ δήμου εἰσιόντων. Πάλιν τοίνυν ἐρήσομαι, διὰ τί τὸ γεωργεῖν οὐκ ἀδίκημα, οὐδέ γε τὸ ναυτίλλεσθαι, καὶ φιλοσοφεῖν, καὶ πολιτεύεσθαι; πᾶς ἂν εἴποι δήπουθεν, ὅτι μηδὲν τούτων ἐν τοῖς κυρίοις ἀπείρηται νόμοις. Ὃ τοίνυν ἐκείνων ἕκαστον ἠλευθέρωσεν αἰτίας, τούτῳ καὶ τὸν γάμον ἀποφεύγειν ἀνεύθυνον γίνεται. εἰ γὰρ τοὺς μὲν νόμους παραβαίνοντες οὐδὲ αὐτὸ δίκην ὑφέξομεν, ἃ δὲ ἔξεστι δράντες, μηδὲν ἧττον κολασθησόμεθα, ταχέως τὴν πόλιν ἐκ δικαστηρίων κενώσομεν. ἀλλ' οὔτε ἐγένετο τοῦτό πω πρότερον, νῦν τε οὐκ ἂν εἰκότως ἀρχὴν λάβοι. Ἀλλ' οὗτος κανὼν κρίσεως ἄριστος. ὁ μὲν ὑπερβὰς νόμον, ζημιούσθω· ὁ δὲ μηδένα κεκινηκὼς, ἀπο-

φεύ-

φευγέτω. Τίς τοίνυν ὑπ' ἐμοῦ μὴ βουλομένου γαμεῖν τῶν νόμων ὑπερπεπήδηται; οὐδείς. ἑκάστῳ γὰρ, οἶμαι, τῶν πολιτῶν ἐν τοῖς τοιούτοις, νόμος γίγνεται τὸ βούλημα. Ἐγάμουν πρότερον, ὦ πάτερ, ἠβουλόμην γάρ. νῦν οὐκ ἐθέλω. καὶ τοῦτο ἔξεστι. ὥσπερ γὰρ οἶμαι καὶ τρὶς καὶ πολλάκις ἐφεῖται γαμεῖν, καὶ περιττὸς ὁ διαβάλλων ἐν τούτῳ τὸ πλῆθος. οὕτω καὶ τὴν ἀρχὴν μὴ γαμεῖν, καὶ τοῖς πρώτοις ἀρκεῖσθαι, πάλιν δέδοκται καλῶς καὶ προσηκόντως· ἐπειδὴ γὰρ τοῖς μὲν συνήνεγκεν ἡ τοῦ πράγματος φύσις· τοῖς δὲ οὐκ ἐλυσιτέλησεν ἡ πεῖρα· τοὺς μὲν φοβεῖ, τοὺς δὲ ἐφέλκεται. Μὴ τοίνυν ὁριστὴς ὁ δεῖνα γιγνέσθω περὶ τούτων, ἐν οἷς καὶ τὸ βέλτιον καὶ τὸ χεῖρον ἑτέρῳ κινδυνεύεται. Εἰ τοίνυν καὶ τὴν ἀρχὴν ἀπεστρεφόμην τὸν γάμον, οὐκ ἂν ἠπόρησα λόγων, οἳ πείθουσιν οὕτω φρονεῖν· διῆλθον ἂν τὰς μοιχείας, διῆλθον ἂν παίδων ἀποβολὰς, μέθην γυναικῶν, ἀκρασίαν, λαλιὰν, ἀλαζονείαν, πολλὰς τραγῳδίας ἐκ γάμων γεγενημένας· ἀλλὰ νῦν οὐ λέγω τούτων οὐδέν· οὐ ταῦτά μοι δοξάζειν περὶ τοῦ πράγματος ἔδωκεν ἡ δυστυχής. Ἀλλὰ τί φημι; λόγον ἁπλοῦν καὶ δίκαιον, σὺ δὲ πρᾴως ἄκουσον· μὴ καταναγκάσῃς ἄδικόν με γενέσθαι περὶ τὴν κειμένην, ὦ πάτερ· μηδὲ τὴν ἐκείνης μεγαλοψυχίαν ἀγνωμοσύνῃ τρόπων ἀμείψασθαι· μηδὲ τὸν σαυτοῦ παῖδα χείρω γυναικὸς εἰς ἀρετὴν ἀποφήνῃς. Οὐ τοὺς μὴ βουλομένους γαμεῖν οἱ νόμοι μισοῦσιν, ἀλλὰ τοὺς οὐκ ἐθέλοντας εὐεργέταις εἰδέναι χάριν. εὐεργεσίαν παρ' ἐκείνης εἰλήφαμεν, ἧς ἐν τοῦτ' ἴσως ἄτοπον, ὅτι κρείττων ἐστὶν ἀμοιβῆς. ἐξετάσωμεν γὰρ, εἰ δοκεῖ. Ἀπήγγειλέ τις ἡμᾶς, ὡς ἀκούω, τὰ πρῶτα τεθνᾶναι, λῃσταῖς περιπεπτωκότας. ἡ δὲ ἠπίστησεν. ὃ γὰρ οὐκ ἠβούλετο, τοῦτο οὐκ ᾤετο. αὐτὸς ἐπέστελλον μετὰ ταῦτα, τὴν δουλείαν μηνύων· ἡ δὲ οὐ διειλέχθη πρὸς αὐτὴν ὑπὲρ ἀνδρὸς δευτέρου· καί τοι πολλὰς ἴσμεν ἀπὸ τῶν πρώτων προφάσεων μεταπηδᾶν εἰς ἑτέρους εἰθισμένας. Ἔμελλεν ὁ πατήρ

τήρμοι βοηθήσειν, ἡ δὲ ἔφθη τὴν τούτου προθυμίαν· ἀπέδοτο κόσμον, οὗ μάλιστα γυναῖκες ἐρῶσιν· ἐπέβη σκάφους, ἀκούουσα μεστὴν εἶναι καταποντιστῶν τὴν θάλασσαν· ἤνεγκε πνευμάτων καταιγίδας· ἤνεγκε κυμάτων προσβολάς· ἐπεῖδε βαπτιζομένην τὴν ναῦν· ἐπέδεικε τὴν ψυχὴν ὑπὲρ ἡμῶν· ἐξηνέχθη πρὸς τὴν γῆν ἐν οἰκτρῷ τῷ σχήματι· ἤρκεσεν ἡμῖν καὶ μετὰ τὴν τελευτὴν εἰς λύσιν· ἐξεῖλε τὴν τῶν μύθων ἀπιστίαν, βεβαιωσαμένη τοῖς παρ' αὐτῆς τὰ πάλαι θρυλλούμενα. ἐπὶ τούτοις γάμου φροντίσαι με κελεύεις; ζῶν γὰρ ἔτι καὶ περιὼν καὶ βλέπων τοῦτον τὸν ἥλιον οὐκ ἀδικεῖν σοι δοκῶ; καὶ τίς ἡμῖν διαλέξεται; τίς συμβαλεῖ; τίς κοινωνήσει πραγμάτων; τίς δημότης; τίς φυλέτης; τίς μέτοικος; εἰ σὺ μὲν ἐπιτάττῃς, ἐγὼ δὲ τοιαῦτα πειθοίμην; καλάς γε ὁ δῆμος ἐν ἡμῖν προσδοκίας σχήσει, καὶ δώσει τιμὰς, ὁρῶν οὕτω περὶ τοὺς ἀναγκαίους διατεθέντας. ὁ γὰρ πρὸς τοὺς οἰκείους πονηρὸς, οὐκ ἂν γένοιτο περὶ τὰ κοινὰ βελτίων. τίς δὲ ἡμῖν ὅλως, ὦ πάτερ, (ἵνα καὶ τοῦτο εἴπω,) κηδεῦσαι βουλήσεται; τίς δώσει θυγάτριον εἰς οὕτω προφανεῖς φάραγγας; οὐκ οἶσθα ὅτι πρὸς τὰ πρεσβύτερα βλέποντες τὰ δεύτερα κρίνουσιν ἄνθρωποι; καὶ διδαχὴ γίνεται τῶν μελλόντων τὰ φθάσαντα; Ἐγὼ δὲ ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τοῦ πατρὸς, εἴμετις λογισμὸς εἰσήει γάμου· ὦ παῖ, τῆς ἀνθρωπείας ἀπηυτομόληκας φύσεως; τὴν τῶν θηρίων ἐζήλωκας ἀγριότητα; ταχέως ἐπελάθου τῆς ναυαγίας ἐκείνης; γαμεῖν ἐθέλεις; οὐ γὰρ ὀκνεῖς γάμου καὶ τοὔνομα; καὶ τίσιν ὀφθαλμοῖς ὄψει τοὺς συγγενεῖς τῆς προτέρας; ἢ τοὺς μὲν ἀξιοῖς θρηνεῖν, αὐτὸς δὲ κωμάζειν; καὶ τὴν μὲν ὑπὲρ σοῦ τὰ πάντα τολμᾶν, αὐτὸς δὲ μηδ' ὅσον σωφρονεῖν ἐθέλειν ἐκείνῃ χαρίζεσθαι; ἤδη τις γυναῖον ἵππον ἀποβαλὼν, οὐκ ἐπρίατο δεύτερον τῇ περὶ τὸν ἔμπροσθεν λύπῃ· σὺ δὲ τῷ τῆς γυναικὸς θανάτῳ περιφανῶς σεσωσμένος, κατ' ἐκείνης κέχρησαι τῇ σωτηρίᾳ; οὔτοι

πρέ-

πρέποντες οἱ λόγοι πρεσβύτῃ νεανίσκου, ὁ δὲ πατὴρ, ὡς ἔοικε, σωφρονῶν ἄρχεται. Παῖδας γάρ, φησὶν, ἐκ σοῦ γνέσθαι βούλομαι, καὶ διδασκάλους εἶναι τῆς ἡβης. εἰπέ μοι πάτερ· ἕπεται γὰρ δίδυς ἡ παιδοποιία τῇ γάμῳ; πόσους ἐπιδείξω σοι τῶν πολιτῶν γυναῖκας μὲν αὐτῶν ἔχοντας εὐπειν, πατέρας δὲ κ' κικλημένους; ἀνθρώπους εἰς ἔσχατον ἥδη γήρως ἥκοντας, καὶ τὴν ἐλπίδα τῶν πραγμάτων προσαπηρημένους; ἀν ἂν ἐγὼ μόνος τοῦτο πείθωμαι, γυμνὸν δὲ σῶον ἴδω, παῖδες δὲ μηδαμοῦ φαίνωνται, ἆρ' ἂν ἀνάγκη πονηρὸν μὲν εἶναι, πατέρα δὲ μὴ γεγονέναι; καὶ πῶς μόνος ἀγνωμοσυνίαν ὑπιδεῖχθαι, τῶς δὲ διδασκάλους κ' ἔχειν; εἰκὸς δὲ δίκην καὶ τὸ δαιμόνιον ἐντεῦθα νεμεσήσειν, καὶ δίκην τῆς μοχθηρίας ὑπιθήσειν τῶν ἀπαιδίαν. Καὶ δὴ δῶμεν δίδυς ἔσεσθαι παῖδας. τίς ἂν ἐγγυᾶται Θεῶν, ὡς εἰς ἀκμὴν προβήσονται; βούλεσθαι πάλιν ὑμᾶς ἐκ πολυπαιδίας εἰς ἐρημίαν λήξαντας; καὶ τὰ μνήματα δεικνύτας αὐτὰ τῶν ἡβέων; ἂν μὲν ἂν ἡμεῖς νεῶν θνῄσκειν γενέσθαι, μικρὸν δὲ ὕστερον θάπτειν, κ' οἷα μείζω τὰν ὠδῖνα καὶ τοῦτο γενέσθαι; λυπεῖ γὰρ κ' τὸ μὴ γεύσασθαι τῶν χρησῶν, ὡς ἡ μὴ τῶν πεῖραν στέρησις. Ἀλλ' ἔσονται, καὶ βιώσονται, καὶ τοῦτο οἱ μαντεῖς ὑπιχνοῦνται. καλῶς. τίς ἂν ἐγγυᾶται τὸ βόσκειν; κ' χ ὁρᾷς τὰς μὲν οἴνῳ; τὰς δὲ ἑταίραις προσκειμένους; τὰς δὲ τοίχους διορύττοντας; τὰς δὲ τοῖς ἀπαντῶσι πλαγὰς ἐντείνοντας; τὰς δὲ μισθὸν τῆς ὥρας λαμβάνοντας; τίνοις ἂν πότερον, εἶναι βέλτιον, ἢ τεθνάναι; καὶ πότερον, ἀφραίνουσι ζῶντες, ἢ κατανοοῦσιν; ἐγὼ μὲν δὴ οἶδα πολλὰς πατέρας, οἳ τεθλίφθαι μὲν τῶν παίδων καταδύονται, τεταλαιπωρῆσθαι δὲ ἀνακύπτουσι. Χωρὶς δὲ πάντων ἀπαιδα μὲν θάμενναι δυσχερίας ἂν εἴη. (θᾶμεν γάρ.) ἀτιμάσαι δὲ τὰς εὐνὰς, πονηρίας. ὅσῳ δὲ μετεωρότερον δυστυχὲς μᾶλλον εἶναι δοκεῖν ἢ φαῦλον, τοσ-

σύτῳ κρεῖττον θαυμάσαι τὴν ἀπελθοῦσαν ἢ συνοικῆσαι δευτέρᾳ. Ἔπειτα τί καὶ δέδοικας; σὺ μὲν γὰρ ἔχεις τὸν θεραπεύσοντα καὶ κουφιοῦντα τὸ γῆρας τουτονὶ τὸν τῆς ἀποκηρύξεως ἄξιον. τὸ δὲ ἡμέτερον ἄφες. ἐμοὶ μεῖζον παίδων εἰς παραμυθίαν τὸ μηδὲν δυσεβὲς ἐμαυτῷ συνειδέναι. πολλῶν εὐπορήσομεν βοηθῶν ἀπὸ τῆς παρούσης γνώμης, τοὺς δ' ἴσως καὶ παῖδας κτησόμεθα. γάμου δὲ καὶ τὴν μνήμην, ὦ πάτερ ἄνελε. οὐ γὰρ ἐν ὑμεναίοις ἐμοὶ τὰ πράγματα. πολλῶν εἰμι συμφορῶν ἀνάμεστος. ἔα με ταῦτα ὀδύρεσθαι· ὦ ψυχὴ γενναίας γυναικός· σύ μοι τῆς ἀποκηρύξεως αἰτία· τί γὰρ οὐκ ἔμενες κατὰ χώραν; τί δὲ οὐκ ἐμιμοῦ τὸν πατέρα; τί δὲ παρήεις τὴν φύσιν τοῖς ἔργοις; ὦ θαλάττιοι δαίμονες, ἀντὶ ποίων ἀδικημάτων κατεδύσατε τὸ σκάφος; τίνα καταγνόντες τῆς ἀναγωγῆς ἀηδεστέραν αἰτίαν; ἤκουσεν ἡ δυστυχὴς τὴν ἐμὴν δουλείαν· ἐπλήγη πρὸς τὴν ἀκοήν· ἐμηχανήσατο πόρον· ἐξέπλευσεν, ἀπαλλάττουσα τῶν δεινῶν. ὑμεῖς δὲ ἀντὶ τοῦ σῶσαι καὶ στορέσαι τὸ κλυδώνιον καὶ παραπέμψαι πρὸς λιμένας, ἀνετρέψατε καὶ διεφθείρατε, καὶ διενείματε τὴν ἡμετέραν συζυγίαν λῃσταῖς καὶ ναυαγίοις; τί οὖν εἴπερ ἀναγκαῖον ἦν, οὐ μετηλλάξατε τὰς τύχας; ὤφελον ἐγὼ κεῖσθαι νῦν, ἡ δὲ ἐφ' ἡμῖν δακρύειν. ἐπεὶ δὲ τοῦτο οὐχ ὑπῆρξε, δὸς ἡμῖν, ὦ πάτερ, χάριν μετρίαν· ἐπίτρεψον μέχρι τῆς τελευταίας θρηνεῖν. μὴ στεφανώσῃς· μηδὲ προσείπῃς αὖθις νυμφίον. αἰσχύνομαι τοὺς λῃστὰς, εἰ πύθοιντο γάμους δευτέρους. ὅλως δὲ εἰ καὶ σφόδρα βουλοίμην ὑπακούειν, οὐχ ὁρῶ πῶς ἂν δυναίμην; φαιδρὸν εἶναι δεῖ τὸν νυμφίον, ἐγὼ δὲ κατηφής· ἀνειμένον, ἐγὼ δὲ συνεσταλμένος· ἐρωτικὸν, ἐγὼ δὲ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνέραστος· φοβοῦμαι μὴ τοῖς ὑμεναίοις ἀναμίξω τὰ δάκρυα· μὴ ταῖς εὐχαῖς, τὰς οἰμωγάς· κατείλημμαι τὴν ψυχὴν ἀκριβῶς ἐξ ἐκείνης. ὁμο-

λογῶ

λογῶ βλέπειν τὸν τύπον. ἀκούειν μοι δοκῶ τῆς φωνῆς ἐκείνης. δέδοικα μὴ τῇ δευτέρᾳ συγκαταπείμψιος, ἐκείνῳ ἀφαιρεθήσομαι. Καὶ μὴν τοῖς τε ποιηταῖς συνήθες ἄδειν ὅτι θύρας νυμφίων μέλη. ταῦτα δ' ὅσην ἀφημίαν τῷ μιγνυμένων ἐπ' ἄλλοις πολλοῖς καὶ τὸ μέγιστον τῷ δεξιᾷ τῆς τύχης. τί βέλει δράσαι τὸν ποιητὴν εἰς τὸ μέρος τιμῶν; εἰπεῖν ὡς δαίμων; ἀλλὰ ψεύσεται. ἀλλ' ὡς ἀθλιος; ἀληθὴς μὴν ὁ λόγος, ἀλλ' ἐ συμφέρων τοῖς γιγνομένοις; ἄνδρες Δικασταί, ἐγὼ ταῦτα πάλιν ἑνὸς τύπτ. πείθομαι τῷ πατρί· μαίνεται, σφεβλύπω, τὰ τῷ οἰκοφθορεῖν ὑπεργεῖν ὑπαντιπέπω. θαυμάσεται τὴν ὃν τοῖς ἄλλοις ἐπιμόνητα. τί δὲ μόνον σιωπάπω, τὸν γάμον. δεινῶς μὲ σρέφει τύραννα τὴν ψυχήν. εἰ δὲ δυοῖν θάτερον ἢ γαμεῖν, ἢ μισεῖται, ὅ,τι μὴν ὑπολογήσεσθε ταῖς ὑμετέραις αὐτῷ γυναιξὶ ταύτην θέμενοι τὴν ψῆφον οὐκ οἶδα. ἐγὼ δὲ ὑποχωρήσω μὴν, οὐκ ὑπομένω δὲ, ὥστε τὴν γυναῖκα κρείττω δεῖξαι τῆς χείματος. τίς γὰρ ἀνδρὶ σωφροσύνη; κρότος ὁ τῷ σωφρόνων. ἔπαινος ὁ τῷ ἀκεκτεσέρων. ῥήματα τε πολλῆς ὠσίας λαμπρότερα· πολλοὶ φιλονεικήσουσιν ὑπὲρ τῆς εἰς ἐμὲ κοραιοίας. εἰ δ' ἂν παπαχόθεν ἐξεργοίμην, ἀρκεῖ μοι τάφος ἡδονή. θρηνῶν τὴν γυναῖκα τεθνήξομαι.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΔΥΣΚΟΛΟΥ ΑΝΔΡΟΣ,

Ὅστις γήμας λάλον γυναῖκα, ἑαυτὸν προσαγγέλλει.

Ἔδει μοι, ὦ Βελή, πεθναῖναί με πρὶν ἢ γῆμαι, ἢ πρὸ σαυτῆς ἀκοῦσαι τῆς γυναικὸς λαλούσης, ὁπόσα ἀκήκοα. ἐπεὶ δὲ ἀ διέφυγον ἐκεῖνο, κακῷ δαίμονι ἠκολούθησα, οὐδὲ μὴ τὸν γάμον ἐλθεῖν εἰς ὑμᾶς, ἐφ' οἷς περ ἥκω νῦν. τοῦτο δὲ ὑπὸ τῆς ἐμαυτοῦ βραδυτῆτος ἀδικημένος, δέομαι ὑμῶν, ἐπειδήπερ ὀλέσθαι πρὸς τὸ συμφέρον εἶδον, κυρῶσαί μοι τὸ βέλτιστον τέλος· εἰς τοσοῦτον γὰρ ἀφῖγμαι κακῶν, ὥστε μοι τὸ μηκέτι εἶναι, τοῦ μὴ τῆς γυναικὸς μετειώτερον. Δότε δέ μοι πρὸ τοῦ κἀμὲ μικρὰ εἰπεῖν, ὦ Βουλή, χάριν. μή με εἰς μακρολογίαν ἐμβάλητε, τύπον ἀναχόμενοι τῶν κομψῶν ῥητόρων, οἷς ὁ βίος λέγειν τε καὶ ἀντιλέγειν. δέδοικα γὰρ μὴ δεινῶς ἐν τῷ λόγῳ γιγνομένης, τὸ πρᾶγμα ἡγοῦνται πυθομένῃ, τὴν γλῶτταν ἡμῖν ἐκείνην ὀπτήσῃ, καὶ κατακλύσῃ καὶ ἐμὲ καὶ ὑμᾶς. Ὅπως οὖν μὴ τοῦτο γενήσεται, σπεύσατε πρὸς τὸν χάριν. εἰ γὰρ δὴ παρούσης ἐκείνης ἀποθνήσκοιμι καὶ λαλούσης, ἀναιρήσει τὴν τελευτὴν ἡ φλυαρία τῆς γυναικός. Εἰ μὲν οὖν ὁ θεὸς τῇ πόλει τοὺς νόμους μὴ περιῆρηνύς τις ἦν καὶ ἄφετος ἐν τῷ ζῆν, μὴ ἂν εἶχον πραγμάτων νῦν, πείθειν παρώμην, ὅτι μοι τελευτᾶν ἀναγκαῖον. ἀλλ' ὅπως λάθρα λαβὼν ἀπὸ τῆς κλίνης ξυρόν, ἐλθὼν εἰς ἐρημίαν, ὅπου τι δένδρον ἀπηγχόμην καθ' ἡσυχίαν, ἀθεώρητος ὄχλου, ὅτε πολλῶν ἀκόντων. Ἐπειδὴ δὲ ὁ πάντα ξένον ἐκείνος ἡμᾶς καταδυναστεύσας, καὶ τῆς ἀπαλλαγῆς τοῦ βίου κύριον ἀφεῖκεν ἕκαστον, ἀλλὰ καὶ τοῦτο ὑπὸ ψηφίσματος

ἤγα-

ἤγαγε, καταρῶμαι μὲν αὐτῷ, πείθομαι δὲ, καὶ τοὺς ἐν βουλευτηρίῳ φέρω θορύβους, ἐπὶ τῷ μηδὲν ἔτι τῶν ὀχληρῶν ἐνεγκεῖν. Οἱ μὲν οὖν εἰδότες τὴν τῆς γυναικὸς φύσιν, οἱ δ' ὅτι μοι συγγνώμην ἔχουσι, μηκέτι ζῆν δυναμένῳ. τοὺς δ' ἄλλους οἶμαι δεῖν μαθεῖν, οἵᾳ συνοικῶ συμφορᾷ. Καί μοι προσέχετε πρὸς Διὸς ὑμεῖς. τουτωνὶ δὲ τῶν περιεστηκότων καὶ γελώντων καὶ καλούντων με δύσκολον, βραχύ τι φροντίζω· τί γὰρ ἂν καὶ ζητῆσαί τις μείζω παρ' αὐτῶν δίκην, ἧς νῦν ὑπέχουσιν, οὕτω ζῶντες διεφθαρμένοι, καὶ διατεθρυμμένοι, καὶ διαρρέοντες, καὶ παίζοντες ἀεὶ, καὶ σπουδάζοντες οὐδέ ποτε, καὶ καγχάζοντες, καὶ φλυαροῦντες ἀπερισκέπτως ὅ,τι τύχοι. Ἐμοὶ δὲ ὁ πατὴρ, ὦ Βουλὴ, παρῄνει τὸν νοῦν συνάγειν ἀεὶ καὶ συνέχειν, μὴ συγχωρεῖν διαχεῖσθαι, διορᾶν τῶν ἐν τῷ βίῳ τά τε ἀναγκαῖα καὶ τὰ μή· καὶ τῶν μὲν ἔχεσθαι, τῶν δὲ ἀπέχεσθαι· τιμᾶν σὴν ἡσυχίαν, φεύγειν τὰς ταραχάς. ἃ ποιῶν, ὦ Βουλὴ, διατελῶ, τῶν ἐκκλησιῶν οὐ μάλα κοινωνῶν, οὐ διὰ τὸ τῶν κοινῇ συμφερόντων ἀμελεῖν, ἀλλὰ διὰ τὰς τῶν οὐ δυναμένων σιγῆσαι βοὰς ῥητόρων, εἰς ἀγορὰν οὐ σφόδρα ἐμβάλλων διὰ τὰ πολλὰ ταῦτα τῶν δικῶν ὀνόματα· φάσις, ἔνδειξις, ἀπαγωγὴ, διαδικασία, γραφὴ, παραγραφὴ, ἃ καὶ οἷς οὐδέν ἐστι πρᾶγμα, φιλοῦσιν ὀνομάζειν. ὁ δεῖνα, τοῦ δεῖνος, τὸν δεῖνα ἐγράψατο. ἐμοὶ δὲ τί τούτων μήτε διώκοντι, μήτε φεύγοντι; Καὶ νῦν κἀκεῖνο δεινὸν ἐξελάσαι τῆς ἀγορᾶς, τὸ τῆς προσρήσεως, οὐκ οἶδ' ὁπόθεν εἰς τὸν βίον ἐπελθὸν, τὸν δεῖνα χαίρειν. οὐ γὰρ ἔγωγε μὰ τοὺς Θεοὺς ὁρῶ τοῦ ῥήματος τὸ κέρδος· οὐ γὰρ ᾧ γε λύπης ἀξίως ἔχει τὰ πράγματα, βελτίων πρὸς τὸ χαίρειν ἀκοῦσαι γίγνεται. Καὶ μὴν τῶν ἐργαστηρίων ὅσα μὲν ἄκμονα καὶ σφύραν ἔχει, φυγῇ φεύγω, τὰ ἀργυροκοπεῖα, τὰ χαλκεῖα, πολλὰ ἕτερα. τὰς δὲ διὰ σιγῆς πληρουμένας ἀσπάζομαι τῶν τεχνῶν. καί τοι καὶ ζωγράφους εὗρον ἤδη μετ' ᾠδῆς γράφοντας. οὕτως ἡδύ τι τοῖς πολλοῖς τὸ

λαλεῖν, καὶ κατέχειν ἑαυτοὺς οὐ δύνανται. Ἕως μὲν οὖν μόνος ἔζων, ἀπέλαυον ἡσυχίας ἱκανῆς, τῶν οἰκετῶν πεπαιδευμένων μηδὲν ποιεῖν, οἷς ἀνιῶμαι. ἐπεὶ δὲ ἔδει με γενέσθαι ποτὲ κακοῖς, πρόσεισί τις τῶν ἐπιτηδείων, καὶ κακίσας τὴν μοναυλίαν, καὶ τὴν συζυγίαν ἐπαινέσας, μὴ μόνος ἀτίμαζε τὸν γάμον, ἔφη, Θεὸν ὄντα, καὶ Θεῶν μέγιστον. καὶ διηγεῖτο περὶ κόρης τινὸς τῷ γένει διαφερούσης, ὥρᾳ λαμπρᾶς, τάλαντα πολλὰ κεκτημένης, σωφρονεῖν ἐπισταμένης, τὰ περὶ ἱστὸν πεπαιδευμένης, καὶ τελευταῖον προσέθηκεν, ὡς ἀρκεῖ βουληθῆναι, καὶ ἐν χεροῖν ὁ γάμος. Τὰ μὲν ἄλλα, ἔφην, ἔα, τοσοῦτον δέ μοι φράσον· ποταπὴ τὴν γλῶτταν ἡ παρθένος; οἶσθα γὰρ, ὦ ἑταῖρε, τὸν ἐμὸν τρόπον, ὡς οὔτε ῥέγχων ἄνθρωπος ἐμοὶ φορητὸν, οὔτε λύζων, οὔτε χρεμπτόμενος, οὔτε βηχὶ κατεχόμενος· ἀλλ' ἑλοίμην ἂν πληγὰς λαβεῖν πρότερον, ἢ ταῦτα ἀνασχέσθαι. λάλον δὲ, οὐδ' ἂν ὄναρ ἐνέγκοιμι. εἰ δὲ δεήσει με συζῆν τοιαύτῃ, πῶς οἴει; πῶς βιώσομαι; Θάρρει, ἔφη· οὐδὲν γὰρ αὐτῇ, ὡς τοῦτο μεμελέτηται. πρότερον ἂν ἐγκαλέσαις τοῖς λίθοις λαλεῖν, ἢ τῇ κόρῃ. ὥστε δέδοικα, ἔφη, μὴ τὸ πλεῖον ἢ δεῖ σιγᾷν, ἔγκλημα αὐτῇ γένηται. Ἐπείσθην, ὦ Βουλὴ, τί δ' οὐκ ἔμελλον, οὕτω προῖκα θαυμαστὴν ἀκούων τὴν σιωπήν; Ἀπ' ἐκείνης δ' ἄρα μοι τῆς ἡμέρας ηὐτρεπίζετο τὸ κώνειον. ἦν μὲν γὰρ οὐδ' ἐκεῖνα μέτρια, κρότος πολὺς, γέλως σφοδρὸς, ὄρχησις ἀσχήμων, ὑμέναιος νοῦν οὐκ ἔχων· ἅπαντα πανταχόθεν, ἡνίκα ἡγόμην ταύτην τὴν ἐριννῦν, ἔρρει καὶ τοὺς χειμάρρους, ὅσοι συμπίπτοντες εἰς ἀλλήλους, ἐξαίσιον παρέχονται δοῦπον· ὥστε μικροῦ μὲν ῥίψας τὸν στέφανον, ἐκ μέσων τῶν γάμων ἀπέδρον. λογιζόμενος δὲ τῷ πράγματι τὴν δυσχέρειαν, οὐ τῷ τρόπῳ τῆς γυναικὸς, διεκαρτέρησα μέχρι τοῦ θαλάμου, τοῖς θορύβοις βαλλόμενος. Τὸ δὲ ἦν ἄρα πρὸς τὸν μέλλοντα πόλεμον, εἰρήνη συχνή. πρὶν μὲν γὰρ

μέ-

μέσην φανῆναι νύκτα, φθέγγεταί τι μεμφομένη τὴν κλίνην, καί με τὸ ῥῆμα οὐ μικρῶς ἐπάραξεν. οὐδὲ γὰρ κατὰ νύμφην ἐδόκει. ἔπειτα ἤρετό με, εἰ καθεύδοιμι. τοῦτο μειζόνως ἤλγησα. τρίτον ἤρετό τι, καὶ τέταρτον ἕτερον. ἐγὼ δ' ἀπεκρινάμην οὐδὲν, ἀλλ' ἠσχυνόμην πρὸς ἀναισχαντοῦσαν, καὶ τὸ πρᾶγμα ἀνέστραπτο. ὁ μὲν ἀνὴρ, ἐσίγα, ἡ δὲ γυνὴ, ἐλάλει. Τηρήσας δὲ τὸ περὶ ὄρθρον, ἀναστὰς εἶμι παρὰ τὴν νυμφεύτριαν. καὶ τί τοῦτο ἐστὶν, ἠρώτων· νύμφη ῥήματα ἀφίησιν ἐπὶ τῆς πρώτης νυκτὸς, καὶ τοσαῦτα; Ναίφησι· φίλτρου σημεῖον τοῦτό ἐστι, καὶ ἅμα τῆς φωνῆς ἐπίδειξις. σὺ δ' ἀγριώτερος εἶ. χρὴ δὲ οὕτως ἔχειν. Πείθομαι πάλιν, καὶ μεθ' ἡμέραν μᾶλλον ἐμανθανον τὴν ἐμαυτοῦ συμφορὰν, καὶ τῆς ὑστέρας ἔτι μειζόνως. Κελεύσασα γὰρ ἥκειν αὐτῇ τὰς θεραπαίνας, μανθάνειν ἑκάστης ἠξίου τοὔνομα, καὶ μητέρων καὶ πατέρων, ἐμοῦ παρόντος, καὶ πόσα ἑκάστῃ παιδία γένοιτο, καὶ πόσα τεθνήκει, καὶ περὶ στρωμάτων ἐπυνθάνετο, καὶ χύτρας, καὶ ἀξίνης, καὶ τορυνῆς, καὶ ἀλεκτρυόνων, ὁπόσους τρέφομεν. Καὶ οὐδένα, ἔφην. οὐκ ἔστιν ἡμῖν ἀλεκτρυὼν, οὐδὲ γὰρ ἀνέχομαι κοκκύζοντος. εἰ δὲ μὴ σιγήσεις, οὐδέ σου. Ἡ δ' εὐθὺς προσέθηκεν ἔπαινον μακρὸν τοῦ ὄρνιθος, καὶ ὅθεν εἰς ὄρνιν μεταβάλλοι, καὶ ὡς ἦν στρατιώτης Ἄρεος ὁπαδὸς, καὶ ὡς μηνύει τοῦτο τῷ λόφῳ, τοῖς κέντροις, τῷ θυμῷ. Ἔτι λέγουσαν τὸν ἔπαινον ἀφεὶς, ἐντυγχάνω τῷ ῥάψαντι τὸν καλὸν γάμον· καὶ ὦ βέλτιστε. ἔφην, τὸν σαυτοῦ φίλον ἀπολώλεκας· καὶ διηγούμην ἕκαστα. Ὁ δὲ ἐπηγγείλατο παύσειν αὐτὴν ὡς τάχιστα, καὶ οὐκ ἔτι τοῦτο ἔσεσθαι. Πάλιν ἔρχομαι οἴκαδε. καὶ ἀπητούμην εὐθύνας· ποῖ πεπόρευσαι; πόθεν ἀφῖξαι; τί καινὸν ἤγγελται; γεγόνασιν ἐπιδόσεις; ἐγράφη ψήφισμα; νόμον τις ἔθηκε; ἐπληρώθη δικαστήρια; γέγραπταί τις; ἑάλωκέ τις; Ἐμοὶ δὲ καὶ τὸ σιγῆσαι κακὸν, καὶ τὸ φθέγξασθαι μεῖζον. τὸ μὲν γὰρ ἐταβάλλει, καὶ σκώμματα ἐξεύρηκε, καὶ διέξεισι μα-

κρὸν περὶ τοῦ δεῖν ἄνδρα ὄντα λέγειν· εἰ δέποτε φθεγξαίμην, αἴρω τὴν φλόγα. εἶπον ποτὲ ἐπανήκειν τὸν στρατηγόν. ἡ δὲ ἁρπάσασα τὸν στρατηγὸν ἐκ μεσημβρίας εἰς ἑσπέραν, οὐδὲν ἐπαύσατο πυνθανομένη. πόσους δὲ ἄγων ἐξῆλθε; πόσους ἀπέβαλε; πόσων δὲ ἐκράτησε; τίνα δὲ ἐκράτησε τρόπον; ταξίαρχοι δὲ τίνες; φύλαρχοι δὲ τίνες; τὰ δὲ λάφυρα πόσα; πῶς ἔχει τὸ ναυτικόν; τίνες δὲ τριήραρχοι; τίνες κυβερνῆται; ναῦται δὲ πόσοι; Μεμψαμένου δὲ ἐμοῦ, καὶ φήσαντος ἔξω ταῦτα γυναικείας φροντίδος εἶναι· ἡ δὲ πάλιν ἔφη· σὺ δέ μοι λέγε, πῶς ἔχει τὰ τῶν ἀγρῶν; καὶ διεξέρχεται μέχρι τῶν θάμνων ἐρωτῶσα, καὶ σκυλλῶν καὶ σκωλήκων. καὶ πλείων αὐτῇ λόγος περὶ τῶν ἀλλοτρίων, ἢ τῶν ἡμετέρων. ἔστι δὲ οὐκ ἀσφαλὲς οὐδὲ τὸ χεῖρον, οὔτε τὸ βέλτιον ἀγγεῖλαι. φύεται γὰρ ἐξ ἑκατέρου λόγων σωρός. Ἐντεῦθεν ἐπ' ἄλλο μεταπηδᾷ. πῶς ἄρα πεπράκασι τὸ τήμερον αἱ οἰνοπώλιδες; λέγεταί τις βλάβη τοῖς ἐλαιοκαπήλοις συμβῆναι; βελτίων ἡ προβατευτικὴ τέχνη· δέος μὴ τὰ φρύγανα τοὺς ἀρτοποιοὺς ἐπιλίποι· τοὺς ἀργυρογνώμονας συκοφαντῆσθαι λέγουσι. Τοιαῦτ' ἄττα θαλαττοκοποῖ, καὶ φλυαρεῖ, καὶ ἐργάζεται μὲν ὡς ἥκιστα, λαλεῖ δὲ ὡς μάλιστα. εἰ δὲ καὶ προσάψηταί τινος ἔργου, μείζων ζημία τῆς ἀργίας αὐτῆς, ὁ περὶ τοῦ ἔργου λόγος· ἐκ βαλανείου δὲ εἴποτ' ἐπιστρέψει, φεῦ τῆς ἐπομβρίας τῶν ῥημάτων. πόσα μὲν λέγει περὶ τῆς δεξαμενῆς, πόσα δὲ περὶ γυναικῶν, τίς ἦλθε, τίς οὐκ ἦλθε, τίς ἄνευ παιδισκαρίων, τίς αὐτοῖς παιδισκαρίοις, τίνι σπίλος ἦν ἐν τῷ σώματι, τίς ἐῤῥυμμένη καλῶς ἀπῄει, τίνι ῥυτίδες ἐπὶ τῆς μορφῆς, τίνι τὸ πρόσωπον ἐψιμμυθίωτο, τίς εὗρε νίτρον, τίς ἀπώλεσε σκάνδαλον, τίς ἀνέτρεψε τῆς βαλανευτρίας τὴν ἐμβολὴν, τὴν δοῦσαν ὀβολὸν τῷ βαλανεῖ, τὴν πλέον, τὴν ἔλαττον, τὴν οὐδὲν, καὶ τὴν ἀπὸ τοῦ μὴ δοῦναι προστίθησι μάχην. εἶθ' ὥσπερ ἐκλαθομένη τῶν

μειρίσων, αὐτὴν εἰς ἀνάμνησιν κονδυλίζει. Ἐγὼ δὲ φεύτ-
τω, ῥῆμα ἕτερον ἐπερχόμενον ὁρῶν, καὶ κεντῆμαι τοῖς φλη-
νάφοις, καὶ τὴν μασιγωμένην, ἀναμένω τὴν τῆς αἰτίας
ἀνάπαυλαν, οἰμώζων καὶ καταρώμενος τῷ γάμῳ, καὶ τῷ ἐρω-
τος ἐρῶντί με μνησθέντι γυναικός. Ἡ δὲ ἀνθηταὶ σφόν-
τος, κλειτὴν τὴν ἀνάγυρον. καὶ τί σοι, φησὶν, ἔχει τῷδε κύδος
κακῶς; καὶ κατάλογος ἐνταῦθα τῶν ὀπίπλων μέχρι τῆς λη-
κύθου, καὶ τῆς ἐτυμρύσεως. Πώτα ἔχειν, ἔφην, καλῶς,
μόνον σιώπα. τὸ δὲ σιώπα τοῦτο, σμικρὰν λόγων ἕτερα φέ-
ρει. ἆρα τί σοι σιωπῶ; μὴ γὰρ ἐξ ἀτίμων γέγονα; καὶ λέγει
πίτθας, καὶ πτηθίδας, κύπτους, ἠμὶ ἐπικάπτους. εἶτ' εἰς
εἰκοσὸν καὶ ἑξακοσὸν ἀναβαίνει προγόνων, τετραρχίας προ-
εστηθέσα, καὶ χορηγίας. ἡ δὲ μανίη τῶν χορηγιῶν, ὅτι τὰς
βαλβῖδας αὐτὴν ἀφικέσθαι. κἀνταῦθα ὕει ῥαδινίως,
τὰς τριάτους δρόσους ἑλκυσθίαν, καὶ τὰς ἐνδεξαμενὰς, καὶ ὅ-
τῳ ἕοπῳ τὸ χρῆμα πυξήθη, καὶ τί σιωπεστιώεγκε ἕκαστος.
Ἐγὼ δὲ δεινότερα πάσχω τῶν ἐν ταῖς ἑλκυθίαις κολαζομέ-
νων. μὴ γὰρ οἶδεν ἡ γυνὴ σιῶπά ποι τὰ λαληθέν; οἱ ποτα-
μοὶ πρότερον αὖ σιῶσιν, ἢ τὰ παύτης στόμα. πᾶσα γὰρ περόφα-
σις, λόγων ἀφορμή. αὖ οἶκοι μενῶ, αὖ εἰς ἀγορὰν ἀπέλ-
θω, βραδυπὶς οἰκετῶν, πάχος, ἀπωθὶς, εὐπορία, μεμπτὰ,
ἄμεμπτα, ὄμβρος, αἰθρία. Ἐπεὶ δ' αὖ δὲ πάντα ἀνα-
λώσῃ τῇ ῥύμῃ τῆς γλώττης τὰ ἡμέτερα, πάλιν τὰ τῶν
γειτόνων. κἂν μηδὲν ἔτι φαίνηται, ὀνείρατα διηγεῖται,
πλάττουσα κἀκεῖνα νὴ τὰς Θεὰς, ὡς ἐμοὶ δοκεῖ. ἃ γὰρ κα-
θεύδει, ἀλλὰ καὶ ἡ νὺξ εἰς νυκτηγορίαν αὐτῇ πολλάκις ἀ-
ναλίσκεται. κἂν βιαθεῖσα ποτὲ καθεύδῃσαί τι τοῖς ὀφ-
θαλμοῖς ὕπνον, πάντα αὐτῇ, πλὴν τῆς γλώττης κοιμί-
ζεται. ἡ δὲ τοῦτο ἀπεργάζεται, καὶ γίνεταί μοι χαλε-
πωτέρα τῶν ἐλπίδων. Ὁρᾷς με, ὦ Βυλλὶ, σιωπηκότα;
μηδ' ἡμέραν πάσχομαι, γυκτὸς δ' ἀφθείρομαι, μισῶ σι-

πάν,

τία, μισῶ ποτὰ, τὸ πᾶσιν ἥδιστον φεύγω τὸ ζῆν, ἐναυλον ἔχω τὴν λαλιὰν, ἐν τῇ ψυχῇ περιφέρω τὴν ἀηδίαν. ἀμύνατέ μοι πρὸς Διὸς, μετάδοτε τοῦ φαρμάκου, ῥύσασθέ με φωνῆς ἀπαύστου. Καὶ τί, φησιν, ἀτυχεῖς τοσοῦτον, δι' ὃ καὶ τελευτᾶν ἀξιοῖς; ποίαν οὐσίαν ἀπολώλεκας; τί λελώβηταί σοι τοῦ σώματος; ποίᾳ συμφορᾶς ὑπερβολῇ ληφθεὶς, οὐκ ἀνέχῃ ζῆν; Σὺ δὲ τίς ὢν, ταῦτα πολυπραγμονεῖς; τί δέ σοι μέλει τῆς ἐμῆς τελευτῆς; πατὴρ ἐμὸς εἶ; ἀλλ' ἀδελφὸς, ἢ θεῖος; ἀνεψιὸς δέ; ἀλλὰ κοινωνὸς ἐμπορίας, ἢ γεωργίας; χεῖρον δὲ τοῖς σαυτοῦ πράξεις παρὰ τὴν ἐμὴν τελευτήν; ψηφίσματι δὲ κατέστης κωλυτὴς εἶναι τῶν ἐπιθυμούντων ἀποθανεῖν; ὦ τῆς περιεργίας· οὐδὲ ἀποθανεῖν ἔξεστιν ἄνευ πολλῶν λόγων ἐν τῇ πόλει, ἄνθρωπε; μὴ γὰρ σίτησιν αἰτήσων ἥκω; μὴ γὰρ στέφανον; ταῦτα δὴ τὰ τῶν ῥητόρων ὑμῶν τῶν καρπουμένων τὸν δῆμον. Βαρύνομαι τὸ ζῆν, ἀπελθεῖν ἐπιθυμῶ. τί μοι φθονεῖς; εἶτά με ἐρωτᾷς διὰ τί βούλομαι τελευτᾶν; διὰ σέ. Οὐ δικαίως ὑμῖν, ὦ Βουλὴ, δοκῶ χολᾶν, καὶ παραφρονεῖν; ὡς ἐπὶ πρᾳότερόν τι τῆς οἰκίας τὸ βουλευτήριον ἐπειχθεὶς, εὑρίσκω τοὺς τῇ δὲ χαλεπωτέρους τῶν οἴκοι. Οὐκ ἀπολώλεκα τὴν οὐσίαν, λέγεις· τοῦτο γὰρ οἴει μέγιστον κακόν; πόσοι δημεύσεις γενναίως ἐνηνόχασιν ἀντελπίσαντες πλοῦτόν γε ἕτερον, καὶ τὴν παροῦσαν ἐνδειαν ἐπανορθούμενοι, τῇ παρὰ τῶν ἐπιτηδείων ἐπικουρίᾳ; σῷον μέν ἐστι μοι τὸ σῶμα, τὴν δέ γε ψυχὴν, ὦ φίλτατε, βέβλαμμαι, καὶ περὶ τὸ βέλτιον ἐζημίωμαι. μεστός εἰμι ῥημάτων ἀνοήτων· μήκεσιν ἀπείροις λόγων βέβλημαι. ἀδολεσχίαις βεβάπτισμαι· πολλὴν δέδεγμαι γλωσσαλγίαν· καθάπερ πλοῖον θάλαττα, ὑπερέσχε με τῆς γυναικὸς ὁ κλύδων· οὐκ εἰμὶ φρενήρης· ἰλιγγιῶ. σκοτοδινιῶ· ταῦτ' οὐχ ἱκαναὶ προφάσεις πρὸς θάνατον; Εἰ παῖς ἦν μοι τεθνεὼς, ἦν ἂν ἐκ τῶν ταυτὰ πεπονθότων ἡ παρα-

μυ-

μυθία, καὶ ταῖς ἐπιγινομέναις τέρψεσιν ὑπεχώρει αὖ αἰ λύπαι. τὸ κακὸν δὲ τοῦτο, πρῶτον μὲν μόνῳ μοι συμβέβηκε, καὶ οὐκ ἐμοὶ πρὸς παράδειγμα βλέψαντι, λαβεῖν παραμύθιον τῆς ψυχῆς. ἔπειτα ἀεὶ σωφρόσι πάσας ἡδονὰς ἐναντιούμενον, πάσαις ἀπιμελείαις μαχόμενον, καὶ τὰ δεινὰ τῆς τύχης πρᾳότατα σωφρονοῦντα καὶ μετριώτερα. Εἰ μὲν δεῖ με λυπούμενον ζῆν, μὴ ζῆν μοι βέλτιον. εἰ δεῖ σωφρόντα βιοτεύειν, μετριοπαθεῖν συμφερώτερον. Ἄλλα ἄλλοις, ὦ Βουλή, δεινὰ νομίζεται. τῷ μὲν χρημάτων ἀποβολή, τῷ δὲ παίδων, τῷ δὲ φυγὴ πατρίδος, τῷ δὲ νόσος σώματος, ἐμοὶ δὲ μακρολογία. τί ἂν θαυμαστὸν, εἰ τοῦτο, ᾧ μάλιστα ἀλγυνόμεθα, μὴ φέρων, ἀποθανεῖν ἐθέλω; Οὐκ ἔστιν ἡ γυνή μου μέθυσος· τοῦτο γὰρ ἦττον δεινόν. εἰ δὲ ἐμέθυε, κἂν ἐκαθεύδεν, εἰ δὲ ἐκαθεύδε, ἴσως ἐσίγα. Πάντα μοι ταῦτα τοῦ παρόντος ἐλάττω, πάντα τῆς λαλιᾶς κρείττονα· λέγκα γὰρ γυναῖκα ὑπεραβελτέραν, αὐτόχημα κατηρεφές. λέγκα ἀπαθῶσαν, ὀλεσίοικον. τί δέ μοι τὸ δίλινες καὶ λόγων νοσήματά με καὶ καταπάλαισε, καὶ πρὸς τὸ ζῆν ἐπολέμωσε. Εἰ γὰρ, πότερον ἦττον εἰς συμφορὰν ἅπαξ ἀποθανεῖν, ἢ πολλάκις ἐγγὺς εἶναι θανάτου, τὸ πρότερον φήσαις ἄν. ἐγὼ τοίνυν τὸ χαλεπώτερον, καὶ ὀλιγαυτέρου πέπονθα· πλειστάκις ὡρακίασα μὰ τὸν Ἀπόλλω, βαλλόμενος ὥσπερ χαλκέζη τοῖς ὕθλοις. πολλάκις ἐλειποψύχησε μέσος γιγνόμενος τῶν λήρων ἐκείνων. οἴεσθε τὸ κακὸν ἀνεκτὸν εἶναι, καὶ τοιοῦτον, οἷον ἤδη τῶν σωφρόνων; οὐκ ἔστιν, οὐκ ἔστιν· ἀρρύθμιος αὐλητὴς ἡ γυνὴ, μᾶλλον δὲ καὶ παρελήλυθε· ξυγόνος λαλιστέρα, κίττης, ἀηδόνος, κίρκου πολυφωναιοτέρα. τὸ δὲ χαλκεῖον ὑπερβαίνει χαλκεῖον, ἐκεῖνο μὲν γὰρ προσβαλλόντος αὐτῷ τοῦ μάστιγος, ὑπὸ τῶν ἀνέμων ἠχεῖ· γλωσσαλγίας δὲ ὕσης, σιγᾷ. ταύτης δὲ τῶν γλωττῶν, κἂν πνεῦσαι δέῃ βιάσασθαι, οὐ χειμὼν, οὐ θέρος, οὐκ ὄμβρος, οὐ γλωσσαλγία. Τί

δεῖ

δεῖμε ζῆν, ἄνθρωπον ὑπὲρ ἀλλοκότων δ' ἐχῶν παροιμίαν τοῖς Θεοῖς; τῷ μὲν γὰρ ἄλλων ἕκαστος εἰς ἱεροσυλίαν, ἀντὶ τῶν θυσιῶν ὑγιαίνειν αἰτεῖ. ἐγὼ δὲ ἄρα τί πείσαιμι λέγων, προσπτύσω πρὸς τὰ ἀγάλματα; κωφότητος ἐδεόμην τυχεῖν, ὡς τότε μόνῳ τῆς παρούσης ἀνδίας ἀπαλλαξόμενος. εἰ δὲ μὴ τοῦτο δοκοίη, κωφαλίδα πεχεῶν ὑποῦν ἐν τοῖς ὠσὶν ἐνθαφῶαι, τὰ μὴ παντ' ἀκριβῶς εἰσδύεσθαι τὰ ῥήματα. τῷ Θεῶν δὲ ὃ δόντων τὸ χαίειν, ἀλλά μοι σεσωσμένως, ὡς μὴ ὄφελε, τῆς ἀνοΐας, λοιπόν ὄζειν εἰς ἀπαλλαγὴν, ἀποθνῄσκειν. Ἢ πῶς ἂν βιώσομαι, τὰ ποιήμενος τὰς ἀληθείας; ἐπ' ἀγορᾶς; ἀλλ' οἱ τῶν ὠνίων παραπῖρες ἐπαινέσαντες ἂν πωλοῦσι, καὶ βοῶντες ὑπὲρ τὰς κίρκους, ὥσπερ ἂν ἀρκύσης τῆς χρείας ἄγειν πρὸς αὐτὰς τὸν ὠνησόμενον, ἐξελαυνοῦσιν ἐκεῖθεν μᾶλλον, ἢ εἰ τοῖς λίθοις ἔβαλλον. Ἀλλ' ἐν ἀγροῖς; ἔνι γὰρ τὰ λυπροῦντα, βοὴ βαρβάρων, ἂν οἶδ' αὖθ' ὅτι, ὄροι βρομώμενοι, βόες μυκώμενοι, αἶγες μηκάζουσαι, τροβάται βλιχόμενοι. Ἀλλ' ἐν τοῖς δικαστηρίοις; χείρας τῶν γραώων οἱ ῥήτορες. Μίαν εἶχον καταφυγὼ, μίαν ἀποστροφὼ, σὲ λιμένα, τὴν οἰκίαν. ἀλλὰ καὶ ταύτην μέπλησέ μοι χειμῶνος ἡ γλῶττα τῆς γυναικός. καὶ τόπον ἔχοντα γαλήνην δύρεῖν οὐκ ἔχω. τοῖς πολεμίοις μιμνήσκονταί τις ἀλαλυχήν, τὸ μιπρὲν ἀσπίσασθαι τὰς ἐπεχειρίας. ἐμοὶ δὲ ἀπάπαυλα τῆς κακοπαθείας οὐδαμόθεν. καὶ γὰρ ὁπόταν ἐνόσησεν ἡ γυνή, τὰ μὲν ἄλλα, οἷς ἂν ἀποκναίειμι, νοσοῦσιν, ὀφθαλμοὶ, χεῖρες, γαστὴρ, πόδες. ἡ δὲ μιαρὰ φωνὴ, πανταπάσιν ἄνοσος, μᾶλλον ὅπως ἂν κάμοι. ὁ βράγχος τῇ φάρυγγι προσέπεσε, καὶ λήθεσις τὸ γλῶττον κατέλαβεν, ὁ ῥόθιος προσβολὴ τοῦ σφυγμοῦ ἐξώγκωσεν. ἐδόκει τῶν ἀφαιρεμένων τὰ λαλεῖν, ἐγκατέσκηψεν. Ὢ τοίνυν μήτ' ἔξω ζῆν ἔστι, μήτ' ἔσω, τίς λόγος; τίς λοιπὸς δίαιτα; οὐχ ἡ τοῦ Πλάτωνος;

Σὺ γάρ, φησι, σαυτῷ αἴτιος τῶν δυσχερῶν, οὐ παιδεύσας τὸ γυναῖον πράττειν, ἀφ' ὧν σοι χαριεῖται, οὐδὲ πρὸς τὸ σὺν ἦθος τὸν ἐκείνης καταστησάμενος τρόπον· ἐχρῆν δὲ διδάσκειν, παραινεῖν, νουθετεῖν. Καὶ τίς οὕτως ἀνόητος, ὡς μὴ τὸ πρόχειρον τοῦτο καὶ ἰδεῖν καὶ ποιῆσαι; μίαν γὰρ ἡμέραν οὐ διέλιπον, ὥραν, ἡμιώριον. νόσημα τοῦτό ἐστιν, ἔλεγον, ὦ γύναι· γέλωτα παρέχεις τοῖς γείτοσιν. ἐν ὀνείδει μοι προφέρουσι τὴν σὴν φλυαρίαν. ἐλευθέρα, φῄς, εἶναι; μὴ τοίνυν πράττε τοῦ γένους ἀνάξια. μίμησαι τὸν ἐμὸν τρόπον· ἡσύχιον διώκω βίον· οὕτως ἀρεσκέτω καὶ σοί· ταῦτα λέγων, πέτρας ἔσπειρον. οὐ γὰρ κατέλυε τὸν νόμον, ἀλλ' ἀμειβομένη τὸν λόγον κατέσυρέ με τῷ ῥεύματι. Γνοὺς δὲ ὅτι δεῖ συμμάχων, παρακαλέσας τοὺς γνωρίμους εἰσήγαγον, ἐπαίνους σιγῆς μεμελετηκότας. Ἡ δὲ μετὰ τοὺς ἐν τοῖς ὅπλοις ἀριστεύοντας, μία πολλοὺς ἐτρέπετο, τῶν μὲν πολλῶν πλείω λέγουσα, τοῖς δὲ οὐδ' εἰπεῖν διδοῦσα, μόνη πάντας παριοῦσα. ἕως τὴν μὲν ἀποθαυμάσαντες, ἐμὲ δὲ οἰκτείραντες, αὐτοὶ δὲ ἀπειπόντες, ἔφυγον. Ἐνταῦθα ἐγὼ γνοὺς, ὅτι τῶν μὲν ζώντων καταφρονεῖ, ταῖς δὲ τῶν παλαιῶν συμβουλίαις τάχ' ἂν εἴξαι, σὺ δὲ, εἶπον, εἰ μὴ ἐμὲ, ἀλλὰ κἂν τὸν σοφώτατον ποιητὴν αἰχύνθητι λέγοντα· γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Ἡ δὲ εὐθὺς, καὶ τίς οὗτος ὁ ποιητής; καὶ τίνος πατρός; καὶ ποίου δήμου; καὶ πότε ποιεῖν ἤρξατο; καὶ πῶς ἐτελεύτησε; καὶ τὴν ἡμέραν ἐνταῦθα κατέτριψεν ἡ γυνὴ, καὶ περιέστατό μοι τοὐναντίον ὁ Ποιητής. ἀντὶ γὰρ τοῦ στῆσαι τὴν λαλιὰν, ἀνῆπτεν. Ἀποπτύσας δ' οὖν ἐγὼ, καὶ τὴν πλησμονὴν ἀποστραφεὶς, ᾠχόμην τρέχων. εἶθ' ὕστερον ἡμέραιν δυοῖν, αὖθις εἰς παραίνεσιν καθιστάμην. καὶ ἔλεγον, ὅτι οὕτως ἡμῖν, ὦ γύναι, πρέπει σιγᾶν. ὥστε καὶ τῶν τεττίγων, ὁ μὲν ἄρρην ᾄδει (βαρὺς μὲν καὶ οὗτος, ὅτι πέρα τοῦ μετρίου) θηλείας δὲ φθεγγομένης οὐκ ἂν ἀκούσαις.

Ἡ δ'

Ἡ δ' ἐπεισελθοῦσα τὴν τελευταίαν συλλαβὴν, οὗτοι, φησὶν, εἰσὶν οἱ βέλτιστοι τέττιγες, οἱ ἐξ ἀνθρώπων τέττιγες, οἱ φίλοι ταῖς μούσαις, οἷς τὸ λαλεῖν τοῦ ἐσθίειν ἥδιον· καὶ κυκλοῦσα τὸν περὶ τῶν τεττίγων μῦθον, εἰς ἑσπέραν αὐτὴν προὔβαινεν. ὥστε με ἀποπνιγόμενον τὰς μὲν συμβουλὰς ἐάσαι χαίρειν, ἔργῳ δὲ πειρᾶσθαι παιδεύειν τὴν ἄμαχον, καὶ τοὺς κολοιοὺς, καὶ ψάρας μικρὸν ἀποφαίνουσαν. Ἤδη τοίνυν καὶ ἐπῆγον αὐτῇ τὼ χεῖρε, καὶ πληγὰς ἠπείλουν. ὡς οὐκ ἐπαύετο, ἀλλ' ἐβόα, συστρέψας τὸ ἡμιτύβιον, ἔβυσα τὸ στόμα, ὡς δὲ ἀνῆκα ποτὲ, δοκῶν αὐτὴν ἐπανορθῶσθαι, πῦρ ἐπὶ πῦρ ἠσθόμην, τοῦτο δὴ τὸ σοφὸν ἐξευρηκώς. ὥσπερ γὰρ οἱ τοὺς κρουνοὺς ἐπιχόντες, εἶτα ἀφελόντες τὸ κωλύον, σφοδρότεραν εἰργάσαντο τὴν φορὰν, οὕτως ἐγὼ μικρὸν ἀναστείλας τὴν φωνὴν, μεῖζον ἐπεσπασάμην τὸ ῥεῖθρον. ὡς μικροῦ τὴν οἰκίαν διέστησε βοῶσα, καὶ τῇ πυκνότητι τῶν ῥημάτων, τὰς νιφάδας συγκρύπτουσα. Ὡς οὖν πάντα, δι' ὧν πείσειν τε ᾤμην καὶ καταναγκάσειν πεποιηκὼς, βέλτιον μὲν οὐκ ἀπέφηνα τὸ πρᾶγμα; χαλεπώτερον δὲ πολλῷ. τίς γένωμαι; ποῖ καταφύγω; τίνα λύσιν εὕρω τῆς συμφορᾶς; Ἀλλ' ἐρεῖ τις τῶν πολιτῶν· ἔκβαλε τὸ γυναῖον. οὐ γὰρ ἔτ' οὐδὲν ἀκούσῃ φθεγγομένης. Σοφός γε τῆς ἀπαλλαγῆς ὁ τρόπος, καὶ φρενὸς ὀξυτέρας, καὶ πολλοὺς λανθάνων. ἄνθρωπε, σπουδάζων, ἢ παίζων τοῦτο λέγεις; εἰ μὲν γὰρ ἐρεσχελῶν, οὐ παιδιᾶς ὁ καιρὸς ἐν θανάτου λόγοις. εἰ δ' ἀπὸ σπουδῆς, ἴσθι τοῦ προσήκοντος ἁμαρτάνων. Σκοπῶμεν δὲ ὡδί. νῦν ἐγὼ γνώμῃ τῆς βουλῆς ἀποθανεῖν ἀξιῶ. ἡ γυνὴ δὲ οἴκοι λαλεῖ πρὸς αὑτὴν, ἢ τοὺς τοίχους, ἢ τὸν ἀέρα, ἢ πρὸς ὁντιναοῦν. τοῦτο δὲ οὐδὲν ἐμοὶ τῷ γε ἀπόντι δεινόν. οὐδὲ γὰρ παρέστηκεν, οὐδὲ ὁρᾶται, οὐδὲ κέκραγεν, οὐδὲ φθέγγεται. οὐ γὰρ νόμος τοῖς περὶ τοῦ θανάτου λόγοις ἐκείνην παρεῖναι· εἰ δὲ δικαστήριον ταὐτ' ἦν,

καὶ

καὶ τῆς γυναικὸς ἐκβολὴ, καὶ διδάσκειν ἔδει τοὺς καθημένους ὡς ἀδικοῦμαι, κοινὸν ἂν ἦν ἐμοῦ κἀκείνης τὸ δικαστήριον. ἔχουσα δὲ πάροδον εἰς τὸ γρύζειν, παρώσασα ἂν, εὖ ἴστε, τοὺς συνηγόρους, καὶ τὴν ἐκείνων τάξιν ἁρπάσασα, καὶ τοὐμὸν ὕδωρ αὐτῆς ποιησαμένη, τοσαῦτα ἂν διῆλθεν ἀπνευστὶ, συνείρουσα, καὶ καταχέουσα πολὺν καὶ ἀθρόον τὸν λῆρον, ὥστε με ἀπόλλυσθαι, καὶ μόλις ἂν ἔμπνουν ἐντεῦθεν ἀποκομίζεσθαι. Ἓν μὲν οὖν τοῦτο τοσοῦτον, καὶ τηλικοῦτον διαφεύγω κακὸν, οὕτως ἀλλ' οὐκ ἐκείνως ὑπὲρ ἐμαυτοῦ βεβουλευμένος. ἕτερον δὲ ἀκούσατε· εἰ γὰρ δὴ ψήφῳ καὶ δικαστηρίῳ διαστῆναί μοι τῆς γυναικὸς ὑπῆρξεν, οὐκ ἂν εὐτύχημα μᾶλλον ἦν, ἢ ἀτύχημα τὸ πραχθέν. Πῶς γὰρ ἤνεγκα τοὺς οἰκείους τῆς γυναικὸς, ἐγκαλοῦντας, ἐπιτιμῶντας, ἄλλους ἐπ' ἄλλοις αἰτιωμένους, τὸν μὲν ἔνθεν βοῶντα, τὸν δὲ ἔνθεν καὶ ἔνθεν κεκραγότα· περιϊσταμένους, κυκλουμένους, διαβάλλοντάς μου τὴν ἡσυχίαν, ἀπρόσιτον καλοῦντας, ἀγέλαστον ὀνομάζοντας, ἰδιογνώμονά μου τὸν βίον προσαγορεύοντας; Ἃ δὲ ἐποίησεν ἂν ἡ γυνὴ, τίς οὕτω σιδηροῦς, τίς οὕτως ἀδαμάντινος, ὅς τις ἂν ὑπέμεινεν; Ἠκολούθησεν ἂν ἐκ τοῦ δικαστηρίου λαβομένη θοιματίου, ἕλκουσα, ἐπιστρέφουσα, λέγουσα, Θεοὺς ἐφεξῆς ὀνομαστὶ μαρτυρουμένη, τοὺς ἥρωας καὶ τούτους ὀνομαστὶ, τὰ ἄστρα, τοὺς ἀνέμους, τοὺς κίονας, τοὺς θεμελίους. ἐμβάλλουσα δὲ εἰς τὸν στενωπὸν, ἀνεβόησεν ἂν διωλύγιον, τοὺς γείτονας εἰς κραυγὴν διεγείρουσα· ἔπειτα προσκαθημένη ταῖς θύραις, ἐπολιώρκησεν ἂν με διὰ πάσης ἀκριβείας, προελθεῖν οὐκ ἐῶσα, μένοντος εἴσω καταβοῶσα. Ἐαρινὴν γε ἡμέραν διήγαγον ἂν ἕνεκα τῆς ἐκβολῆς, συνεχῶς ἀκούων, ἡ θύρα ψοφεῖ, παίει δέ τις οἰκεῖος τῆς γυναικός. πτερῶν, ὡς ἔοικεν, ἐδέησεν ἂν μοι ταραττομένῳ καὶ λόγης ἀπαιτουμένῳ περὶ τῶν πεπραγμένων. Ἵνα δὴ μὴ ταῦτα γένοιτο, ἀποθνήσκω. καλείτω δὲ ἡ γυνὴ, καὶ τῶν ἄλλων ὅς τις ἐθέλει, δύσκολον.

λον. Δός δή, δότε τῷ χέρειν, ὦ Βελή. πέμψατέ με τὰ χέως εἰς τὴν τελείων ἡσυχίαν, ἀναμίξατέ με τοῖς ἀπελθοῦσι, τοῖς μακαρίοις, τοῖς ἀναισθήτοις. πῶς δὲ εἰ δαίμων, ὅταν ὁ μὲν δεῖ κλίνης φέρηται, κόπτωνται δὲ αἱ γυναῖκες, οἱ δὲ προσήκοντες ὀλοφύρωνται, ὁ δὲ τέκνων ἀκούῃ μηδέν; εἰ δὲ τὸ καθεύδειν ἀκινδύνως τῷ ἐν τῷ ζῆν ἀγαθῶν μέγιστον, πῶς ἂ πολλῷ τιμιώτερον, ὃ μείζω φέρει τῷ ἀναισθησίαν; Εὐξεπιζέτω τις ἤδη τὸ φάρμακον, ἑτοιμαζέτω τῷ καλῷ φιλοτησίαν. ἀλλ' ἐκεῖνό μοι προϋπαρξάτω. σιγηλὸς ὁ τὸ καίνιον ὀρέγων ἔστω, μηδέν τι ἐπ' αὐτῷ λαλῶν, μὴ ξηλεγόμβος περὶ τῆς φύσεως τὸ φαρμάκου. ἔστω καθαρὸν θορύβου καὶ ὀχλου τὸ δῶρον. Κἀκεῖνό μοι πρὸς Θεῶν μὴ τὸ θανάτου ψηφίσασθε, μὴ πορεῖναι τῷ γυμνῷ πίνοντι, μηδὲ δι' ὧν εἰλόμην ἀποθνήσκειν, ταύτῃ θρηνεῖν ὀξεῖναι τὴν ἐμὴν τελευτήν. καὶ γὰρ θρηνήσει νόμῳ γυναικῶν, καὶ πενθήσει δάκρυσιν, ἀλλὰ λαλήσει, καὶ ῥηθρεύσει, καὶ κόψει, καὶ καταστήσει μοι τῷ εἰς θυάτου ἔκβασιν ἀλγεινῶ. Ἀπέστω δὴ τῆς πόσεως, ἀπέστω, ζητείτω λίθινον ἄνδρα, διακάμψων ἀναγκεῖν τὴν ἀνδρίαν. ἐγὼ δὲ ἐν τῇ γῇ κείσομαι, πάσης φωνῆς ἀνήκοος. Ἡδὺ μὲν, ὦ Βελή, τῆς ἀκτῖνος ἀπολαύειν καὶ ζυφοῦν. ἀποστερεῖ δέ με τούτων ἡ γυνή, τὸ μὲν οἷς ποιεῖ, τοῦτο δὲ, οἷς δράσει. λογίζομαι γὰρ τίς ἔσαι τῷ γλωττῶν, ἐπὶ τῷ ξυμμάχων, τίς ἀδίνουσα, τίς τεκοῦσα. εἰ δὲ καὶ πολλά μοι τέκνα, καὶ ταῦτα αὐτῇ ἀδιαπλήσια, καὶ δεινοῦτα ἐς ὄξος, πῶς βιώσομαι, μέσος εἰλημμένος τοιούτῳ χορῷ; διοίσει γὰρ ἀδελφά μοι τὸ οἰκίδιον τῷ λειμώνων, ἐν οἷς τὰ ἔθνη τῷ ὀρνίθων μετ' κλαγγῆς ἀναίπτωται. Ἐγὼ πάσιν βέβλαμμαι βλάβῳ. πολλὰ λαλῶ. τῆς γυναικὸς ἀπολέλαυκα· μικρὸν ἀποτέτακα λόγον. ἀλλ' ἔτος ἔσαι τελευταῖος. καὶ γὰρ ἔτ' ἄτ' ἐγά τινος ἀκούσομαι, ἔτ' ἄλλος ἐμοῦ. Ὦ βελτίστης ἡμέρας. οὐ φιλούσης ἐλευθερίας. ἄπεκμι ἀναβὰς τὰς

πό-

κάτω, περὶ τοὺς οὐ λαλοῦντας, καταλήψομαι χῶρον ἡσυχίας γέμοντα. Ἀλλὰ καὶ ἐξαίφνης ἐνόησα λόγον τινὰ περιφερόμενον, ᾧ παράττομαι. λέγουσι κἀκεῖ θορύβους εἶναι, καὶ πράγματα, καὶ δικαστὰς, καὶ δίκας τῶν οἰχομένων, καὶ βοὴν νεκρῶν, καὶ διαλόγους. δέδοικα δὴ, δέδοικα, μὴ φυγὼν ἐντεῦθεν τὴν γυναῖκα, μικρὸν ὕστερον αὐτῇ περιτύχοιμι κάτω, καὶ δέοι πάλιν ἀκούειν λαλούσης. Ἀλλ' ἐκεῖνα μὲν εἰκάζεται, τὰ παρόντα δὲ γινώσκεται. πρὸ οὖν τῶν φανερῶν αἱροῦμαι τ' ἄδηλον. ἀσφαλείας δ' οὖν ἕνεκα βέλτιον εὔξασθαι. Ὦ Θεοὶ πάντες καὶ πᾶσαι, εἰ λόγου μέτεστι τοῖς ἀπελθοῦσι, δοίητε τῇ γυναικὶ πρὸς ἔσχατον γῆρας ἐλθεῖν, ὥστε με τυχεῖν ἐν ᾅδου πλείονος ἀναπαύσεως. Αἴτιος δὲ ἴσως ἐγὼ τῶν κακῶν ἐμαυτῷ. χρῆν γάρ με λαβόντα μάχαιραν, τὸ θρυλλούμενον ἐκεῖνο δράσαι, τὴν γλῶτταν ἀποκόψαι. τάχα που κἀκεῖνος γυναῖκα λάλον οὐκ ἤνεγκεν.

ΣΥΝΕΣΙΟΥ

ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΑΡΚΑΔΙΟΝ, ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Ἄρα, εἰ μήτις ἐκ πόλεως ἥκοι μεγάλης τε καὶ πλουσίας, καὶ κομίζοι λόγους γαύρους τε καὶ χλιδῶντας, οἵους ῥητορικὴ καὶ ποιητικὴ τίκτουσι, παύδημοι τέχναι παύδημα ἔκγονα, πᾶτον, ὅταν ἐνθάδε γοήται, δεῖ κάτω νοῦσαι, ὡς ἂν ὅσης αὐτῷ παῤῥησίας ἐν βασιλείοις ἀδὲ ἐρυγγάνειν, ἂν. ἔχοντι πῖς πατρίδος τὸν ὄγκον; ἅτε οὐδὲ χρῆν ἀκροαμάτων χαρίεντων τε καὶ σωφρόνων ἡδονῶν καταδημαγωγησόντων βασιλέα τε καὶ τοὺς σωφρονοῦντας· ἢ καὶ φιλοσοφίαν ποτὲ ἐπιδημοῦσαν προσήσεσθε, καί τις αὐτῶν ἂν ἀμφιγνοήσει δεῦρο μὲν πλείστη φανεῖσαν, ἀλλὰ ξεναγήσει, καὶ καιρεῖτι αὐτῆς ἀγαθὸν πρὸς ὃς ἄξιον; δεῖται γάρ τε τύπων ἀχ ἑαυτῆς, ἀλλ' ὑμῶν σύνεκα, μὴ καταφρονηθεῖσα ἀόνητος ἀπ ῥυεῖσθαι συμβαίη. Αὐτὴ μὲν τοι παρέξεται λόγους, ἀ τοὺς ἰλαρὰς δὴ τύτους καὶ διατιθεμένους ἐν ἡδονῇ τὰ μυράκια, ὡς ἅτε ἤθει ἁρῥέοντας, ἅτε λέξεσι κομμωθεῖσα εἰς νόθα κάλλη ἐπιδείξειν· ἀλλ' ἕτερον τρόπον τοῖς ἐφικέσθαι δυναμένοις τὸν ἐμβεβηκότα καὶ σῦσσον, ἀῤῥενωπὸν καὶ σεμνὸν καὶ ἀπαξιοῦντας ἀνελευθέρα θωπείας χαίειν τὰ πρῶτα καὶ δυναμένοις ἐξωνεῖσθαι. Οἱ δὲ, ὅπως ἄρα ἀσεμφῶς ἔχουσι καὶ εἰσὶ παντόλμοι δῆτινες καὶ ὡς ἐν βασιλείοις ἀλλόκοτοι, ὥς τε ἀδέφασιν αὐτοῖς ἀποχρήσειν, εἴτις ξυγχωρήσει μὴ πάντα ἐκ παῤ-

σάντων ἐπαινεῖν τὰ Βασιλέως καὶ Βασιλέα. ἀλλ' εἴπη πα-
μέκοι, καὶ λυπήσειν ἀνατείνονται, καὶ ἀπειλοῦσι δήξεσθαι
τὴν καρδίαν οὐκ ἐν χρῷ μόνον, ἀλλὰ καὶ μέσην, εἰ ἄρα
τις ἀνιαθεὶς ὠφελήσοιτο. Πολλοῦ μέντ' ἂν ἄξιος εἴη Βασι-
λέως ἀκοῇ λόγος ἐλεύθερος. ὁ δὲ ἀφ' ἅπαντι γινόμενος ἔ-
παινος σὺν ἡδονῇ λυμαινόμενος, ἐοικέναι μοι δοκεῖ τῶν
φαρμάκων, ἃ μέλιτι δεύσαντες τοῖς ἀπολουμένοις ὀρέγου-
σιν. Οὐκ οἶσθ' ὅτι μαγειρικὴ μὲν κατακαρυκεύουσα καὶ νό-
θους ὀρέξεις ἐκ καλουμένη λωβᾶται τοῖς σώμασι, γυμναστι-
κὴ δὲ καὶ ἰατρικὴ σώζετον ἄμφω τὸ παραυτίκα λυποῦσαι;
τὸ τοίνυν ἐγὼ βούλομαι τῶν σωζομένων εἶναι, καὶ εἰ μέλ-
λεις δυσχεραίνειν ἐπὶ τῷ σώζεσθαι. κρέα μὲν γὰρ οὐκ ἐᾷ
ἐξαρρυῆναι στυφότης ἁλῶν· νέου δὲ Βασιλέως γνώμην ὑπ'
ἐξουσίας ἢ ἂν τύχῃ βαδιουμένην, συνέχει λόγων ἀλή-
θεια. Οὕτως οὖν ἀνάσχοισθε τοῦ ξένου γένους τῶν λόγων. ἀλ-
λὰ μὴ ἀγροικίας ἐν ὑμῖν ἁλώσωνται, καὶ κατασιγασθεῖεν,
πρὶν καὶ βραχὺ προχωρῆσαι, ὅτι μὴ εἰσὶ θεραπευταὶ πει-
θοῦς, νέοις ἡδεῖς καὶ συμπαίστορες, ἀλλὰ παιδαγωγοί τι-
νες ἀτεχνῶς σωφρονισταὶ καὶ βαρεῖς ἐντυχεῖν. εἰ δὲ γένοισθε
καρτεροὶ συνουσίαν τοιάνδε βαστάσαι, καὶ μὴ παντάπασιν
ὑμῖν ὑπὸ τῶν ἐπαίνων, οὓς ἀκούειν εἰώθατε, τὰ ὦτα ἐκ-
δεδιήτηται, ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγώ. Ἐμέ σοι πέμ-
πει Κυρήνη, στεφανώσοντα χρυσῷ μὲν τὴν κεφαλὴν, φι-
λοσοφίᾳ δὲ τὴν ψυχὴν, πόλις Ἑλληνὶς, παλαιὸν ὄνομα
καὶ σεμνὸν, καὶ ἐν ᾠδῇ μυρίᾳ τῶν πάλαι σοφῶν, νοῦ πέ-
νης καὶ κατηφὴς, καὶ μέγα ἐρείπιον, καὶ Βασιλέως δεόμε-
νον, εἰ μέλλοι τι πράξειν τῆς περὶ αὐτὴν ἀρχαιολογίας
ἐπάξιον. ταύτην μὲν δήμοι τὴν ἔνδειαν, ὅταν αὐτὸς ἐθέ-
λῃ, ἰάσῃ, καὶ ἐπὶ σοὶ βουληθέντι παρὰ μεγάλης τε καὶ εὐ-
δαίμονος ἤδη τῆς πατρίδος, τὸν δεύτερόν με διακομίσαι σοι
στέφανον. οἱ λόγοι δὲ, οὐδὲ νοῦ τι δέονται πόλεως, ὥστε

ἐλευθεροστομῆσαι καὶ Βασιλέα θαῤῥῆσαι. ἀλήθεια γὰρ ὁ λόγων εὐγένεια, καὶ διὰ τόπον οὐδείς πω λόγος αἰσχίων οὐδὲ κυδίων ἐγένετο. Ἰτητέον οὖν ἅμα τῷ Θεῷ, καὶ ἐγχειρητέον τῷ καλλίστῳ τῶν λόγων, ἀληθέστερον δὲ φάναι, τῶν ἔργων, ὁ γὰρ ἐνὸς ἀνδρὸς τοῦ Βασιλέως ἐπιμεληθεὶς, ὅπως ἂν ἄριστος εἴη, τὴν συντομωτάτην ἐβάδισεν ἐπὶ τὸ πάντας μὲν οἴκους ἐπανορθοῦν, πόλεις δὲ πάσας, ἔθνη τε πάντα, καὶ μικρὰ καὶ μείζω, καὶ τὰ γείτονα καὶ τὰ πόῤῥω, ἃ πάντα ἀπολαύειν ἀνάγκη τῆς ὁπῶς ποτε ἐχούσης τοῦ Βασιλέως ψυχῆς. Βούλει δὲ ποιῶμεν οὕτω τὴν πρώτην, ἵνα μοι καὶ περιμείνῃς τὸν λόγον; σοφὸν γὰρ ἂν εἴη μὴ προσοβῆσαι τὴν θήραν. λέγωμεν δὴ ἅ, τε χρεὼν εἴη Βασιλέα ποιεῖν, ἅ, τε μὴ χρεὼν, ἀντιπαρατιθέντες αἰσχρὰ καὶ σεμνά. σὺ δὲ τοῖς ἐξ ἑκατέρας μερίδος ἐφιστάμενος, ὅταν ἐπιγνῷς τι προσῆκον, τὸ μὲν ἀγαπᾷν, ὡς ὑπὸ φιλοσοφίας ἐγκεκριμένον, τὸ δὲ ἀποδιοπομπεῖσθαι, καὶ διανοεῖσθαι δή. τὸ μὲν, ὡς ἀεὶ ποιήσων, τὸ δὲ, ὡς οὐκέτ' αὖθις. Ἀλλὰ παρὰ τὸν καιρὸν τῶν λόγων, ἐπὶ τοῖς μὴ χρεὼν, οἷς ἡμεῖς τε, σύ τε σαυτῷ συνεπίστασαι, δυσχεραίνων τε φαίνου σαυτῷ καὶ ἐρυθριῶν, ὅτι δὴ πέφηνε σὸν, ὃ μὴ ἄξιον εἶναι σόν. τότοι χρῶμα τοῦτο, τὴν ἐκ μετανοίας ἀρετὴν ὑπισχνεῖται. καὶ αἰδὼς αὕτη θεία τέ ἐστι, καὶ Ἡσιόδῳ δοκεῖ· ὁ δὲ ἐπὶ τοῖς ἁμαρτανομένοις ἰσχυρογνώμων, αἰσχυνόμενος ὁμολογίαν ἀγνοίας, οὐ κερδαίνει γνῶσιν ἐκ μετανοίας, οὐδὲ δεῖται λόγων ἰατρῶν, ἀλλ' ἀνὴρ ἂν φαίη σοφὸς, ὅτι κολάσεως. Οὕτω που τραχεῖά τε ἐκ φροιμίου καὶ χαλεπὴ φιλοσοφία προσφέρεσθαι. αἰσθάνομαι γάρ τοι ἐνίων ὑμῶν ἐκπαραττομένων τε ἤδη, καὶ τὴν ἐλευθερίαν ἐν δεινῷ τιθεμένων. ἀλλ' ὑπεσχόμην τε οὕτω ποιεῖν, καὶ τῶν προγνόντων ἦν δήπου φράξασθαι καρτερῶς καὶ ἀντέχειν ταῖς ἐμβολαῖς. Καί τοι ταῦτα σύ τε χαίρεις ἀκούων, καὶ ἅπαντες

ὑμνοῦ-

ὑμνῆσαι· καίγωί σοι σύμφημι μέγεθος ἀρχῆς οὐ μικρὸν πόνδε παρεῖναι, καὶ πλῆτος θημώνας ὑπὲρ τὸν πάλαι Δαρεῖον, καὶ ἵππον πολλάκις μυρίαν, καὶ τὰς χρωμένας τοξότας τε καὶ θωρακοφόρους, πρὸς ἓς ἡγεμόνος τυγχάνοντες, ἀθανεῖς ἅπαν τὸ ἀνθισάμενον. πόλεις δὲ ἀριθμὸν νικῶσι προσκυνοῦσιν, καὶ ὁρώμενον αἱ πλείους, καὶ ἰδεῖν προσδοκῶσαι τὸ πρεῖττον εὔχεσθαι θέαμα. παῦτά σοι καὶ παρ' ἡμῶν ἅπαντος ἂν μᾶλλον ἀληθῆ λέγοιντο. Τί δὲ τὸ μὴ συμβαῖνον ἡμῶν ἐκείνοις; οἱ μὲν ἐντεῦθέν σοι πλέκκοιν ἔπαινον, καὶ καλοῦσιν εὐδαίμονα· ἐγὼ δὲ ἥκιστα μὲν ἂν ἐντεῦθεν ἐπαινέσαιμι, κάλλιστα δὲ ἂν μακαρίσαιμι. ἔστι δὲ ὁ μία φύσις, ἀλλ' ἕτερον ἑκάτερον, μακαρισμὸς καὶ ἔπαινος. μακαρίζεται μὲν γάρ τις ὅτι τοῖς ἔξωθεν, ἐπαινεῖται δὲ ὅτι τοῖς εἴδοθεν, ἐφ' ὧν δαιμονία τινὶ ἕδραν ἴσχει. κἀκεῖνο μὲν ὅτι τύχης ἀπέκμαρτον δῶρον, τὸ δὲ γνώμης οἰκεῖον ἀγαθόν. παῦτα καὶ τὸ μὲν ἔστι παρ' ἑαυτῷ βέβαιον· δυτυχία δὲ πλάνον. καὶ πολλάκις γε ἀντιθεμένου εἰς τοσῦτον τὸ ἀντικείμενον. καὶ δεῖ μὲν ἐπὶ τινὶ φυλακῇ αὐτῷ τῷ Θεῷ, δεῖ δὲ νῷ, δεῖ δὲ τέχνης, δεῖ δὲ καιρῷ, δεῖ δὲ ἔργων πολλῶν καὶ πολλαχῷ, καὶ πανταδαπῶν δὲ τόπων, ὧν ὅτε πειρά ὅτιν, ὅτε ἔχει πειραμένοις διάρειαν. ὁ γὰρ ὥσπερ καθαγίνεται τοῖς ἀνθρώποις μακαρισμὸς, ὅπως ἀπραγματεύτως διασώζεται, ἀλλ' ὁρᾷς γὰρ τίσι βίοις αἱ τραγῳδῶν σκηναὶ κεχορήγηνται. καὶ οὐκ ἀφ' ὧν δυσυχοῦσιν ἰδιῶται καὶ πένητες, ἀλλ' ἀφ' ὧν ἰσχυροὶ καὶ δυνάσται καὶ τύραννοι. ὁ γὰρ χωρεῖ μέγεθος συμφορᾶς οἰκία μικρὰ, οὐδὲ ὄγκον ἀτυχημάτων πτωχεία. τὸν δὲ λαμπρὸν ταῖς τύχαις, τοῦτό ἐστι καὶ κινδυνοῖς ὅπλοις ἁλῶναι καὶ θατέρᾳ μοιρίδι τοῦ δαίμονος. ἀλλὰ καὶ πολλάκις μοι ἤρξατο δυτυχίας ἀρετὴ, καὶ ἔπαινος ἡγήσατο μακαρισμοῦ τοῖς ἀνθρώποις, ὥσπερ αἰχμαλωσίας τῆς τύχης ἀρεταῖς ὅπλοις

λοις μὴ μαρτυρῆσαι. κἂν δέησῃ τῦτο πιςώσασθαι καὶ ἑτέρῳ δείγματι· μὴ θύραθεν αὐτὸ μετίωμεν, ἀλλ' ἐκ τῆς τοῦ πατέρα, καὶ ὅτι τῷ ἀρχικῷ αὐτῷ μισθὸν ἀρετῆς δοθεῖσαν, τύχη δὲ ἀρετῆς αἰτίτερος. ἀλλὰ τῷ γε κατ' ἀρετὴν ἔργων ἤδη τινὲς καὶ τύχῃ συνεπεσπάσαντο. Τίτος ἐναρέθμιος εἶπε, ὦ Βασιλεῦ, ἵνα μὴ μάτην δεῦρο φιλοσοφίᾳ φθέγγηται. εἰ σοι τὸ βασιλεύειν πύτῃ σεμνὸν, ὅτι τὴν ἀρετὴν ἐγύμνασε καὶ παρήγαγε δεσμεύειν ὕλης ἀποχώσης οἰκείῳ μεγέθει, καὶ οὐκ ἂν χωρισθεῖσαν ἐν ὑποθέσει βίᾳ βασιλείας ἐλάττονι. Ἀσπαστέον δὲ τὴν ψυχὴν ἔχειν βασιλικῶς, καὶ ἀποδεκτέον ὑπὲρ τῆς τύχης, ἵνα μὴ ἀλογίας διώκηται. ὡς οὐχ ὁμοίοις προιμίοις σοί τε καὶ τῷ πατρὶ προῆλθεν ὁ βίος. τῷ μὲν ἡ στρατεία βασιλείαν παρέξεσε, σὲ δὲ στρατεύειν τὸ βασιλεύειν, καὶ ὀφείλεις ἀρετῇ τῇ τύχῃ. ὁ μὲν τἀγαθὰ πόνοις ἐκτήσατο, σὺ δὲ αὐτὰ ἀπόνως ἐκληρονόμησας. Δεῖ δὴ πόνων ἐπὶ τὴν φυλακήν, καὶ τοῦτ' ἔστιν ὃ πάλαι λέγω τὸ χαλεπὸν καὶ μυρίων ὀμμάτων δεόμενον, μὴ ὅπερ εἴωθεν ἡ τύχη ποιεῖν, ἀναπάμψῃ μεταξὺ τῆς ὁδοῦ, καθάπερ οἱ μοχθηροὶ τῷ σωφρονοῦντι πόρων. τίτοις γέτοι τὸ ἀσφάλιστον αὐτῆς οἱ σοφοὶ προσεπιτάζουσιν. Ὁρᾷς ὅτι καὶ τῷ πατρὶ, καίτοι σαφῶς ὑπὸ καταπλήξεως ἡμυσμένῃ τῆς ἀναρρήσεως, οὐδὲ τὸ χεῖρας ἀνοίγειν ἀφῆκεν ὁ φθόνος. ἦκεν οὐδὲ ὁ Θεὸς ἀσφαλῶς. ἀλλ' ὑπὸ δύο τυραννίδας ἐλθὼν, καὶ ἄμφω βαλὼν, ὑπὸ τῷ δευτέρῳ βοσπαίῳ καταλύει τὸν βίον, ἀνθρώπων μὲν ὑδενὶ, τῇ δὲ φύσει συγχωρήσας, πρὸς ἣν ἅτε ὅπλον ἰσχυρὸν, ἅτε ῥᾳδιούργημα, ἐντάφιον ἔχει τὴν ἀρετὴν, ἀδήλητον ὑμῖν τῶν βασιλείων καταλιπών. ἣν σώζοι μὲν ὑμῖν ἀρετὴ, σώζει δὲ καὶ τῆς ἀρετῆς ὁ Θεός. Ὡς ἀπαιτητέον δεῖ Θεῷ, καὶ οὐχ ἥκιστα παρ' οἷς μὴ ἀθλητικῶς, μηδὲ αὐταρχεῖς, ἀλλ' ὥσπερ ὑμῖν κληρονόμοις τῆς τύχης, ἧς ὅτῳ πλεῖστον ἐνεμήσατο ὁ Θεὸς,

ὁ Θεὸς, καὶ ὃν ἔτι κομιδῇ παῖδα μέγαν Βασιλέα καλεῖσθαι πεποίηκε, τοῦτον δεῖ πάντα μὲν πόνον αἱρεῖσθαι, πᾶσαν δὲ ῥαστώνην ἀπολιπεῖν, ὕπνου μὲν ὀλίγον, φροντίδων δὲ πλεῖστον μεταλαγχάνοντα, εἰ μέλλοι τις τὸ Βασιλέως ὄνομα προσῆκον αὐτῷ περικεῖσθαι. Εὖ γὰρ ὁ παλαιὸς ἔχει λόγος, ὡς οὐ τὸ πλῆθος τῶν ὑπηκόων ποιεῖ Βασιλέα, οὐ μᾶλλον ἢ τύραννον. ἐπεὶ μηδὲ πλῆθος προβάτων ποιεῖ ποιμένα, οὐ μᾶλλον ἢ μάγειρον, ὃς ἐλαύνει κατακόψων αὐτὰ, καὶ ἐμφορηθησόμενός τε αὐτὸς, καὶ ἄλλοις δεῖπνον ἀποδωσόμενος. Ἴσοις ὅροις φημὶ Βασιλέα τε καὶ τύραννον διεστάναι. καίτοι τὰ παρὰ τῆς τύχης ἀμφοῖν ὅμοια. ἄρχουσιν ἑκάτερος ἀνθρώπων πολλῶν. ἀλλ' ὃς μὲν ἂν ἑαυτὸν συντάττῃ τῷ φαινομένῳ τῶν ἀρχομένων καλῷ, καὶ ἐθέλῃ μοχθεῖν, ἵνα μηδὲν ἐκείνοις ᾖ μοχθηρὸν, καὶ προκινδυνεύειν, ἵνα ἐπ' ἀδείας ἐκεῖνοι βιοτεύωσι, καὶ ἀγρυπνεῖν, καὶ συνεστιᾶσθαι μερίμναις, ἵνα νύκτωρ καὶ μεθ' ἡμέραν σχολάζωσι δυσχερῶν, οὗτός ἐστιν ἐν προβάτοις μὲν ποιμὴν, ἐν ἀνθρώποις δὲ Βασιλεύς. ὅστις δὲ ἀπολαύει τῆς ἡγεμονείας εἰς ξυφὴν, καὶ καθηδυπαθεῖ τὴν ἐξουσίαν, οἰόμενος δεῖν ἐμπιπλάναι τὰς ἑαυτοῦ πάσας ὀρέξεις, ὅθεν οἰμώξεται τὸ ἀρχόμενον, τοῦτο κέρδος τοῦ πολλῶν ἄρχειν τιθέμενος, τὸ παρὰ πολλῶν αὐτῷ θεραπεύεσθαι τῆς ψυχῆς τὸ ἡδόμενον. καὶ καθάπαξ εἰπεῖν, ὅστις οὐ πιαίνει τὴν ἀγέλην, ἀλλ' αὐτὸς ὑπὸ τῆς ἀγέλης θέλει πιαίνεσθαι, τοῦτον καλῶ μάγειρον ἐπὶ βοσκημάτων, τοῦτον ἀποφαίνω τύραννον, ὅταν ᾖ δῆμος ἄλογος τὸ ἀρχόμενον. Εἷς οὗτος βασιλείας σοι γνώμων, σὺ δὲ ἤδη σαυτὸν πρόσαγε τῷ βασανιστηρίῳ. κἂν μὲν ἐφαρμόζῃς, χρῆσαι δικαίως τῇ σεμνῇ προσηγορίᾳ τοῦ σεμνοῦ πράγματος, ἀφαρμόζων δὲ, ἐπανορθοῦν πειρῶ τὰ διάστροφα, καὶ τῷ κανόνι προσφύεσθαι. οὐ γὰρ ἀπογινώσκω τῆς ἡλικίας χωρῆσαι πᾶσαν ἐπίδοσιν, μόνον εἴτις αὐτὴν

εἰς ζῆλον ἀρετῆς μιμησόμενον. ἰσχυρὸν γὰρ ἡ νεότης ἐφ' ἑκάτερα ῥοπῇ, ὥσπερ οἱ ποταμοὶ ταῖς δοθείσαις ὁδῶν ἀφορμαῖς, ἁπλησόπερον ἐπεξέρχονται. ταύτῃ χὴ δεῖ τῷ νέῳ βασιλεῖ φιλοσοφίας, ἡ προλαμβανούσης αὐτὸν, ἢ ὠθιλχούσης ἀπὸ τῆς εἰς ἑκάτερον ἐκροῆς. ἄμμι μὲν γὰρ ἄλλαις ἀρεταῖς καλαὶ γείτονες, χὴ ἀφ' ἑκάστης ὁλισθος ἐκ εἰς ἑτέραν, ἀλλ' εἰς τὴν γείτονα. βασιλεία δὲ τυραννὶς παροικεῖ χὴ μάλα ἀγχίθυρος, καθάπερ ἀνδρεία μὲν θρασύτης, ἐλλιθεριότητι δὲ ἀσωτία. χὴ ὁ μεγαλόφρων, ὢν μὴ ἀβλὴ φιλοσοφίας εἴσω τῆς τῆς ἀρετῆς ὅρων φυλάττεται, προκύψας, ἀλαζὼν ἔσται χὴ φαῦλος τὴν γνώμην ἀντὶ τοῦ μεγαλόφρονος. μὴ τοίνυν ἄλλην, ἀλλὰ τὴν βασιλείας νόσον τὴν τυραννίδα δείδιθί τε χὴ ἀγνόησον, χαράκτῃρσι τοῖς πεθείσιν ὑπὸ τοῦ λόγου χὴ ὡμίλμους. μιμήσῃ δέ, ὅτι Βασιλέως μὲν ἔστι ξόανον ὁ νόμος· τυραννὶς δὲ ὁ ξόανος νόμος· ἡ δὲ ἐξουσία κοινή τις ἔστιν ὕλη, χὴ μαχομένων τῆς βίων. Εὐμοιρίας μὲν ὖν χὴ δαιμονίας τὸ ἄκρα πατεῖ πᾶς, ὅτῳ φύσει πάντα μὲν ἔπεται τῇ βελήσει. ἕπεται δὲ ἡ βέλησις τῇ φρονήσει, χὴ δεσπότις ἅσα τῶν ἔξω, ὑπεχωρεῖ τῆς ἀρχῆς τῇ σωφρονοῦντι τῇ κρείττονι, χὴ δέχεται παρ' αὐτῆς τὰ τῶν πραχτέων συνθήματα. ἡ δὲ ἀπέχρη δυνασεία πρὸς δαιμονίαν, ἐν ᾧ ἐν ἰσχύϊ τὸ μανθάνειν ἔθηκεν ὁ Θεὸς, ἀλλὰ δεῖ παρεῖναι, μᾶλλον δὲ προεῖναι τὴν φρόνησιν, ἥτις αὖ κάλλιστα τῷ δυνάσθαι χρῆσαι το. χὴ τοῦτον ἐγὼ τελεώτατον ἄνδρα χὴ βίον ἀνανορθῶ, τὸν ἄρτιον ἀπ' ἀμφοῖν, χὴ τὰ θατέρα σπάζοντα, ὃς ἄρχειν ἐλαχον, ἄρχειν εἰδώς. ὡς ἔστιν ἄμαχον, ὅταν ἰσχὺς χὴ σοφία συγγενώνται· διαληφθεῖσαι δὲ ἀπ' ἀλλήλων, ῥώμη ἀμαθὴς, χὴ φρόνησις ἀδυνὴς, δύχειρωτοι γίνονται. Καὶ ἐγὼ τοῦτο τῶν σοφῶν Αἰγυπτίων ἐθαύμασα, τὸν Ἑρμῆν. Αἰγύπτιοι διπλῶν ποιοῦσι τὴν ἰδέαν τὸ δαίμονος, νέον

ἰσάν-

ἱστάντες τοῖς πρεσβύτῃ, ἀξιοῦντες, εἰπέρ τις αὐτῶν μέλλοι καλῶς ἐφορεύσειν, ἔννουν τε εἶναι καὶ ἄλκιμον, ὡς ἀτελὲς εἰς ὠφέλειαν θάτερον τοῖς θάτερον. Ταῦτ' ἄρα καὶ ἡ Σφὶγξ αὐτοῖς ἐπὶ τῶν προτεμενισμάτων ἱδρύεται, τοῦ συνδυασμοῦ τῶν ἀρετῶν ἱερὸν σύμβολον, τὴν μὲν ἰσχὺν, θηρίον, τὴν δὲ φρόνησιν, ἄνθρωπος. ἰσχύς τε γὰρ ἔρημος ἡγεμονείας ἔμφρονος ἔμπληκτος φέρεται, πάντα μιγνύουσα, καὶ ταράττουσα πράγματα· καὶ νοῦς ἀχρεῖος εἰς πρᾶξιν ὑπὸ χειρῶν οὐχ' ὑπηρετούμενος. Κόσμος μὲν οὖν Βασιλέως, ἀρεταὶ πᾶσαι. φρόνησις δὲ ἁπασῶν βασιλικωτέρα. ταύτην μοι ποίησαι πάρεδρον· ἕψεται γὰρ ἡ τριττὺς τῇ πρεσβυτέρᾳ τῶν ἀδελφῶν. καὶ πάσας εὐθὺς ἕξεις συσκήνους καὶ συστρατιώτιδας ἐπὶ σοί. Λόγον ἐρῶ τοῦτον ἄτοπον ὡς εὐθὺς ἀκοῦσαι, παντὸς δὲ δήπου τῆς ἀληθείας ἐχόμενον. ὅταν ἐγὼ ἀσθένειαν πρὸς δύναμιν ἐξετάζω, καὶ πενίαν πρὸς πλοῦτον, καὶ τὰς ἐν ἅπασι μειονεξίας πρὸς τὰς ἐν ἅπασι πλεονεξίας, εἰ δίχα φρονήσεως καθαραὶ πρὸς ἀλλήλας κρίνοιντο, πενία τε καὶ ἀδυναμία καὶ βίος ἰδιώτης, ἀντὶ τῆς μεγίστης ἡγεμονείας, εὐτυχέστεραι παρεῖναι τοῖς ἥκιστα ἐπηβόλοις νοῦ καὶ φρονήσεως. ἐλάττω γὰρ ἄρα ἐξαμάρτοιεν, τῆς ἐν τῇ γνώμῃ κακίας οὐχ' εὑρισκούσης πρόοδον εἰς ἐνέργειαν. Τὰ γὰρ θυραῖα τῶν ἀγαθῶν, ἅπερ ὀργανικὰ καλεῖν ἔθος Ἀριστοτέλει καὶ Πλάτωνι, τοῖς ἐμοῖς ἡγεμόσιν, ὑπηρετεῖν οἶδε κακίαις οὐ μεῖον, ἢ ἀρεταῖς. ταύτῃ καὶ τῷ Ἄνδρε τούτῳ, καὶ ὅσοι γε ἀπὸ τούτων ῥύακες φιλοσοφίας ἐρρύησαν, οὔτε τῆς ἀμείνονος αὐτοὶ προσηγορίας ἠξίωσαν, οὔτε τῇ χείρονι κατεδίκασαν, ἀλλ' ὀργανικὰ καλοῦσι, νῦν μὲν ἀγαθὰ, νῦν δὲ κακὰ, ταῖς τῶν χρωμένων ἕξεσιν αὐτὰ χρωματεύοντες. Ὥσπερ οὖν εὐχῆς ἄξιον ἀπεῖναι τοῦ φαύλου τὰ ὄργανα, ὅπως ἀνενέργητον ἔχῃ τὴν μοχθηρίαν, οὕτω παρεῖναι τῷ καλῶς χρησομένῳ, οὗ πάντες ἂν, καὶ πόλεις,

λεις, καὶ ἰδιῶται ὀνίναιντο, ἵνα μὴ ἀχρεία καὶ ἄπρακτος ἀρετῆς φύσις ἀγνοουμένη μαραίνηται, ἀλλ' εἰς ἀνθρώπων εὐεργεσίας δαπανήσῃ τὴν δύναμιν. Οὕτω μοι χρῶ τοῖς προκειμένοις ἀγαθοῖς. καὶ γὰρ μόνως ἂν οὕτως ἀγαθοῖς χρήσαιο. Ἀπολαυόντων οἶκοι, καὶ πόλεις, καὶ δῆμοι, καὶ ἔθνη, καὶ ἤπειροι, προνοίας Βασιλικῆς καὶ κηδεμονίας ἔμφρονος, ἣν ὁ Θεὸς, αὐτὸς ἑαυτὸν ἐν τοῖς νοητοῖς στήσας ἀρχέτυπον δίδωσιν εἰκόνα τῆς προνοίας, καὶ ἐθέλει τὰ τῇδε τετάχθαι κατὰ μίμησιν ὑπερκόσμιον. Φίλος οὖν τοῦ μεγάλου Βασιλέως ὁ δεῦρο ὁμώνυμος, ἂν μὴ ψεύδηται τοὔνομα. οὐ ψεύδεται δὲ, ἂν καὶ θάτερον παρῇ τῶν ὀνομάτων τοῦ Θεοῦ· ὃ πρὶν εἰπεῖν, οὐκ ἂν ἄκαιρον εἴη διαλεχθῆναί τι τῶν παρὰ φιλοσοφίας, ἐνθάδε σαφήνειαν προοικονομούμενον. Οὐδὲν οὐδαμούπω πέφηνεν ὄνομα τῆς οὐσίας ἁπτόμενον τοῦ Θεοῦ, ἀλλ' ἀτευκτοῦντες αὐτοῦ τῆς ἐμφάσεως ἄνθρωποι, διὰ τῶν ἀπ' αὐτοῦ ψαύειν ἐθέλουσιν αὐτοῦ. κἂν πατέρα τὸν Ποιητὴν, κἂν ὁτιοῦν εἴπῃς, κἂν ἀρχὴν, κἂν αἴτιον, ταῦτα πάντα σχέσεις εἰσὶν αὐτοῦ πρὸς τὰ παρ' αὐτοῦ. καὶ Βασιλέα τοίνυν εἰπὼν, ἀπὸ τῶν βασιλευομένων, ἀλλ' οὐκ αὐτοπροσώπως ἐπεχείρησας τῆς φύσεως αὐτοῦ δράξασθαι. Νῦν οὖν ἐρῶν ἔρχομαι καὶ τὸ λοιπὸν τῶν ὀνομάτων, ὅπερ ὑποσχόμενος ὑμῖν, εἰς καιρὸν τοῦτον ἀνήρτησα. καὶ τί τοῦτ' ἔστι τὸ συντεταγμένον καὶ συγχωρούμενον τῷ δεῦρο βασιλεῖ, ὃ κυροῦν ἔφην αὐτὸν, καὶ ἀποφαίνειν τυχόντα καὶ οὐ ψευδώνυμον; Ἀγαθόν που τὸν Θεὸν ὑμνοῦσιν ἅπαντες ἁπανταχοῦ καὶ σοφοὶ δῆμοι, καὶ ἄσοφοι. καὶ ταύτῃ συγχωροῦσιν ἀλλήλοις καὶ ὁμοφωνοῦσιν ἅπαντες, οἱ τὰ ἄλλα διαστάντες περὶ τὰς ὑπολήψεις τοῦ θείου, καὶ τὴν ἀκήρατον αὐτοῦ καὶ ἀμερῆ φύσιν, δόξαις ἑτερογνώμοσι μερισάμενοι. Ἀλλάτοι καὶ τοῦτο τὸ ἀγαθὸν τὸ ἀναμφισβήτητον οὔπω μηνύει τοῦ Θεοῦ τὴν ἐν τῷ εἶναι ἕδραν. ἠρανίσται δὲ ἀπὸ τῶν ὑστέρων. Οὐ γὰρ ἀπό-

λυ-

λυτον εἰς ἀκοὴν ἔρχεται τ' ἀγαθὸν, ἀλλ' ἐκείνοις ἀγαθὸν, ὧν ἐστὶ πρακτικὸν, καὶ οἷς ἐστὶν ἀπολαυστόν. τοῦτο γὰρ ἡ διάνοια βούλεται τοῦ ὀνόματος ἐφερμηνεύειν τὸν Θεὸν αἴτιον ἀγαθῶν. ἱεραί τε ἐν τελεταῖς ἁγίαις εὐχαὶ Πατέρων ἡμῶν ἐκβοῶσαι πρὸς τὸν ἐπὶ πᾶσι Θεὸν, οὐ τὴν δυναστείαν αὐτοῦ κυδαίνουσιν, ἀλλὰ τὴν κηδεμονίαν προσκυνοῦσιν. Ὅ, τε οὖν Θεὸς δωρητικός ἐστιν ὧν προσήκει Θεῷ, ζωῆς καὶ οὐσίας, καὶ νοῦ, καὶ εἰ δήτι τῶν ὑστέρων οὐκ ἀνάξιον ἥκειν παρὰ τοῦ πρώτου. σοὶ δ' ἂν προσήκοι μὴ λιπεῖν τὴν τάξιν καθὼς ἐτάχθης, μηδὲ αἰσχύνειν τὰς ὁμωνυμίας, ἀλλ' ἐπιτίθεσθαι τῇ μιμήσει· ἐπικλύζειν μὲν ἀγαθοῖς ἅπασι τὰς πόλεις, καταχεῖν δὲ εὐδαιμονίαν, ὅση δυνατὴ τῶν ἀρχομένων ἑκάστῳ. οὕτω Βασιλέα μέγαν ὀνομάζοντες, ἐπαληθεύοιμεν, τὴν τιμὴν οὐκ ἔθει διδόντες, οὐ θεραπεύοντες χρείαν, οὐκ ὀργὴν παραιτούμενοι, ἀλλ' αὐτῷ τῷ κρίνοντι τῆς ψυχῆς ἐπινεύοντες, ἀδόλῳ γνώμης ἑρμηνεῖ τῇ γλώττῃ χρώμενοι. Φέρε δή σοι γράψω λόγῳ τὸν Βασιλέα, ὥσπερ ἄγαλμα στήσας. σὺ δὲ τὸ ἄγαλμα τοῦτο κινούμενον ἐπιδείξεις, καὶ ἔμπνουν γενόμενον. οὐκοῦν συμπαραλήψομαι μὲν εἰς δημιουργίαν, εἰ τοῦτο δέοι, τῶν τοῖς παλαιοῖς τε καὶ μακαρίοις ἀνδράσιν ἐπὶ νοῦν ἐλθόντων. σὺ δὲ μηδὲν ἧττον αὐτὰ τῶν ἄλλων, ἀλλὰ μᾶλλον ἀγάπα, ὡς ἀδηρίτως προσήκοντα βασιλεῖ, περὶ ὧν ὁμοίως φρονοῦσι παλαιοί τε καὶ νέοι σοφοί. Εὐσέβεια δὲ πρῶτον ὑποβεβλήσθω κρηπὶς ἀσφαλὴς, ἐφ' ἧς ἐστήξει τὸ ἄγαλμα ἔμπεδον, καὶ οὐ μήποτε αὐτὸ περιτρέψῃ χειμὼν τῆς κρηπίδος ἐχόμενον, αὕτη μὲν δὴ καὶ συναναβήσεται καὶ πολλαχοῦ φανεῖται, πρὸς τῇ κορυφῇ δὲ οὐχ ἥκιστα. Ἔνθεν ἑλὼν, φημὶ δεῖν, ἡγουμένου Θεοῦ, τὸν Βασιλέα πρῶτον αὐτὸν αὑτοῦ Βασιλέα εἶναι, καὶ μοναρχίαν ἐν τῇ ψυχῇ καταστήσασθαι. Εὖ γὰρ ἴσθι τοῦτο, ὡς οὐχ ἁπλοῦν τι χρῆμα, οὐδὲ μονοειδὲς ἄνθρωπος, ἀλλὰ συνῴ-

νώκισεν ὁ Θεὸς εἰς ἑνὸς ζώου σύστασιν, ὄχλον δυνάμεων παμμιγῆ τε καὶ πάμφωνον. καὶ ἐμοὶ ὕδρας οἶμαι θηρίον ἀποπαύτερον, καὶ μᾶλλόν τι πολυκέφαλον. ἃ γὰρ αὐτῷ δήπου νοοῦμεν, καὶ ὀρεγόμεθα, καὶ λυπούμεθα, καὶ αὖθις αὐτῷ καὶ θυμούμεθα, καὶ ὅθεν ἡδόμεθα, καὶ φοβούμεθα. ἀλλ' ὁρᾷς ὡς σοὶ μὲν ἄρρεν ἐν πᾶσι, σοὶ δὲ θῆλυ, καὶ θαρραλέον τε καὶ δειλόν, σοὶ δὲ τὰ παντοδαπῶς αὐτιπείμενα. σοί δέ τις ἡ μέση ἕξις δὴ πάντων φύσις, ἣν νῦν καλοῦμεν. ὃν ἀξιῶ βασιλεύειν ἐν τῇ τοῦ Βασιλέως ψυχῇ, τὸν ὀχλοκρατίαν τε καὶ δημοκρατίαν τῶν παθῶν καταλύσαντα. ἀφ' ἑνὸς γὰρ ὧν ἅπας βασιλεύσεται τῇ καθ' φύσιν ἀρχῇ τῆς ἡγεμονείας χρησάμενος· ὡς ὅστις γε τὰς ἀλόγους τῆς ψυχῆς μοίρας τιθασευθείς καὶ χειροήθεις ποιήσας, κατηκόους τῷ λόγῳ παρέχεται, εἰς μίαν ἡγεμονείαν ἄμφονα συνταξάμενος τὸ πλῆθος, ἅπερ ἐστὶν ὁ θεῖος, καὶ ἰδιώτης καὶ Βασιλεύς· μᾶλλον δὲ Βασιλεύς, ὅτι τῷ ἀρετῷ ἅπερ ἔθυσιν ὅλοις κοινᾶται, καὶ τῷ ἑνὸς ἀγαθῶν πολλοὶ ἐπαυξάνονται ἄνθρωποι· Τούτῳ γὰρ ἀνάγκη τὸ σύνδουλον ἀστασίαστον ἀλλήλων εἶναι, καὶ μέχρι προσώπου γαλεώτου σῶον. καὶ ἔστιν ἀφοβερόν, ἀλλ' ὑπέρσεμνον θέαμα, ἐν αἰδοῖ ἀκούμενον ἀλλήλοις, φίλους μὲν, πιστὸν δὲ εἰπεῖν ἀγαθοὺς, ἐκπλήττως; πῶς δὲ ἐχθροὺς καὶ πονηροὺς καταπλήττων, μετάνοια δὲ ἐν ἐμβατεύει τῇ τοῦ ψυχῇ· πράττει γὰρ ὅ,τι ἂν πράττῃ, δεδογμένα πᾶσι τοῖς μέρεσι τῆς ψυχῆς πρώτων, τῷ πώποτε παρὸς μίαν ἀρχὴν κεκοσμῆσθαι, καὶ μὴ ἀπαξιῶσαι μέρη τι εἶναι, καὶ εἰς τὸ ὅλον συνιέναι. Ὅστις δὲ διοικίζει τὸν προσβολὴν τῶν μερῶν τινων, ἐνδοὺς αὐτοῖς εἰς ἐνέργειαν πολλοῖς εἶναι, καὶ καθ' μέρος ἐθέλειν ἀναπείθειν τὸ ζῶον, τοῦτο ὄφει, νοῦν μὲν ὑφῆ τῷ γνώμῳ, νοῦν δὲ ὕπτιον, παραχυμένον, νοῦν μετ' ὁρμῆς, νοῦν δὲ φυγῆς, καὶ λύπαις, καὶ ἡδοναῖς, καὶ πόποις ὀρέξεσιν. ὁμολογεῖ δὲ καὶ πο-

ποτε ἔτος αὐτὸς ἑαυτῷ. Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά, θυμὸς δὲ κρείττων τῶν ἐμῶν βουλευμάτων, ἐμφυτις, ὀργὰς τὸν ἑτερόφυτα, καὶ διχόνοιαν τῶν ἴσων διαιρέσεων. Τὸ πότοι φρῶτον καὶ σφόδρα βασιλικὸν αὐτὸν ἑαυτῷ βασιλεύειν, τὸν νῦν ὑπισχνούμενον τῷ συνοίκῳ θηρίῳ, καὶ μὴ κρατεῖν ἀξιοῦντα πολλάκις μυρίων ἀνθρώπων, εἶτα αὐτὸν δοῦλον εἶναι δεσποινῶν αἰσχίστων, ἡδονῆς, καὶ λύπης, καὶ ὅσοι σύγγονοι θῆρες ἐνδιαιτῶνται τῷ ζώῳ. Ἐντεῦθεν δὲ ἤδη παρ' ἑαυτῷ προϊὼν ὁ Βασιλεὺς φρόνοις ἐντυγχάνει τοῖς πέλας τε καὶ τοῖς φίλοις, μεθ' ὧν συνεσώπων περὶ τῶν ὅλων βουλεύσεται. πάντας προσερεῖ φίλους, ὑ κατεφανδόμβους τὸ ὀνόματος, ὑδὲ ὥσπερ οἱ κολάζοντες τὸν ἔχθρον, καὶ φρόσαντες τῆς δεσποτείας, ἔργῳ φιλανθρωπότερῳ τῆς ἀληθείας ἐνόμιζε. τί γὰρ τιμᾶ βασιλικὸν ὑπότων, ὥσπερ ὁ συνὼν φίλος; τίς εὐτυχίας κοινωνὸς ἥδιον; τίς δὲ δυσχεραίνειν χείρω τύχης βουλὼ ἀσφαλέστερος; τίς ἀδολώτερος εἰς ἔπαινον; τίς εἰς πλήττουσαν ὑπόθεσίαν ἀλυπώτερος; εὐγνώμονος δὲ Βασιλίως ποῖον ὑπηδιλότερον τῷ πλήθει τοκμήριον, ἢ εἰ φαίνοιτο ζηλωτὰς ποιῶν ἀεὶ τοὺς σωφρόντας; ὅπου δὲ καὶ τοῖς πόρρωθεν ἐρασὸς ἂν εἴη, καὶ γενοίτο ἂν ἀγαθοῖς εὐχὴ τεύξασθαι φιλίας βασιλικῆς· ὧν πάντα τοῖς τυράννοις ὑπάρχει, δι' ἃς ἡ κομψὴ παροιμία, πόρρω Διός τε καὶ κεραυνοῦ, ἀλλὰ τὰς ἐμβέλως τοῖς σωφροσι χαμαιρύσας, ἀδεέστερον εἶναι λέγουσα μετ' ἀναγμοσωφρόνης ἀσφάλειαν, τῶν ἐν ὑπόφαυσι βίῳ κινδύνων. ὁ δὲ ἐφθασότις μανθάνειν τῆς τυράννου φιλίας, καὶ πλεόνων τῆς ἐχθρας. Ἀλλ' ἄγε Βασιλεὺς οἶδε, ὡς τὸ μὲν ἄυπαρκες ἐν Θεῷ, καὶ ἀρχαία Θεοῦ ἰσότης τῶν ἀρχομένων ὑπερκείμενος. ἀνθρώπῳ δὲ ἀνθρώπων ἄρχοντι πολλῶν καὶ ὁμοίων, ὁκ αὐτάρκης ἡ φύσις εἰς ἅπαντας ἔργα ἀφελόντων· ἐώμενος δὲ τὸν τῆς φύσεως σύνδεσμον συν-

συνουσιοῦται τοῖς φίλοις, τὴν δύναμιν ἑαυτοῦ πολυπλασιάζων. οὕτω γὰρ τοῖς ἁπάντων μὲν ὀφθαλμοῖς ὄψεται· ταῖς ἁπάντων δὲ ἀκοαῖς ἀκούσεται, καὶ ταῖς ἁπάντων γνώμαις εἰς ἓν ἰούσαις βουλεύσεται. Παραφυλακτέον μέντοι, καὶ μάλα ὅλῃ τῇ γνώμῃ, καὶ εἴγε δυνάμεθα ἅπασι τοῖς ἐν ταῖς αὐλαῖς ὅπλοις ἐπὶ τούτῳ χρῆσθαι, μὴ λάθῃ παρεισδῦσα κολακεία, τὸ φιλίας πρόσωπον περικειμένη. ὑπὸ μόνης γέτοι ταύτης, καὶ ἀχρυπνούντων τῶν δορυφόρων, λῃστεύεται βασιλεία. εἰσφέρεται γάρ, ἢν μὴ καὶ πάνυ ἐρύκηται, μάλα ἐνδοτέρω τῶν ταμιείων, καὶ ἐπιχειρεῖ τῷ κυριωτάτῳ τῶν Βασιλέων, αὐτῇ τῇ ψυχῇ. Ἐπεὶ τό γε φιλαίτερον οὐχ ἥκιστα ἀρετὴ Βασιλέως. τοῦτο γέ τοι καὶ Κῦρον τὸν πάνυ, καὶ Ἀγησίλαον ὀνομαστοτάτους Βασιλέων ἐν Ἕλλησι καὶ βαρβάροις ἐποίησε. Γνώσεται μὲν δὴ τὰ ποιητέα, καὶ γνώμην ἐν τοῖς φίλοις κυρώσει. ἵνα δὲ ἔργα γένηται, χειρῶν αὐτῷ δεῖ πολλῶν. Ὁ δὲ λόγος βαδίζων ἐξάγει τὸν Βασιλέα τῶν Βασιλείων, καὶ μετὰ τοὺς φίλους τοῖς στρατιώταις δίδωσι, δευτέροις δὴ τούτοις φίλοις, καὶ καταβιβάσας εἰς τὸ πεδίον, ἐξεταστὴν ἀνδρῶν καὶ ὅπλων καὶ ἵππων ποιεῖ, ἔνθα καὶ ἱππεῖ συνιππεύσει, καὶ πεζῷ συνθεύσεται, καὶ συνοπλιτεύσει τῷ ὁπλίτῃ, καὶ τῷ πελταστῇ συμπελτασθήσεται, καὶ συνακοντιεῖ τῷ γυμνίτῃ, τῇ κοινωνίᾳ τῶν ἔργων εἰς ἔμψυχον ἑταιρείαν ἕκαστον προσαγόμενος, ἵνα μηδὲ πρὸς τούτους εἴρων ᾖ, συστρατιῶτας καλῶν, ἀλλὰ δημηγοροῦντα ἐπιγινώσκωσιν αὐτὸν, καὶ μαρτυρῶσιν ὡς ἐκ τῶν ἔργων ἄρα τὸ ὄνομα λέγεται. Δυσχεραίνεις ἴσως ὅτι σοὶ πονεῖν ἐπιτάττομεν. ἀλλ' ἐμοὶ σὺ πείθου, βασιλικοῦ σώματος ἐλάχιστα πόνος ἅπτεται· ὅς τις γὰρ οὐ λανθάνει πονῶν, τοῦτον ἥκιστα πόνος νικᾷ. Βασιλέως δὲ σωμασκοῦντος, καὶ θυραυλοῦντος, καὶ ὅπλοις ἐννεάζοντος, οἱ πανταχοῦ δῆμοι θέαστόν εἰσι. τῶν τε γὰρ παρόν-

ρόντων ἐπιστρέφει τὰ ὄμματα, καὶ οὐδεὶς ἀλλαχόσε βλέπειν ἀνέχεται, Βασιλέως ἐν ἀπόπτῳ τι δρῶντος, καὶ τῶν ἁπαντων ἐνηχεῖ τὰ ὦτα πᾶν ἔργον Βασιλέως ᾠδὴ γενόμενον. Δυνάται δὲ ὁ συνεθισμὸς οὗτος, τῷ μὴ σπάνιον εἶναι τὸν Βασιλέα θέαμα στρατιώταις, εὔνοιάν τε αὐτοῦ, καὶ μάλα ἐρρωμένην δημιουργεῖν τῶν στρατιωτῶν ταῖς ψυχαῖς· καὶ τίς ἰσχυροτέρα βασιλεία τῆς ἔρωτι τετειχισμένης; τίς δὲ ἰδιώτης καὶ μικρὰ πράττων, ἀδεέστερός τε καὶ ἀνεπιβουλευτότερος ἐκείνου Βασιλέως, οὐχ ὃν δεδίασιν, ἀλλ' ὑπὲρ οὗ δεδίασιν οἱ ὑπήκοοι; Τὸ δήτοι στρατιωτικὸν τοῦτο φῦλον ἁπλοϊκόν τέ ἐστι καὶ γενναῖον, καὶ ὑπὸ συνηθείας ἁλώσιμον· καὶ Πλάτων φύλακάς τε καλεῖ τὸ μαχητικὸν γένος καὶ κυνὶ μάλιστα προσεικάζει, θηρίῳ γνώσει καὶ ἀγνοίᾳ κρίνοντι τέ, τε φίλον, καὶ τὸ πολέμιον. τί δ' ἂν αἴσχιον γένοιτο Βασιλέως, ὃν διὰ τοὺς ζωγράφους ἐπιγινώσκουσιν οἱ προπολεμοῦντες; Ὀνήσεται δὲ οὐ μόνον τοῦτο τῆς πυκνῆς ἐπιμιξίας, τὸ καθάπερ ἓν σῶμα συμφυὲς τὸ στράτευμα περικεῖσθαι, ἀλλὰ καὶ πολλὰ τῶν τοῖς τοιοῖσδε καιροῖς γενομένων τὰ μὲν ἐστι μελέτη πολεμικῶν ἔργων, τὰ δὲ ἐστι στρατηγίας προτέλεια, καὶ παρασκευαί τινες, ἃ πρὸς τὰ μείω τε, καὶ σπουδαῖα διεγείρει. οὐ γάρ τοι σμικρὸν ἐν χρείᾳ δορὸς ὀνομάσαι μὲν στρατηγὸν, ὀνομάσαι δὲ ὑποστράτηγον, καὶ ἰλάρχην, καὶ ταγματάρχην, καὶ σημαιοφόρον εἰ τύχοι, καί τινας τοῦ πρεσβυτικοῦ σὺν ἐπιγνώσει καλέσαι τε καὶ προτρέψαι, τοὺς ἐν τέλει λέγω, καθ' ἕκαστον ἱππικόν τε καὶ πεζικὸν σύστημα. Ὅμηρον μὲν γάρ τινα τῶν Θεῶν παραστήσας τῇ μάχῃ τῶν Ἀχαιῶν πληγῇ σκήπτρου φησὶν αὐτὸν πιμπλείαι τοὺς νέους μένεος κρατεροῖο. ὡς τήν τε ψυχὴν μᾶλλον ἐφορμᾶσθαι πολεμίζειν, ἡ δὲ μάχεσθαι, καὶ μηδὲ τὼ πόδε, μηδὲ τὼ χεῖρε ἀτρέμας ἔχειν ἀνέχεσθαι, τὸ γὰρ μαιμώω-

σι

σι δ' ἐνέρθε πόδες, καὶ χεῖρες ὕπερθεν, ἄτρυσίν δέ μιν αὐτοκέλευσοι περὶ τὰ ἔργα τῆς μάχης. Ἐμοὶ δὲ ταῦτα μὲν ποιήσαι καὶ Βασιλεὺς ὀνομαστὶ καλέσας, καὶ τὸν ἀθλοθέτην ἀναλαβεῖν τε αὖ εἰς φιλοτιμίαν ἐγείραι, καὶ τὸν ἀγωνιστὴν αὖθις ὁπλίσαι. πᾶς γὰρ ἐθέλει πονεῖν ὑπὸ μάρτυρι βασιλεῖ. ὅ, τε Ποινὴς, ὅπως ἔοικε λέγειν, πάμμεγας ὄφελος εἶναι βασιλεῖ καὶ εἰρηνικῷ καὶ πολεμικῷ, ἂς αὐτίκα τοῦτο πρῶτον καταυδήσας, ὅτι πλείστων ἔχει ῥοπὴν εἰς εὐψυχίαν ἀνδρῶν, τὸ μηδὲν τοὺς ἀγελαίους ἀγνοεῖσθαι τῷ βασιλεῖ, ἢ ἐνόμασι μόνον καλοῦντα τοὺς στρατιώτας ποιήσει Ἀγαμέμνονα· ἀλλ' ἕπος αὐτῷ καὶ τὸν ἀδελφὸν συθέσει πρὸς τὴν προσηγορίαν παζόντε καὶ ἐκ ῥηνῶν ἀνδρῶν ὀνομάζειν ἄνδρα ἕκαστον, καὶ πάντας κυδαίνειν, μὴ δὲ μιγαλίζεσθαι. καὶ τὸ κυδαίνειν δὲ αὖ, εὖ λέγειν ἐστὶν, ἢ τῷ τι ἀγαθὸν καὶ πραχθεὶ, ἢ εὐτυχηθεὶ σωφρόνως. Ὁρᾷς Ὅμηρον; ἐγκωμιαστὴν ποιεῖ τὸν Βασιλέα θυμόν· καὶ τίς ἂν αὖ αἵματος ἀφειδήσειε, Βασιλέως αὐτὸν ἐπαινέσαντος; Καὶ τοῦτο οὐκ ἤξει σοι πεζεσθὲν, δοκεῖν θαμὰ ὁμιλεῖν στρατιώταις, καὶ πρὸς, εἰδήσεις αὐτῶν ἤθη καὶ βίους, καὶ τίς ἑκάστῳ τάξις ἐν καιροῖς ἑκάστοις πρόσιμος. Θέα γὰρ δὴ καὶ τόδε· τεχνίτης ὄφελὸν ὁ Βασιλεὺς πολέμων, ὥσπερ ὁ σκευοτόμος ἁρμοδιμάτων· ἐκεῖνός τε ὑπ' ἀγελοῖος, ὅταν ἀγνοῇ τῆς τέχνης τὰ ὄργανα, ἤ, τὸ Βασιλεὺς πῶς ὄφελήσεται χρῆσθαι στρατιώταις ὀργανίοις εἰ μὴ γινώσκοι; Ἀλλ' ἐνταῦθα χρόνιος, εἰ τὸ κοινὸν τῶν λόγων εἰς τοὺς παρόντας τῶν λόγων ὕλην καταβιβάσομαι, πάχος ἂν ἄκαιρον τοῖς σκοποῖς βάλοιμι. τίς δ' οἶδε εἰ κεὐτοὶ σοὶ δαίμονι θυμὸν ἀείνων παρεισπάν; ἀγαθὴ δὲ παῤῥησία ἀνδρὸς ἀληθοῦς. Φημὶ γὰρ ἄδικον εἶναι ἕμπροσθεν ἄλλο χέρσον πεπᾶσθαι τοῦ Ῥωμαίων, ὡς τοῦ περὶ τὸ βασιλικὸν σῶμα σκοπεῖν καὶ θεραπεύειν, οὗ ὥσπερ ἁρμογῆτας ἡμῖν ἐν

δεσπό-

χαρᾷ πιεῖνται, καὶ τὸ βαρβαρικῶς ἐκπεπεῖσθαι τὰ καθ' ἡμᾶς. ὡς δὲ φιλεῖ συγχίνεσθαι φαντασία τε καὶ ἀλήθεια. Ἀλλὰ σύγε μὴ δυσχεραίνης, ὡς πάντα γε καὶ ἔστι σόν, ἀλλὰ τῷ ἀρξαμένῳ τῆς νόσου, καὶ προσδόκησον τῇ ἡδονῇ τὸ πόνου ζημιῶδες τὸ κακόν. Τοιγαροῦν ἡ στενότης αὕτη, καὶ τὸ δεδιέναι μὴ ἐξανθρωπισθέντες σωφρόνως ἡδρόμησι θέαμα, κατακλείσας ποιεῖ πολιορκουμένας ὑφ' ἑαυτῷ, ἐλάχιστα μὲν ὁρῶντας, ἐλάχιστα δὲ ἀκούοντας ἀφ' ὧν πρακτικὴ φρόνησις συναθροίζεται, μόνας ἡδομένας τὰς τοῦ σώματος ἡδονάς, καὶ πάντων γε τὰς ὑλικωτάτας, ὅσας ἁφή τε καὶ γεῦσις προσίζησι, βίον ζώντας θαλαττίου πνεύμονος. Εἰ ὡς ἂν ἀπαξιώσητε τὸν ἄνθρωπον, καὶ τῆς ἀνθρώπου τυγχάνετε τελειότητος. καὶ ὧν οἷς σιωπᾶσε, ἀφεὶς διαιπάντα καὶ ἄλλως, καὶ οἷς ὀξυνεῖς τὰ βασίλεια πάροδος ἀδείσερον, ἢ στρατηγοῖς τε καὶ λοχαγοῖς, πάντας ὡς χαλκέντας ἄρα ἀδαιδαλάζεσθε, καὶ μικροκεφάλους τε καὶ ὀλιγογνώμονας, ὡς ἡ φύσις ἁμαρτάνουσα ἀδιαχαράττει, καθάπερ ἀδικοῦντες οἱ ξαπίζιται τὸ νόσισμα· καὶ γίνεται βατιλεῖ δῶρον ἀνόπλητος ἄνθρωπος, καὶ μεῖζον, ὅσον ἀνοπλητότερος. ὅταν γελασείοντες ἐν πανηγύρει καὶ χλαυσείοντες ἀτελῶς, καὶ χείμασιν, καὶ νόσοις, καὶ ἅπασιν ὅσοις οἷοί τε βωμολοχοῦντες σωφρονοῦσιν ὑμῖν τὸν χρόνον, καὶ τῆς ψυχῆς τοῦ ἀχλυοῦ, οὗ ἐκ τοῦ μὴ φύσει ζῆν ἔχετε, κακῷ μείζονι ἀδημυθῆτε. πάντων τὰ κολοβὰ ὀνόματα καὶ ῥήματα ταῖς ἀκοαῖς ὑμῶν ἁρμόζεται μᾶλλον, ἢ νῦς ἐκ φιλοσοφίας ἐν γλώττῃ ἀδιαφόρῳ τε καὶ στρογγύλῃ. Οἳ δὲ τῆς θαυμασίας οἰκείας ἀπολωλεκότε, καὶ δίκην τὰ μὲν φρόνιμον ὑποπτεύοντες, καὶ πρὸς ἐκείνης ἀποστρεφόμενοι, τὰ δὲ αὐόητον εἰσαγόμενοι, καὶ πρὸς ἐκείνους ἀποτυμπανόμενοι, ἔδει μὲν εἰδέναι καλῶς, ὅτι ταῖς αὐταῖς ἀδικοσύναις ἔπαστον αὔξεται καὶ συγκροτεῖται. Ἀλλ' ὦ ἐπιθράμης τοῦ νῦ καὶ κλοῦ ὅπερ ὑπὸ τῆς γῆς ἐκπεπείσθην ἀρχῶν,

εἴτε τῷ Παρθυαίων, εἴτε τῷ Μακεδόνων, εἴτε τῷ Περσῶν, εἴτε τῷ παλαιπάτων Μήδων, εἴτε τῷ ἐν ᾗ ζῶμεν, ἄνδρες δημοτικοί τε καὶ στρατιῶται, καὶ τὰ πολλὰ συνθυραυλοῦντές τε καὶ χαμεύνοῦντες ἐν ταῖς φάλαγξι, καὶ ὅτε μεθυσκοῦντες πόων, ὅτε πλεονεκτοῦντες ὕδατων, ἑκάστῳ ὅπερ ἀπειρατεία ὅτι μέγα προύργου, δι' ἐπιμελείας ἄνθρωποι κτώμενοι τἀγαθὰ, καὶ ῥᾳθύμως ζηλωτοί; χαλεπῶς ἂν ἔτι τῷ πόλει πρῶτον ἀνδρὸς φρονήσεως. Ἔοικε δὲ δυτυχία φορτίου εἶναι μολίβδου βελτίστερον, βελτίστερον γὰρ τὸν ἀναθήμενον, ὧ μὴ πάνυ ῥᾳθυμελέος ἂν τύχῃ· ψυχῆς δὲ ῥᾴθυμον, ὑπισχνεῖται μὲν φύσις, τελεοῖ δὲ ἄσκησις, εἰς ὃν σε Βασιλεῦ προτρέπει φιλοσοφία φυλαττομένην χρεὼν τὸ ἐκ λόγου συμβαῖνον· τοῖς γὰρ ἐναντίοις τῷ σωφρονοῦντι ἅπαν φθείρεται· καὶ ἐκ ἀξιῶ βουλεύεσθαι τῷ Βασιλεῖ Ῥωμαίων τὰ πάτρια· πάτρια δὲ ἡμῖν Ῥωμαίων, ἃ τὰ χθὲς καὶ πρώην εἰς ἐκδεδημηκότα ἤδη παρελθόντα τὴν πολιτείαν, ἀλλ' ἐν οἷς ὄντες ἐκτήσαντο τὴν ἀρχήν. Ἐπὶ φέρε πρὸς τὸ βασιλεύειν Θεὸν (καί μοι περᾶν δέδοκται· θυμοδακὴς γὰρ ὁ μῦθος) πότε κάλλιον ἦγεν ἢ τὰ Ῥωμαίων παράγματα; ἀφ' ἧς ἀμπόρφυροί τε εἶσε καὶ ἀμίκτοι, καὶ λίθας ὀξὺ ὁρῶντες καὶ θαλαττίῳ βαρβάρων, τὰς μὲν ἀπαδεῖδε, τὰς δὲ ἐπωδεῖδε, τὰς δὲ πτελεῖδε, τὰς δὲ ὀξυπτῖδε, τὰς δὲ περονᾶδε, τοῖς δὲ ἐφιζάνειν; τοιγαροῦν ἀπεπλέσθητε θάλαμα ποικιλώτατον καὶ πάγχυ, ὥσπερ οἱ πρὸ τῶν δημοκλῶν ἀρὰν ἐφ' ἑαυτοῖς ἕλκοντες, τὸν χιτῶνα τὸν λαῖνον· ὑμῖν δὲ κἀδὲ χιτὼν ὅπως ἀποχρῶν· καὶ δὴ εἰσιτὸν εἰς τὸν ὁμοτίμων τὸ βουλευτήριον, ἵνα καὶ τῷ ἐπὶ χρόνου ἀρχῶν ἄρχητε, ὅτε ἀρχαιρεσιαζόντων, ὅτε ἐπ' ἄλλῳ τῳ συνεδριαζόντων, ἵν' μὴ καὶ πέπλον τοιοῦτον ἐγκορδυλήσησθε. Καὶ δῆτα ἀποβλάπτεσθε ἀπὸ τῶν ἀνθρώπων, οἷς θέμις ὁρᾶν, ὡς μύσιοι τῷ βουλευτῷ δαίμονες, μόνοι τῷ

βού-

βουλευτῶν ἀχθοφοροῦντες. ἀλλὰ καὶ γάννυσθε τῷ φορτίῳ, καθάπερ εἴτις χρυσῷ δεθείς, καὶ μᾶλλον πολυταλάντοις ταῖς πέδαις, ἔπειτα μηδὲ ἐπαίοι τοῦ κακοῦ, μηδὲ ἡγοῖτο σχέτλια πάσχειν εἰς δεσμώτας τελῶν, ἡπατημένος τῇ πολυτελείᾳ τῆς συμφορᾶς· ἀλλ' οὔγε μᾶλλον κινήσεται τῶν ἐν τῇ ποδοκάκκῃ τῷ φαυλοτάτῳ τῶν ξύλων. Ὑμῖν δὲ οὐδὲ τοῦδαφός ἐστιν ἀνεκτὸν, οὐδὲ αὖ ἐμπεριπατήσητε κατὰ φύσιν ἐχούσῃ τῇ γῇ. ἀλλὰ δεῖ τὴν χρυσῖτιν ἐπιφορεῖν, ἣν ἐκ τῶν πέραν ἠπείρων ὑμῖν ἀπηναί τε καὶ ὁλκάδες διακομίζουσι, καὶ στρατιά τίς ἐστιν οὐ φαύλη τῶν τὸ χῶμα ῥαινόντων. οὐ γὰρ βασιλικὸν ἡγεῖσθε, μὴ οὐχὶ καὶ τοῖς σκύτεσι τῶν ὑποδημάτων ξυφᾶν. Νῦν οὖν ἆρ' ἄμεινον πράττετε, ἀφ' οὗ περὶ τοὺς βασιλέας ἡ τελετὴ συνέστη, καὶ θαλαμεύεσθε καθάπερ αἱ σαῦραι, μόλις εἴπη πρὸς τὴν εἴλην ἐκκύπτουσαι, μὴ φωραθείητε ὑπὸ τῶν ἀνθρώπων ὄντες ἄνθρωποι. ἢ τόθ' ἡνίκα ἐξηγοῦντο τῶν στρατευμάτων ἄνδρες ἐν μέσῳ ζῶντες, μέλανες ὑφ' ἡλίῳ, καὶ τὰ ἄλλα ἀφελῶς τε καὶ αὐτοσκευῶς ἔχοντες, ἀλλ' οὐ διθυραμβῳδῶς καὶ τραγικῶς, ἐν πίλοις λακωνικοῖς, οὓς ἐν ταῖς εἰκόσι θεώμενα γελᾷ τὰ μειράκια, καὶ οὐδὲ ὁ γέρων δῆμος εὐτυχεῖς ἡγοῦνται γεγονέναι, πρὸς δὲ ὑμᾶς ἐξεταστῆναι καὶ παντάπασι κακοδαίμονας; Ἀλλ' ἐκεῖνοί γε, οὐκ ἀποτειχίζοντες τὴν οἰκίαν, εἶργον οὔτε τοὺς Ἀσιανοὺς, οὔτε τοὺς Εὐρωπαίους βαρβάρους, ἀλλ' οἷς ἐποίουν, ἐκείνους ἐνουθέτουν τὴν σφετέραν ἀποτειχίζειν, θαμὰ διαβαίνοντες τὸν Εὐφράτην ἐπὶ τὸν Παρθυαῖον, τὸν δὲ Ἴστρον ἐπὶ τὸν Γέτην τε καὶ Μασσαγέτην. Οἱ οὖν ἕτερα ἀντὶ τούτων ὀνόματα θέμενοι, ἕτεροι δ' αὐτῶν καὶ τὰ πρόσωπα τέχνῃ παραποιήσαντες, ἵνα δὴ δοκοίη γένος ἄλλο νέον τε καὶ ἀλλόκοτον ἐκφῦναι τῆς γῆς, δεδίττονται ὑμᾶς ἀντιδιαβαίνοντες, καὶ μισθὸν εἰρήνης ἀξιοῦσι πράττεσθαι, ἣν μὴ σύγε δύσεαι ἀλκήν.

Ἀλλ' ἀφείδως μὲν οὐ δοκεῖ τὰ παλαιὰ πρὸς τὰ νεῶν ἐξετάζειν, ἵνα δὴ μὴ δοκοίημι ἐν χήμασι παρρησίας ἐνεδρίζειν, δεικνυέτω, ὡς ἔφαν ἐπέδωκεν εἰς χήμα σοβαρὸν τὰ Βασιλέως, τοῦτο τῆς ἀληθείας ἀφήρηται. Εἰ δὲ ἄπαιρ ἐν τῇ καθ' ὑμᾶς ὁμιλίᾳ εὐθύμως ὁ λόγος ἐφιλοχώρησε, τέμοι τινὰ μοῖραν ἑαυτῷ καὶ τῇ πάλαι τῷ Βασιλέως, εἶτα ἀγροικίαν καλοῦμεν αὐτήν, εἴτε λιτότητα βούλεσθε, καλῶς ἂν ἀλλήλαις ἀντιπαρεκδύοιντο πολυτέλειαν καὶ ἀτέλειαν, καὶ γυμνὰς ἂν ὕπνῳ θεώμενος, ἐρυθήσῃ ἀληθινῶς Βασιλέως καλλὰς, ἀφεὶς τὸ φαινόμενόν τε καὶ ἐπιποίητον. Οὐκοῦν ἐκείνων μὲν ἀπὸ τοῦ χήματος τὸ πλέον ἐξαφοῦμαι, πάντων δὲ οὐκ ἔστιν ἀπὸ πάντων, ἄλλοθεν δὲ λαβεῖν· ἃ γάρ ἐστιν αὐτῇ θεατά, μὴ παραγματευομένῃ περὶ αὐτά. τὰ δὲ ἤθη μᾶλλον εἰκόνες ἂν αὐτῆς εἶεν. καί τοι καὶ ἔργον ἀνθρὸς συμπροκύπτει τῇ καθ' φύσιν ἐχόντων βίων ταῖς προβολαῖς. οὗ δὴ ἄξιον ἀπομνημονεῦσαι Βασιλέως, καὶ ἤθους, καὶ ἔργων· καὶ ἐξ ἀπάντων ὁτιοῦν πάντα συνιέναι. Λέγεται δή τινα τῶν ἐκ λίνων ἀρχαίων, ἀλλ' ὧν αὖ εἰδέναι καὶ τῶν νεωτέρων οἱ πάντες, εἰ μὴ νέοι τὰς παῖδας ἐπένευσαν, καὶ ἐξ ἐκείνων νέων τῶν παίδων ἐγένοντο πάντες. λέγεται δή τινα ἐκείνου στρατείαν μὲν ἄγειν ἀπὸ τῶν Ἀραχωσίων εἰς Ῥωμαίους ὑβρίσαντας. ἐπειδὴ δὲ πρὸς ταῖς ὑπερβολαῖς τῶν Ἀρμενίων γενέσθαι, πρὶν ἐπιχειρῆσαι τῇ πολεμίᾳ, δεῖσθαι τὰ αὐτὸν ἐραθῆναι, καὶ ἐπιτάξαι τῇ στρατιᾷ τοῖς ἀπὸ τῶν συμφόρων ἀγαθοῖς χρῆσθαι, ὡς ἐγγύθεν ἐπιτηδείοις ὄντας. ἐδεήθησαν δὲ ἄρα τὰς Παρθυαίων ἀγορᾶς. ἐν πόλῳ δὲ ὄντων, πρεσβείαν ἐπὶ τῶν πολεμίων παρεῖναι· καὶ οἴεσθαι μὲν ἥκειν παραδεξόμενον τοῖς βασιλεῖ ἐπιδιωκτέοις. καὶ πάντων γε ἂν στολάταις τισὶ καὶ εἰσαγγελοῦσιν, ὡς εἰς ἡμέραν πολλοστὴν ἀπ' ἐκείνης

τὸ βασιλέως τῇ περισβείᾳ χρηματιοῦντες· συνεσκηθωῦται δὲ καθ' αὐτὰ πᾶς τὸν Βασιλέα φρίθαι δεπτουῦτε. οὐ γὰρ ὢν πω τὸ πῷ δορυφόρων τοιῶτον ἀπὸ τῆς στρατείας, στρατιά τις ἔπιεχτος, νέοι πάντες, πάντες ἀμήκεις, τὰς κόμας ξανθοί τε καὶ ἀθρεπτοί, φεὶ δὲ λιπαροὶ κεφαλαὶ καὶ καλὰ πρόσωπα, χρυσάσπιδες καὶ χρυσιολόγχαι, οἷς ὅτε ποτὲ ὀφθῶσι, τὸν Βασιλέα σημαινόμεθα, καθάπερ οἶμαι ταῖς προσπιχέσαις αὐγαῖς τὸν ἥλιον. ἀλλὰ πᾶσα φάλαγξ τὸ οἰκεῖον ποιοῦσα, δορυφόρος ὢν τῷ βασιλέως τε καὶ τῆς Βασιλείας. οἱ δὲ ἁπλῶς ἑαυτῷ εἶχον, ἐκ ἀπὸ τῆς σκηνῆς, ἀλλ' ἀπὸ τῆς ψυχῆς βασιλεῖς ὄντες, καὶ πάνδον τὸ πλήθος διάφερον· τὰ δὲ ἐκτὸς, ὅμοιοι τοῖς ἀγελαίοις ἐφαίνοντο· ὥσπερ ἔχοντά φασι τὸν Καρῖνον ὑπὸ τῆς περισβείας ὀφθῆναι· φοινικοβαφὴς χιτὼν, καὶ ὅπλα τῆς πόας ἐκέκλιτο. τὸ δὲ δεῖπνον ὢν, πίσσινον ἕωλον ἔτος, καὶ ἐν αὐτῷ τεμάχια ἄττα παρέκειτο κρεῶν ὑείων, ἀπολελαυκότα τῶν χρόνῳ. ἰδόντα δὲ αὐτὸν, ὅτε ἀναθορεῖν, ὅτε μεταποιῆσαί τι λέγεται. καλέσαντα δὲ αὐτόθεν τοὺς ἄνδρας, εἰδέναι τε φωνὰς πρὸ αὐτὸν ἥκοντας· αὐτὸς γὰρ εἶναι Καρῖνος, καὶ κελεύειν ἀπαγγεῖλαι τῷ νέῳ βασιλεῖ ἥμερον, εἰ μὴ σωφρονίσοι, προσδέχεσθαι πρὸ ἡμῶν ἄλλους αὐτῶν, παῖ δὲ πεδίον ἐν μιᾷ σελήνῃ, ψιλότερον ἔσεσθαι τῆς Καρίνου κεφαλῆς. ἅμα δὲ λέγοντά φασιν ἐκδῦναι τὸ πίλον δεικνύντα τῷ κεφαλῷ, ὑδρώτι δαπτόμενον τῇ κραιπάλῃ· καὶ εἰ μὴ πεισθῶσι, φέρειν συνεμβαλεῖν τῇ χύδῃ· μὴ δυομένης δὲ, κελεύειν αὐθαιρεὶ ἀπαλλάσσεσθαι, καὶ ἔξω τῆς Ῥωμαϊκῆς χάρακος εἶναι, ὡς τῆς περισβείας αὐτοῖς τέλος δύσεως. Λέγεται τοίνυν καὶ τύπων ἀνεσκεφθαι τῶν τὸ πλῆθος, καὶ τὸν ἡγεμόνα τῶν πολεμίων, ὧν τε εἶδον ὧν τε ἤκουσαν, ὅπερ εἰκὸς ἦν συμβῆναι, φείδεσθαι καὶ δέος ἐπιπέσειν ἅπασιν, εἰ

πρὸς ἀνδρας μαχῆται ποιήσας, ἂν ὁ βασιλεὺς, ὅπερ βασιλεὺς ὤν, ὅτε φιλαπρὸς αἰχμίζεται, καὶ χύδην ἀξιοῖ θέμυος σωσδείπνης καλεῖ. ἀφικέσθαι δὲ τὸν Βασιλέα τὸν ἀλαζόνα καταρρωδήσαντα, πάντα εἶναι ἕτοιμον ὑπὲρ αὐτὸν ἐν τιάρᾳ καὶ καυδυΐ, τῷ μὲν χιτῶνος φαύλων εἶναι καὶ πίλια. Ἕτερον δὲ τόδε πρεσβύτερον ἀκούειν οἶμαι· καὶ δὴ δὲ καὶ εἰκὸς ἀνήκοόν τινα εἶναι. Βασιλέως ἑαυτὸν δηλοῦντος ἔσεσθαι τῆς πολεμίας ἡμέσθαι ὃν χρεία καταστοπῆς, μισαμμώνιον χῆμα τοριστβείας. λειτουργεῖν τε δὴ αὐτῷ πόλεσιν τε καὶ στρατευμάτων ἡγεῖσθαι, καὶ ἀξιώματος μεγάλου τοιαύτῃ ἀρχῇ. Εἷς δέ τις ἀνὴρ καὶ ἐν ταῖς τῷ βασιλεύειν, ἀπειπὼν πρὸς τὰς πόρους ἑαυτῷ ἰδιώτης ἐγένετο. Ἐπεὶ καὶ τόνομα αὐτὸ σοι δείξω τῷ βασιλέως ὄφιμον, ἐκλιπὼν Ῥωμαίοις ἡμουμένου, ἀφ' ἧς Γαρκυλίνος ὁ δῆμος ἐξέλασεν. λοιπὸν δὲ ἡμεῖς μὲν ὑμᾶς ἀξιοῦμεν καὶ καλοῦμεν Βασιλέας, καὶ σεμνύομεν οὕτως, ὑμεῖς δὲ εἴτε εἰδότες, εἴτε μὴ, σωφροσύνῃ δὲ συγχωρήσαντες, τὸν ὄγκον τῆς προσηγορίας ἀναδυόμενοι ἰδιώτας ἐστε. οὐκοῦν οὔτε πρὸς πόλιν, οὔτε πρὸς ἰδιώτην, οὔτε πρὸς ὕπαρχον σεμνοὶ ἐστε, οὔτε πρὸς ἄρχοντα βάρβαρον ἐπαλλωπίσασθέ ποτε τῷ βασιλέως ὀνόματι. ἀλλ' αὐτοκράτορες εἶναι ποιεῖσθε. ὁ δὲ αὐτοκράτωρ, ἅτε στρατηγίας δεῖ, πάντα ποιεῖν ὑποστάσης, καὶ Ἰφικράτης καὶ Πελοπίδης ἐπλεον Ἀθηναίων Αὐτοκράτορες στρατηγοί, καὶ ὃς ἐλύπει τόνομα τὸν δῆμον τὸν ἀθυμάστατον, ἀλλ' αὐτὸς ἐχειροτόνει τῇ στρατηγίαν νόμιμον ἦσαν. Ἀθηναῖοι μὲν γὰρ καὶ βασιλεύς τις καλούμενος, μικρὰ ἑορτή, καὶ ὑπόθυμος ἦν, εἰς τόνομα τοῦ δήμου οἶμαι παίζοντος, ἅτε ὄντες ἀπράτως ἐλεύθεροι, ἀλλ' ὅγε αὐτοκράτωρ αὐτοῖς, ἅτε μόναρχος ὢν, καὶ σωφρονῶν ὢν, καὶ πρᾶγμα, καὶ ὄνομα. Πῶς γὰρ ἂν σαφὲς τόδε τεκμήριον

τῆς

τῆς σώφρονος ἐν τῇ Ῥωμαίων πολιτείᾳ προαιρέσεως. ὅτε καί τοι μοναρχία προδήλως ἀποτελεσθεῖσα, μίσει τῶν τυραννίδος κακῶν διευλαβεῖται καὶ φειδομένως ἅπτεται τοῦ Βασιλέως ὀνόματος. μοναρχίαν γὰρ διαβάλλει μὲν τυραννὶς, ζηλωτὴν δὲ ποιεῖ Βασιλεία, καὶ Πλάτων αὐτὴν θεῖον ἀγαθὸν ἐν ἀνθρώποις καλεῖ. ὁ δὲ αὐτὸς οὗτος, τὸ θείας μετειληχὸς μοίρας, ἀξιοῖ παντὶ ἄτυφον εἶναι. οὐ γὰρ σκηνοβατῶν, οὐδὲ τερατουργῶν ὁ Θεὸς, ἀλλὰ δι' ἀψόφου βαίνων κελεύθου, κατὰ δίκην τὰ θνητὰ ἄγει, παντί τε ἁπανταχοῦ παρεστάναι τῷ πεφυκότι μετέχειν ἕτοιμος. Οὕτως ἀξιῶ τὸν Βασιλέα κοινὸν ἀγαθὸν καὶ ἄτυφον εἶναι. τύραννοι δὲ εἰ θαυματοποιοῦσι κρυπτόμενοί τε καὶ σὺν ἐκπλήξει φαινόμενοι, φθόνος οὐδεὶς χήτει σεμνότητος ἀληθινῆς, ἐπὶ προσσοίησιν καταφεύγειν. τὸν γὰρ οὐδὲν ὑγιὲς ὄντα, καὶ εἰδότα γε τοῦτο, τίς μηχανὴ μὴ οὐχὶ φεύγειν τὸ ἐμφανὲς, φεύγοντα καταφρόνησιν. ἀλλ' ἡλίου τε μέχρι τήμερον οὐδείς που καταπεφρόνηκε· καί τοι τί συνηθέστερον θέαμα, καὶ βασιλεὺς εἰ τεθάρρηκεν ἀληθινὸς ὢν, καὶ οὐκ ἐλεγχθησόμενος, ἔστω κοινότατος. οὐδὲν γὰρ ἧττον, εἰ μὴ καὶ μᾶλλον ἀγαστὸς ἔσται. οὐδὲ τοῦ χωλοῦ βασιλέως, ὃν ἐπαινεῖ Ξενοφῶν ἐν ὅλῳ τῷ συγγράμματι, κατεγέλων, οὔτε οὓς ἦγεν, οὔτε δι' ὧν ἦγεν, οὔτε ἐφ' οὓς ἐπορεύετο· καί τοι κατέλυεν οὗτος ἑκάστης πόλεως ἐν τοῖς δημοσιωτάτοις χωρίοις, ἐν ᾧ πάντα ποιῶν καταφανέστατος ἦν, οἷς ἐπιμελὲς τὸν ἡγεμόνα τῆς Σπάρτης ὁρᾶν, ἀλλ' οὗτος εἰς τὴν Ἀσίαν τε διαβὰς ὀλίγῳ στρατεύματι, τὸν προσκυνούμενον ἄνθρωπον ὑπὸ τῶν ἀκατονομάστων ἐθνῶν, ἐγγὺς ἦλθεν ἀποβιβάσαι τῆς ἀρχῆς· τοῦ μὲν γὰρ φρονήματος ἀπεβίβασε. καὶ ἐπειδὴ τῶν οἴκοι τελῶν καλούντων τὰς ἐν Ἀσίᾳ πράξεις ἀφῄρητο, νίκας ἑλληνικὰς ἀνηρεῖτο πολλὰς, ὑπὸ μόνου τε τῶν ἀνθρώπων ἡττᾶτο μα-

χόμψος, ὑφ' ᾧ κρατηθῆναι μόνου τῶν ἁπάντων εἰκὸς Ἀγησίλαον, καὶ ὑπὲρ δυτελείας ἀγωνιζόμενον. Ἐπαμινώνδας δὲ οὗτος, ὃν στεφανῶσαι μὲν αἱ πόλεις ἐκάλουν διώκοντα, ὁ δὲ φοιτῶν αὐταῖς (ἐ γὰρ δὴ ἄλλως ποιοῦντα, μὴ ἐκ αἰτίαν ἔχειν τὸν ἐν ἀξιώματι) δεινὸς ἔξω ἀπέπιπτεν, ἵνα φησί, τῆς οἴκοι διαίτης Ἐπαμινώνδας μὴ ἐπιλάθοιτο. νεκρίσκου δὲ Ἀττικῆ τῆς μαχαίρας αὐτῷ τὸν κώπην ἐπασκιάψαντος, ὅτι ξύλου τε φαύλου, καὶ ἀκατέργαστος δὴ, οὐκοῦν ὅταν, ἔφη, μαχώμεθα, τῆς μὲν κώπης οὐ πειράσῃ, τὸ σίδηρον δ' οὐκ ἐνέσαι σοι μέμφασθαι. Εἰ δὲ βασιλικὸν μὲν τὸ ἄρχειν, ἄρχει δὲ ὁποίων δέοι κρατῶν, ἐξ ὧν οἱ κρατῆσαι εἰδότες ἐπιτηδευμάτων καὶ βίων, ὁρῶμεν ὡς οὐκ ἀπὸ τῶν ἐκφύλων τε καὶ σοβαρῶν, ἀλλ' ἀπὸ τῶν μετρίων τε καὶ σωφρόνων πάντα ἐκ πάντων σωσαμένοις, βασιλείας ἄξιον εἶναι τύφον καὶ πολυτέλειαν, ὡς ἐ μετὸν αὐτῇ τῶν ἀλλοκότων. Καὶ ὁ λόγος ἐκ τούτου προῆκται. ἐπαναγάγωμεν δὲ ἡμεῖς τε τὸν λόγον εἰς τὴν οἰκείαν ἀρχὴν, σύτε εἰς τὸ ἀρχαῖον πρᾶγμα τὸν Βασιλέα. ἀνάγκη γὰρ κεκοσμημένων τῶν βίων, καὶ σωφροσύνης ἐπανελθούσης σωτηρίαν ἐπανελθεῖν μὲν αὐτῇ τὰ παλαιὰ καλὰ, τῶν δὲ ἐκ τῆς ἐναντίας μοχθηρίας ἀπάντων γενέσθαι. Καὶ σὺ Βασιλεῦ τῆς ἐπαναγωγῆς τῶν ἀγαθῶν ἄρξαιο, καὶ δότω δοίης ἡμῖν λειτουργὸν τῆς Βασιλείας τὸν Βασιλέα. καὶ γὰρ ἂν οἷς ἐγὼ μὲν ἐκ ἔτι οἷα χωρῆσαι ῥᾳθυμία, οὐδὲ πρόσω βλῶσαι. νεὼ γὰρ πάντες ὅτι ξηρᾷ ἴσασιν ἐκμῆς, καὶ δεῖ Θεᾷ καὶ Βασιλέως ὅτι πρὸ πράγματος, τὴν ὠδινομένην χρόνον ἤδη συχνὸν τῆς Ῥωμαίων ἀρχῆς τὴν εἱμαρμένην προαναιρήσοντος, ἵν' ἅμα σωσάντων τὸ ἐξῆς τοῦ λόγου, καὶ τὸν Βασιλέα δημιουργῶν, ὃν ἐνήργμεν ἄγαλμα πάγκαλον ἰσῶσαι, δείξω γε σαφῶς ἐγγὺς ὄσων, ἵν' μὴ σοφή-

φήτε καὶ ἰσχυρὰ Βασιλεία κωλύοι. καὶ ἵνα ὁ κωλύων αὐτὸς ἦς, ἐκ τῶν ἐνόντων συμπλακήσομαι. Θεὸς δὲ ἀγαθοῖς ἀεί τε καὶ πάντως ἀβασάπως, καὶ ἵλεως. Πόθεν οὖν λοιπὸν τὰ κοινὰ διαπλαττόμενα τῷ πλαττομένῳ καθ' ὁμοίωσιν εἰς τὰ καθεστῶτα ἡ ἐξ ἀνάγκης φιλοσοφία τὸν Βασιλέα θαμὰ ὁμιλεῖν στρατιώτας, ἀλλὰ μὴ θαλαμεύεσθαι. τῶν γὰρ εὐτόνων, ἢ μόνη καὶ μάλιστα Βασιλέως ἐστὶν ἰσχυρὸν φυλακτήριον, ἐδιδάσκου λόγος ἡμέρας συνηθείας ἀθροίζεσθαι. πολλοῖς δ' ἂν τὸ γένος ἦσι τοῖς στρατιώταις φιλόσοφος ἐρασὴς ὢν Βασιλέως, ὃν ἀξιοῖ καὶ παιδεύειν τὸ σῶμα καὶ συναυλίζεσθαι· ἢ δηλονότι πολίτοις, ὡς ἀγροὶ καὶ πόλεις, καὶ καθάπαξ ἡ βασιλομένη γῆ, δίδωσι προμάχους, καὶ καταλέγει φύλακας τῇ πολιτείᾳ τε καὶ τοῖς νόμοις, ὑφ' ὧν ἐξάφησαί τε καὶ ἐπαιδεύθησαν; ὅτοι γάρ εἰσιν, ὃς καὶ κυσὶν ὁ Πλάτων ἀπαίδευτον. ἀλλ' ὅτε τῷ ποιμενὶ μὴ κυνῶν τὰς λύκας ταπτέον, καὶν σκύμνοι ποτὲ αἱρεθέντες τιθασεύεσθαι δόξωσιν, ἢ κακῶς αὐτοῖς πιστεύσει τῷ ποίμνιον. ὅταν γάρ τι τὰ ταῖς κυσὶν ἀθυμίαν ἢ ῥᾳθυμίαν ἐνίδωσιν, αὐταῖς τε καὶ ποίμνῃ καὶ ποιμέσιν ἐπιχειρήσουσιν. ὅτε τῷ νομοθέτῃ δοτέον ὅπλα τοῖς ἐ πεχθεῖσί τε καὶ ξαφεῖσιν ἐν τοῖς αὐτῶ νόμοις. ἐ δὲ ἔχει, καθ' ἡμᾶς τοιούτων ἐδὲν διανοίας ἐνίσχυον· ὡς ἔστιν ἀνδρὸς θαρσαλέου ἢ μαίτεως, νεότητα πολλῷ ἐπερόξοφον, ἤθεσιν ἰδίοις χρωμένῳ ἐν τῇ χώρᾳ τὰ πολέμια μελετῶσαν ὁρῶντα μὴ δεδιέναι. δεῖ γὰρ ἤτοι πείσας αὐτὰς πιστεῦσαι φιλοσοφεῖν, ἢ τούτου καλῶς ἀπογνόντας οἴεσθαι τὸν Ταντάλου λίθον ὑπὲρ τῆς πολιτείας λιπεῖν καλαδίοις ἠρτῆσθαι, ὡς τότε πρῶτον ἐπιχειρήσουσιν, ὅτε πρῶτον αὐτοῖς οἰήσονται προχωρήσειν τῷ πείσαι. Τότε μὲν οὖν καὶ ἀκροβολισμοί τινες ἤδη γίνονται, καὶ φλεγμαίνει μέρη τινὰ τῆς ἀρχῆς ὡς περ σώμα-

τος,

τος, οὐ δυναμένων αὐτῷ συγκραθῆναι τῶν ἀλλοτρίων εἰς ἁρμονίαν ὑγιεινήν· ἐκκρίναι δὲ δεῖν τἀλλότριον, ἀπό τε σωμάτων καὶ πόλεων, ἰατρῶν τε καὶ στρατηγῶν παῖδες ἂν εἴποιεν. Τὸ δὲ μήτε ἀντίπαλον αὐτοῖς κατασκευάζεσθαι δύναμιν, καὶ ὡς ἐκείνης οἰκείας οὔσης, ἀστρατείαν τε διδόναι πολλοῖς αἰτοῦσι, καὶ πρὸς ἄλλοις ἔχειν ἀφιέναι τοὺς ἐν τῇ χώρᾳ, τί ἄλλο ἢ σπευδόντων ἐστὶν εἰς ὄλεθρον ἀνθρώπων, δέον πρὸς τοὺς Σκύθας δεῦρο σιδηροφοροῦντας ἀνέχεσθαι, πολλά τε τῆς φίλης γεωργίας ἄνδρας αἰτῆσαι τοὺς μαχεσομένους ὑπὲρ αὐτῆς, καὶ καταλέγειν εἰς τοσοῦτον, ἐν ᾧ δὴ καὶ τὸν φιλόσοφον ἀπὸ τοῦ φροντιστηρίου, καὶ τὸν χειροτέχνην ἀπὸ τοῦ βαναυσεῖν ἀναστήσαντες, καὶ ἀπὸ τοῦ πωλητηρίου τὸν ὄντα πρὸς τοῦτο, τόν τε κηφῆνα δῆμον, ὃς ὑπὸ τῆς πάνυ σχολῆς ἐγκαταβιοῖ τοῖς θεάτροις, πείσομέν ποτε καὶ σπουδάσαι, πρὶν ἀπὸ τοῦ γελᾷν ἐπὶ τὸ κλάειν ἀφίκωνται, μήτε τῆς χείρονος αἰδοῦς, μήτε τῆς ἀμείνονος ἐμποδὼν οὔσης τῷ τὴν ἰσχὺν Ῥωμαίοις οἰκείαν γενέσθαι. τέτακται γὰρ ὥσπερ ἐν οἴκῳ καὶ πολιτείαις ὁμοίως, τὸ μὲν ὑπερασπίζον κατὰ τὸ ἄρρεν, τὸ δὲ εἰς τὴν ἐπιμέλειαν ἐστραμμένον τῶν εἴσω κατὰ τὸ θῆλυ. Πῶς οὖν ἀνεκτὸν παρ' ἡμῖν ἀλλότριον εἶναι τὸ ἄρρεν; πῶς δὲ οὐκ αἴσχιον παραχωρῆσαι τὴν εὐανδροτάτην ἀρχὴν ἑτέροις, τῆς ἐν πολέμῳ φιλοτιμίας; ἀλλ' ἔγωγε εἰ νίκας ὑπὲρ ἡμῶν νικῷεν πολλὰς, αἰσχυνοίμην ἂν ὠφελούμενος· ἐκεῖνο μέντοι γινώσκω φρονέω τε· καὶ γὰρ ἐγγύς ἐστιν ἅπαντος τοῦ νοῦν ἔχοντος· ὡς ὅταν τὰ λεγόμενα ταῦτα τὸ ἄρρεν τε καὶ τὸ θῆλυ, μήτε ἀδελφὰ τυγχάνῃ, μήτε ἄλλως ὁμογενῆ, μικρὰ πρόφασις ἀρκέσει τοὺς ὡπλισμένους τῶν ἀστυπολούντων δεσπότας ἀξιοῦν εἶναι, καὶ μαχήσονταί ποτε ἀπόλεμοι πρὸς τοὺς ἠσκημένους τὸν ἐν ὅπλοις ἀγῶνα. Πρὶν οὖν εἰς τοῦτο ἥκειν, ἐφ' ὃ πρόεισιν, ἤδη ἀνακτητέον ἡμῖν τὰ Ῥω-

μαίων

μαίων φρονήματα, καὶ συνεθιστέον αὐτουργεῖν τὰς νίκας, μηδὲ κοινωνίας ἀνεχομένους, ἀλλ' ἀπαξιοῦντας ἐν ἁπάσῃ τάξει τὸ βάρβαρον. Ἀρχῶν δὲ δὴ καὶ πρῶτον ἀπεληλάθων, καὶ τῶν ἐν βουλευτηρίῳ γερῶν ἀποκεκόφθων, οἷς ὑπῆρξεν αἰσχύνη τὰ παρὰ Ῥωμαίοις πάλαι καὶ δοκοῦντα καὶ ὄντα σεμνότατα. Ἐπεὶ νῦν γε καὶ τὴν βουλαίαν θέμιν αὐτὴν καὶ Θεὸν οἶμαι τὸν στράτιον ἐγκαλύπτεσθαι, ὅταν ὁ σιτηροφόρος ἄνθρωπος ἐξηγῆται χλαμύδας ἐχόντων, καὶ ὅταν ἀποδύς τις ὅπερ ἐνῆπτο κώδιον, περιβάλληται τήβεναν, καὶ τοῖς Ῥωμαίων τέλεσιν συμφροντίζῃ περὶ τῶν καθεστώτων, προεδρίαν ἔχων παρ' αὐτόν που τὸν ὕπατον, νομίμων ἀνδρῶν ὀπίσω θακούντων. ἀλλ' οὗτοί γε μικρὸν τοῦ βουλευτηρίου προκύψαντες, αὖθις ἐν τοῖς κωδίοις εἰσὶ, καὶ ὅταν τοῖς ὀπαδοῖς συγγένωνται, τῆς τηβέννου καταγελῶσι, μεθ' ἧς οὐκ εἶναι φασὶ, ξιφουλκίας εὐμοιρίαν. Θαυμάζω δ' ἔγωγε πολλαχῆ τε ἄλλῃ, καὶ οὐχ ἥκιστα ταύτῃ, τὴν ἀτοπίαν ἡμῶν. ἅπας γὰρ οἶκος ὁ καὶ κατὰ μικρὸν εὖ πράττων Σκυθικὸν ἔχει τὸν δοῦλον, καὶ ὁ τραπεζοποιὸς, καὶ ὁ περὶ τὸν ἱπνὸν, καὶ ὁ ἀμφορεαφόρος, Σκύθης ἐστὶν ἑκάστῳ. τῶν τε ἀκολούθων, οἱ τοὺς χθαμαλοὺς σκιμποδίσκους ὀκλαδίας ἐπὶ τῶν ὤμων ἀνατιθέμενοι, ἐφ' ᾧ τοῖς ἐωνημένοις ἐν ταῖς ἀγυιαῖς εἶναι καθίζεσθαι, Σκύθαι πάντες εἰσὶν, ἄνωθεν ἀποδεδειγμένου τοῦ γένους ἐπιτηδείου τε καὶ ἀξιωτάτου δουλεύειν Ῥωμαίοις. τὸ δὲ τοὺς ξανθοὺς τούτους καὶ κομῶντας εὐβοεικῶς, παρὰ τοῖς αὐτοῖς ἀνθρώποις ἰδίᾳ μὲν οἰκέτας εἶναι, δημοσίᾳ δὲ ἄρχοντας, ἄηθες ὂν τῆς θέας γένοιτο ἂν τὸ παραδοξότατον, καὶ εἰ μὴ τοῦτό ἐστιν, οὐκ ἂν εἰδείην ὁποῖον ἂν εἴη τὸ καλούμενον αἴνιγμα. Ἐν Γαλλίᾳ μὲν οὖν Κρῖξος καὶ Σπάρτακος ὁπλοφοροῦντες ἀδόξως, ἵνα θεάτρῳ γένοιντο τοῦ δήμου Ῥωμαίων καθάρσια, ἐπειδὴ δραπετεύσαντες τοῖς νόμοις ἐμνησικάκησαν, τὸν οἰκετικὸν

τικὸν κλησθέντα πόλεμον συνεστήσαντο, βαρυσυμφορώτατον ἐν τοῖς μάλιστα τῷ τότε Ῥωμαίων θυμήρη. ἐφ' οἷς ὑπάτων καὶ στρατηγῶν, καὶ τῆς Ποντικῆς τύχης ἐδέησεν αὐτοῖς, ἐγγὺς ἐλθούσης τῆς πόλεως ἀναστατωθῆναι τῆς χῆς. καίτοι γε οἱ Σπαρτάκῳ καὶ Κρίξῳ συναποστάντες, ἅτε ἐκείνοις, ἅτε ἀλλήλοις ἦσαν ὁμόφυλοι, ἀλλ' ἡ κοινωνία τῆς τύχης ἐπελλιμμένη τροφάσεως, ὁμογνώμονας ἐποίει. φύσει γὰρ ἅπαν, οἶμαι, πολέμιον, ὅταν ἐλπίσῃ κρατήσειν τοῦ κυρίου, τὸ δοῦλον. Ἆρ' οὖν ὁμοίως ἔχει καὶ παρ' ἡμῖν, ἢ τῷ παντὶ μεγαλειότερον τὰς ὑποθέσεις τῶν ἀτόπων ἐκφέρομεν; ἅτε γὰρ δύο ἐσόν, ἅτε ἀτίμως παρ' ἡμῖν οἱ στάσεως ἄρξαντες, ἀλλὰ στρατόμματα μεγάλα καὶ παλαμναῖα, καὶ συγχωρῶ τῷ παρ' ἡμῖν δούλων εἰς τὸ Ῥωμαίων ἡγεμονικὸν εἰσερρυηκότα κακῇ μοίρᾳ, παρέχεται στρατηγοὺς μάλα ἐν ἀξιώματι τοῖς σφίσιν αὐτοῖς καὶ παρ' ἡμῖν ἡμετέρᾳ κακίᾳ. πάντων ὅταν ἐθέλωσι τοὺς οἷς ἔχουσι, καὶ τὰς οἰκέτας ἡγεῖ στρατιώτας εἶναι μάλα ἀτιμους καὶ θρασεῖς, ἔργοις ἀνοσιωτέροις τῆς αὐτονομίας ἐμφορησομένους. Καθαιρετέον ἂν ὑμῖν τὸν ὀπτειχισμὸν, καὶ τὸ ἔξωθεν αἰτίαν ἐξαιρετέον τῆς νόσου, πρὶν ὀπτημῆναι καὶ τὸ ῥῆγμα τὸ ὑπαλον, πρὶν ἐλεγχθῆναι τὸ τῶν ἐνοικούντων δυσμενές. ἀρχόμενά τοι κρατεῖται τὰ κακὰ, κρατυνόμενα δὲ προϊόντα. καθαρτέον δὲ τῷ βασιλεῖ τὸ στρατόπεδον, ὥσπερ θημῶνα πυρῶν, ἢ ζειὰν τε ἐκκενοῦμεν καὶ ὅσα παραβλαστάνει, λύμη τῷ θρυαλίῳ τε καὶ γυναίῳ σπέρματι. Εἰ δέ σοι δοκῶ τὰ μικρὰ ῥᾴδια συμβουλεύειν, καὶ ἐπιτάττειν, ἀνδρῶν ἑτοίμων μοι ὄντι σοὶ βασιλεῖ, ἐξ ἧς ἕτοιμος τοὺς λόγους ποιοῦμαι, ἃ Ῥωμαῖοι μοι ἐλέγοντο, ἀφ' ἃ καὶ πάθημα αὐτῷ εἰς ἀνθρώπους ἥκειν, καὶ κρατῆσαι ἁπάντων, οἷς ξυμμίξειεν καὶ χειρὶ καὶ γνώμῃ, καὶ τὸ γλῶ ἐπῆλθον, ὡς Ὅμηρός φησι τὸν Θεὸν, ἀνθρώ-

πων

ων ὕβεμντο καὶ ἀνομίαν ἐφέποντες. Σκύθας δὲ πάν-
Ἡρόδοτός τε φησὶ καὶ ἡμεῖς ὁρῶμεν, κατεχομένους ὑπὸ πό-
σων πάντας δεινίας. ἔστι γάρ εἰσιν, ἀφ' ὧν οἱ παντα-
δῆλοι, οἱ μηδέποτε γῆς ἐγκρατεῖς, δι' ἃς ἡ Σκυθῶν ἐ-
ρημία πεπαροιμίασται, φεύγοντες ἀεὶ τὴν οἰκείαν. ἃς ἐξ
ἀθίωτου σφετέρων φασὶν οἱ τὰ παλαιὰ ἀναδόντες, Κιμ-
μέριοί τε ὠκέσησαν πρότερον, καὶ αὖθις ἕτεροι, καὶ αἱ γυ-
ναῖκές ποτε, καὶ οἱ πατέρες ὑμῶν, καὶ ὁ Μακεδών, ὑφ'
ὧν τὴν μὲν εἰς τὰς ἔσω, τὴν δὲ εἰ τὰς ἔξω παρεχώρησαν,
καὶ ἃ παύονται γε, ἕως ἂν ὦσι τοῖς κατὰ τὴν ἀεὶ γῆν
ἐλαυνόντων ἀντιδιδόμενοι. Ἀλλ' ὅταν ἐμπέσωσιν ἄφνω τοῖς
ἃ προσδεχομένοις, ὅπη καιρὸν παράσχοιεν ὥσπερ Ἀσσυ-
ρίοις πάλαι, καὶ Μήδοις, καὶ Παλαισίνοις. καὶ τὸ νῦν δὴ
πᾶν παρ' ἡμᾶς ἃ πολεμησείοντες ἦλθον, ἀλλ' ἱκετεύσον-
τες, ἐπειδὴ πάλιν ἀνέσαντο. μᾶλλον δὲ εὐτυχήσαντες
καὶ τοῖς ὅπλοις Ῥωμαίων, ἀλλὰ τοῖς ἤθεσιν, ὥσπερ ἴσως
ἔδει τοῦ ἱκέτης γενόμενος ἀμαθὴς τὸ εἰκὸς ἀντιδίδου, καὶ ἐ-
θρασύνετο, καὶ ἠγανακτοῦσι τὴν ἀργυρίων, ὑπὲρ ἃ πα-
τρὶ τῷ σῷ δίκας ἐπ' αὐτὸς ὡπλισμένῳ διδόντες, αὖθις ἦ-
σαν οἰκεῖοι, καὶ ἱκέται σὺν γυναιξὶν ἐπάδιζον. ὁ δὲ τῷ
πολέμῳ νικῶν, ἐλέῳ πολὺ πλεῖον ἴσχυε, καὶ αἴσῃ τῆς
ἱκετείας, καὶ συμμαχίας ἐποίει, καὶ πολιτείας ἠξίου, καὶ
μετεδίδου γερῶν, καὶ γῆς τι ἐδάσατο τοῖς παλαμναίοις Ῥω-
μαϊκῆς, αὐτὴρ τῷ μεγαλόφρονι καὶ ἀγναίῳ τῆς φύσεως δῆ-
τὸ πρῶον ἀγνοήμονες. Ἀλλ' ἀρετῆς γε τὰ βάρβαρον ἀ ξυ-
νίσιν. ἀρξάμενοι γὰρ ἐκεῖθεν, τὰ μέχρι τῶδε καταγελῶ-
σιν ἡμῶν, εἰδότες οὐ τε ἦσαν ἄξιοι παρ' ἡμῶν, οὐ τε ἠ-
ξιώθησαν· τό, τε πλέος τὸ γεῖτοσιν αὐτῷ ἤδη τῷ ἐφ' ἡ-
μᾶς ὠδοποίησε, καί τινες ἐπφοιτῶσιν ἱπποτοξόται ξυνοί
καὶ τὰς ῥᾳδίως ἀνθρώπους, φιλοφροσυνίῳ αἰτῆνες, πα-
ράδειγμα δικαίας τὰς χεῖρας ποιέμενοι, καὶ προβαίνειν ἔοι-

κὸ τὸ κάκιον, εἰς τὴν καλυμμένων ὑπὸ τῶν πολλῶν πειθανάγκην. φιλοσοφίᾳ δὲ ὁ διαιτητέον ὑπὲρ τῶν ὀνομάτων, ὑπηρετίαν τῇ διανοίᾳ ζητοῦσι, κἂν χαμόθεν αὐτὴν εἰς τὰ πράγματα συμπορίζηται ξαυτὴν τε καὶ ἐφαρμόζουσαν. Πῶς οὖν ἂν κάλλιστον ἀναμαχέσαιμι τὸ κλέος, ὀξελάαν ἐνθονδὶ κυνέας κυρεοσιφορήτους; ἐμοὶ μὲν, τὸ κάλλιστον τοῦτο, τὴν πάντων διαφέρειαν ἔχον φαίνεται, αὐξηθέντων μὲν τῶν καπηλόγων, τοῖς δὲ καπηλόγοις τῶν φρονημάτων, καὶ ἐθισμῶν οἰκείων τῶν συμπραγμάτων, παρόδῳ τῇ βασιλείᾳ τὸ ἐθιζόμενον ἀπ' αὐτῆς ἐλπίδες. καὶ Ὅμηρος αὐτὸ καθιέρωσε τοῖς ἀρίστοις. Θυμὸς δὴ μέγας ὅτι διοτρεφέων Βασιλήων. Θυμὸν μὲν ὅτι τοὺς ἄνδρας δεῖ, καὶ ἡ γεωργήσουσιν ἐξ ὑπαγμάτος, ὥσπερ πάλαι Λακεδαιμόνιος Μεσσήνιοι τὰ ὅπλα καταβαλόντες εἰλώτευον, ἢ φλέξονται τὴν αὐτὴν ὁδὸν αὖθις, τοῖς πέρυσι τὰ ποταμῆ διαγγέλλοντες, ὡς μὲν ἐκεῖνα ἔτι τοῖς Ῥωμαίοις τὰ μείλιχα, ἀλλ' ἐξηγεῖται τις αὐτῷ, νέος τε καὶ ἐθνικὸς, δεινὸς ἀνὴρ, ἐάχαιον καὶ αἰσχίστου αἰτιόφωτο. εἶεν. Αὕτη μὲν τοι ξοφὴ καὶ παιδεία Βασιλέως πολεμικοῦ. τὸν δὲ εἰρηνικὸν ἐξῆς πολυπραγμονῶμεν. ἐπὶ μὲν ὁ πολεμικὸς παντὸς μᾶλλον εἰρηνικός. μόρῳ γὰρ ἔξεστιν εἰρήνην ἄγειν τῷ δυναμένῳ τὸν ἀδικοῦντα κατέχειν. καὶ φαίην ἂν ἔγωγε Βασιλέα τοῦτον, πάντα ἐκ πάντων τὰ εἰς εἰρήνην συγκεκρομῆσθαι, ὅστις ἂν ἐθέλων ἀδικεῖν, τὸ μὴ ἀδικεῖσθαι πεποίησαι δύναμιν. πολεμήσεται γὰρ, ἐὰν μὴ πολεμήσει. ἔστι μὲν εἰρήνη πολέμου μακαριώτερον, ὅτι καὶ ἀρὰ τὴν εἰρήνην τὸ πολέμου ἀφροδισιάζεται. τέλος οὖν ὂν τῷ δι' αὐτὸ, δικαίως ἂν προτιμῷτο. Καλῶς ἂν ἔχει τῷ σώματι τῆς ἡγεμονείας δίχῃ διαιρεθέντι καὶ τὸν ὄχλον τὸν ὡπλισμένον καὶ ἄοπλον, ἀνὰ μέρος ἑαυτὸν ἑκάτερα διδόναι, καὶ συνεῖναι μὲν τοῖς μαχίμοις ταῖς πόλεσι καὶ τοῖς δήμοις,

οἷς

οἷς διὰ τῶν μαχίμων ἄδειαν γεωργίας, καὶ πολιτείας ἐπορισάμεθα. συνέσται δὲ, τοῖς μὲν ἐπιφοιτῶν ὅσοις οἷόν τε τῶν ἐθνῶν, καὶ ὅσαις οἷόν τε τῶν πόλεων. εἰς ὃ δὲ μὴ ἀφικνεῖται τοῦ ἀρχομένου. καὶ τούτου δὴ ἐπιμελήσεται τῷ πεφηνότι δυνατῷ καὶ καλλίστῳ τῶν τρόπων. Τὸ δὲ χρῆμα τῶν πρεσβειῶν, ἄλλως τε ἱερὸν, καὶ δεῦρο τοῦ παντὸς ἄξιον, αἷς ὁμιλῶν Βασιλεὺς, οὐδέντι μεῖον εἴσεται τῶν ἀγχοῦ τὰ πόρρω, οὐδὲ ὄψεως αἰσθήσει τὴν ὑπὲρ τῆς ἀρχῆς προμήθειαν ὁριεῖται. ἀλλὰ καὶ ἐγερεῖ τὸ πεπτωκὸς οὐκ ἰδὼν, καὶ ἐπιδώσει τοῖς ἀπορουμένοις τῶν δήμων, καὶ ἀνήσει λειτουργιῶν τοὺς πάλαι λειτουργίαις πονοῦντας, καὶ ὑπισχνούμενον ἐκρήξει, καὶ ὄντα ἀνελεῖ πόλεμον, καί τι ἄλλο προδιοικήσεται. Ταῦτα παρὰ τῶν πρεσβειῶν ἕξει δίκην Θεοῦ πάντ' ἐφορᾶν, καὶ πάντ' ἐπακούειν· αἷς εὐπρόσοδος ἔστω καὶ πατὴρ ὡς ἥπιος, τοῦτο μὲν ἤδη καὶ γείτοσι, καὶ μὴ γείτοσιν. Ὁμήρου γὰρ αὐτὸ καθάπαξ περὶ τοῦ κατ' αὐτὸν εἰρηνικοῦ Βασιλέως ἤκουσα λέγοντος. Καὶ πρῶτόν γε ἐπιτετάχθων οἱ στρατιῶται φείδεσθαί τε καὶ ἥκιστα λυπηροὶ γίνεσθαι τοῖς ἀστυπόλοις τε καὶ ἀγροδιαίτοις, μεμνημένοι πόνων, οὓς δι' αὐτοὺς ἀνείλοντο· ἵνα γὰρ σώζηται τὰ πόλεών τε καὶ γῆς ἀγαθὰ, Βασιλεὺς τε προπολεμεῖ, καὶ καταλέγει τοὺς πολεμήσοντας. Ὅς τις οὖν ἐμοῦ τὸν μὲν ἀλλόφυλον ἐχθρὸν ἀπερύκει, αὐτὸς δὲ οὐ τὰ μέτρια μοι χρῆται, οὗτος οὐδέν μοι δοκεῖ διαφέρειν κυνὸς, δι' αὐτὸ τοῦτο τοὺς λύκους ὡς πορρωτάτω διώκοντος, ἵνα αὐτὸς ἐπὶ σχολῆς κεραΐζῃ τὴν ποίμνην, δέον ἀπέχειν τῆς φυλακῆς τὸν μισθὸν τοῦ γάλακτος ἐμφορούμενον. Ἀκριβὴς οὖν εἰρήνη, πεπαιδεῦσθαι τοὺς στρατιώτας τοῖς ἀόπλοις ὡς ἀδελφοῖς χρῆσθαι, μόνα φερομένους ὅσα ἐτάχθηταν. Οὐδὲ τὸ τρύχειν εἰσφοραῖς τὰς πόλεις βασιλικόν. ἀγαθῷ γὰρ ὄντι ποῦ καὶ δεῖ χρημάτων πολλῶν, οὔτε χαυνόντι γνώμης εἰς ἔργα δαπανηρὰ καθιέντι, καὶ ἀντὶ σώφρο-

νος χειρὸς ἀλαζόνα φιλοτιμίαν παρεσβάλλοντι, ὅτι μειρακιώδη γνώμην καταχαριζομένῳ καὶ ὅτι σκιωνῆς παιδιᾶς τοὺς τῆδε ἀπαιδεύτους ἐδράττεται, ἀλλ' οὐδὲ εἰς αὐάγκλιτον ἀφικνουμένῳ συχνῶν πολέμων, ὃς ὁ Λάκων φησὶν ὑπαγορεύεσθαι· ἀνάπιβάλλητον δὴ καὶ ἀνεπιχείρητον ὁ λόγος ἐποίει τὸν ἀγαθόν. Συνεσκαλμένων δὲ αὐτῷ τῶν ἐφ' ἃ δεῖ, καὶ τῶν ἀδὸν δεῖ· πάντων ὄξεσι γίνεσθαι προχειρίαν ἀλυπότατον, τὰ μὲν ἀναγκαῖα τῶν ἐλευθερίων ἀνιέντα, τὰ δὲ σύμμιξα ταῖς τῶν εἰσφερόντων διαιρέσεσιν ἀγαπῶντα. Βασιλεὺς δὲ ἐρασιχρήματος αἰσχίων καπήλου. ὁ μὲν γὰρ σύδεσιν οἰκειοῦται, τῷ δὲ ἀπροφάσιστος ἡ κακία τῆς γνώμης. Ἐγκωμιαστοῦ θαμὰ δεσποτικοῦ ἔπεσε τῶν παθῶν, ὃν πολλοὺς ἡμῖν τοὺς προσεπιτόπους ἄνδρας παρέχεται, κατιδεῖν ἐμοὶ δοκῶ καὶ τὰς ἰδιώτας, τὸ χρηματιστικὸν τοῦτο φῦλον, ὡς ἅπαντος μᾶλλον ἀγοραῖός τε ὄζει καὶ κακόηθες καὶ ἀκεραίως ἀνελεύθερον, ἐν μόνῃ τε ἂν τῇ νοσούσῃ πολιτείᾳ χώραν εὑρίσκοι τινὰ καὶ παντάπασιν ἔντιμον. οἵ γε καὶ φθάσαντες, ὑφ' αὑτῷ αὐτοὶ καταφρονήθησαν, ὅτι τῷ βαλλήματι τῆς φύσεως ἀντικειμένως διεκοσμήθησαν πρὸς τὸ πρᾶττον καὶ πολλοστόν· ἐπεὶ τὸ μὲν σῶμα συμπέπλεξαι εἰς ὑπεροψίαν ψυχῆς, τὸ δὲ ἐκτὸς χρείαν σώματος, τῷ δὲ ὑστέρῳ δέδωκε διάτορα. οἱ δὲ καὶ σῶμα καὶ ψυχὴν τῷ τρίτῳ συνάπτουσι. σφᾶς δὲ αὐτοὺς ἀτιμάσαντες, καὶ τὸ ἐν αὐτοῖς ἡγούμενον δᾶλον ποιήσαντες, τί ἂν ἔτι ἄτοπον μέγα καὶ σεμνὸν, ἢ παράξειαν, ἢ βλοσύρειαν; ὃς ἐγὼ καὶ μυρμήκων ἀφυέστερος ὑποφαινόμενος, καὶ μᾶλλον ὀλιγομνώμονας, οὐκ αὐχήσομαι τοῦ ἀληθεύειν. οἱ μὲν γὰρ χρείᾳ ζωῆς μέξουσι τὸν πόρον. οἱ δὲ τοῦ ζῆν μέξειν ἀξιοῦσι τῇ χρείᾳ τὸ πόρω. Ἐλαττέον δὴ αὐτῶν τε καὶ τῶν ἀρχομένων τοῦ χαλεποῦ τούτου κῦρος, ἵν' ἀγαθῶς ἀγαθῶν ἄρχῃ, καὶ ζῆλον ἀρετῆς ἀντεισφερέτω, ἧς αὐτὸς Βασιλεὺς καὶ ἀγωνιστὴς καὶ

ἀγω-

ἀγωνοθέτης γενέσθω. καὶ γὰρ αἰσχρὸν, ἔφη τις, διακοντίζεσθαι μὲν δημοσίᾳ καὶ διαπληκτίζεσθαι, καὶ στεφάνους εἶναι τοῖς ταῦτα νικῶσι, μὴ διασωφρονίζεσθαι δὲ μηδένα, μηδὲ διαρετίζεσθαι. Εἰκὸς δήπου, μᾶλλον δὲ πλέον εἰκότος, καὶ ἀνάγκηγε πᾶσα, τοιαύτῃ διαθέσει Βασιλέως ἑπομένας τὰς πόλεις, βίον βιοτεῦσαι τὸν πάλαι, τὸν χρυσοῦν, τὸν ὑμνούμενον, ἀσχολίαν ἐχούσας κακῶν, σχολὴν δὲ ἀγαθῶν, καὶ πρώτης τῆς εὐσεβείας. Εἰς ἣν ἡγεμὼν αὐτὸς ἔσται Βασιλεὺς, ἅπαντος ἀρχὴν καὶ μείονος ἔργου καὶ μείζονος θεόθεν αἰτῶν. ὡς ἔστι δή που παντὸς σεμνότερον θέαμά τε καὶ ἄκουσμα, Βασιλεὺς ἐν τῷ δήμῳ τὼ χεῖρε αἴρων, καὶ προσκυνῶν τὸν κοινὸν ἑαυτοῦ τε καὶ τοῦ δήμου Βασιλέα· λόγον τε ἔχει καὶ τὸ θεῖον γαννύσκεσθαι κυδαινόμενον Βασιλέως εὐσεβοῦς θεραπείᾳ, καὶ ἀρρήτοις συναφαῖς τὸν τοιοῦτον οἰκειοῦσθαι. κἀντεῦθεν οὖν παρὰ τὸ θεοφιλὴς εἶναι, φιλάνθρωπός ἐστι παντὸς μᾶλλον, οἵου τυγχάνει τοῦ Βασιλέως, τοιοῦτος τοῖς βασιλευομένοις φαινόμενος. Ἀλλ' ἐν τούτῳ τί οὐκ ἂν εἰκὸς τῶν δεόντων παρεῖναι; καί μοι πάλιν ὁ λόγος ἐστὶ τὰ μικρῷ πρόσθεν ἀνακάμπτει· χαρακτῆρα βασιλείας εὐεργεσίαν ἐτίθεμεν, τὸν δωρητικὸν πάλιν τῶν ἀγαθῶν, τὸν ἵλεων, τὰς ὁμωνυμίας ἀναπεμπαζόμενοι τοῦ Θεοῦ. αὐτά τε οὖν ταῦτα καὶ ὅσα μετὰ τούτων ἐλέγετο, πρὶν ἐπαγγείλασθαι πλάττειν τὸν ἐν τῷ λόγῳ Βασιλέα, συντετάχθω νῦν εἰς μέρη, καὶ πληρούτω τὸ ἄγαλμα. ὧν δή που κεφάλαιον ἦν, ὅτι παρεκτικὸς ὢν ἀγαθῶν, οὐ καμεῖται τοῦτο ποιῶν, οὐ μᾶλλον ἢ τὰς ἀκτῖνας ὁ ἥλιος φυτοῖς καὶ ζώοις δωρούμενος. οὐ γὰρ πόνος αὐτῷ καταλάμπειν, ἐν οὐσίᾳ τὸ λαμπρὸν ἔχοντι, καὶ πηγῇ φωτὸς ὄντι. Αὐτός τε οὖν ἑαυτὸν ἐμβιβάσας τῷ τοιῷδε τῆς ζωῆς εἴδει, δι' ἑαυτοῦ κοσμήσει πᾶν, εἰς ὅσον ἐφικνεῖται τοῖς ἀρχομένου, καὶ τοὺς ἀγχοῦ τῆς καθέδρας, οἱ μόνου μὲν αὐτοῦ

δευτερεύουσι, τῶν δὲ ἄλλων πρωτεύουσι, τῷ βασιλικῷ τῆς ψυχῆς κόσμῳ συντάξει, ὠφελητικοὺς ἀνθρώπων ὄντας πρὸς μέτρον ἕκαστον τῆς νεμεθείσης δυνάμεως. καὶ πρόεισι μὲν ἐπὶ πλεῖον οὕτω τὴν πρώτην ἡ ἐπιμέλεια τῶν ἀνθρώπων, πλειόνων αὐτὴν διὰ χειρὸς ἐχόντων. ἀλλά τοι δεῖ καὶ ὑπερορίους ἁρμοστὰς ἐκπέμπειν, ἐν ἀρχῆς μεγέθει τοσῷδε. Τὸ δὲ μὴ τοῦτο, τοὺς ἐπὶ τῆς δίκης ἄρχοντας φιλοκρινητέον, ὡς ἔστιν αὕτη θεία καὶ μεγαλομερὴς ἡ πρόνοια. ἕκαστον μὲν γὰρ τόπον καὶ ἄνδρα, καὶ ἀμφισβήτησιν ἐθέλειν εἰδέναι, πολλῆς γε τῆς ἐκ περιΐξεως, καὶ οὐδ' ἂν Διονύσιος ἤρκεσεν ὁ νήσου μιᾶς, καὶ οὐδὲ ὅλης ταύτης ἀρχὴν καταστησάμενος, ἐπιμελεῖσθαι· ἐπιμελητῶν δὲ δι' ὀλίγων ἐστὶ τῶν πολλῶν φροντίσαι· Ταύτην ἐκάλεσαν θεοπρεπῆ τε καὶ καθολικὴν κηδεμονίαν, ἣν ἐν ἁδρῷ μένουσαν ἤθει καὶ συγκύπτουσαν ἐπὶ τὰ τυχόντα τῶν μερῶν, οὐδὲ τὰ τυχόντα διαπέφευγε τῶν μερῶν. ταύτῃ χρώμενος ὁ Θεὸς, οὐκ αὐτὸς ἐκλεπτουργεῖ τῶν δεῦρο τὰ ἕκαστα, ἀλλὰ χρῆται χειρὶ τῇ φύσει, μένων ἐν ἤθει τῷ αὐτοῦ, καὶ ἔστιν αἴτιος μέχρις ἐσχάτου τῶν ἀγαθῶν, τῶν αἰτίων γινόμενος αἴτιος· καὶ βασιλεῖ ταύτῃ μετιτέον τῶν ὅλων τὴν ἐπιμέλειαν. Δικανεμέτω τὴν ἀρχὴν ὡς δυνατὸν, ἐπιστάταις δικαιοτάτοις τε καὶ ἀρίστοις. καὶ γὰρ ῥᾷον ὀλίγους, ἢ πολλοὺς γνώσεται. καὶ ῥᾷον ὀλίγων ἁμαρτανόντων, ἢ κατορθούντων αἰσθήσεται. ἀριστίνδην οὖν, ἀλλὰ μὴ πλουτίνδην, ὥσπερ νῦν, ἡ τῶν ἀρξόντων αἵρεσις γινέσθω· ἐπεὶ καὶ ἰατροῖς τὸ σῶμα ἐπιτρέπομεν, οὐ τοῖς πλουσιωτάτοις, ἀλλ' οἵτινες ἂν ὦσι τῆς τέχνης ἐπηβολώτατοι. ἄρχοντα δὲ δὴ καὶ μᾶλλον ἀνθαιρετέον τοῦ πλουσίου, τὸν ἔχοντα τὴν ἀρχικὴν ἐπιστήμην, ὅτι πλείω παρ' αὐτὸν κινδυνεύεται χεῖρον, ἢ βέλτιον κεῖσθαι. τί γὰρ εἴ τις παρ' αὐτοῦ τοῦ κακὸς εἶναι πλοῦτον συνείλοχεν, ἆρα ἄξιον ἄρχειν αὐτόν; ἀλλὰ μὴ

τὸν

τὸν πένητα μὲν, νόμιμον δὲ ἄνδρα καὶ δίκαιον, ὃς δι' αὐτὸ τοῦτο τὸ δίκαιος εἶναι πενίᾳ συνοικῶν οὐκ αἰσχύνεται; ἀλλ' ἐκεῖνος μὲν ὁ πλουτῶν ὁπωσοῦν, ἐωνημένος δὲ τὴν ἀρχὴν, οὐκ ἂν εἰδείη ὁποῖος ἂν γένοιτο νεμετὴς τοῦ δικαίου. φαίνεται γὰρ, ὡς οὕτως εἰπεῖν, οὐ ῥᾷστα ὁ τοιοῦτος ἀδικίαν μισῆσαι, σχολῇ δ' ἂν ὑπερίδειν χρημάτων; ἀλλ' οὐκ ἀποδείξειν τὸ ἀρχεῖον, δικῶν πωλητήριον. ὡς οὐκ εἰκός γε αὐτὸν διαράμενον βλοσυροῖς ὀφθαλμοῖς ἀντιβλέψαι χρυσίῳ. τοὐναντίον μὲν αἰδεσθῆναί τε καὶ ἐνδοῦναι καὶ τελευτῶντα περιπτύξασθαι, ᾧ καὶ κατ' αὐτὸ τοῦτο χάριν οἶδεν, ὅτι ἄρα πλούτου μοίρας τὴν πολιτείαν ἠλλάξατο, καὶ ὥσπερ ἄλλο τι τὰς πόλεις μεμίσθωται. οἶδεν οὖν ὅτι διὰ τοῦτο σεμνός τέ ἐστι καὶ ὑψοῦ κάθηται, περιβλεπόμενος ὑπὸ πολλοῦ τε ἄλλου λεὼ, καὶ τῶν εὖ ἡκόντων δικαίων τε καὶ πενήτων. ἀλλὰ σύ τι ποιεῖ ἀρετῆς ζηλωτὸν κἂν πενία συνῇ. μὴ λανθανέτω σὲ φρόνησις ἀνδρὸς καὶ δικαιοσύνη, καὶ ὁ λοιπὸς ἐσμὸς τῶν ψυχικῶν ἀγαθῶν ἐσθῆτι φαύλῃ κρυπτόμενος. ἀλλ' ἕλκειν τε αὐτὸν ἐν μέσῳ, καὶ ἀξιοῦν δημοσιεῦσαι τὴν ἀρετὴν, ἣν οὐκ ἄξιον οἰκουρεῖν, ἀλλ' ὕπαιθρον εἶναι καὶ ἐναγώνιον. εὖ γὰρ ἴσθι, σὺ μὲν ἐκείνους ἐν τῷ παραυτίκα κηρύξεις· ὁ δὲ ἀνακεκηρυγμένος αὐτὸς ἔσῃ διὰ παντὸς, δεῖγμα δοὺς τῇ διαδοχῇ τοῦ χρόνου βασιλείας εὐδαίμονος. κἂν οὕτω ποιήσῃς, ταχὺ πολλοὺς ὄψει πλοῦτον εἰργασμένον αἰσχυνομένους, καὶ ἄλλους ἐγκαλλωπιζομένους αὐθαιρέτῳ πτωχείᾳ. καὶ μεταπεσοῦνται τοῖς ἀνθρώποις αἱ νῦν περὶ αὐτὸν ὑπολήψεις, τὸ πλοῦτον ἐξευρεῖν ὄνειδος εἶναι, καὶ ἐν σεμνότητος μοίρᾳ πενίαν τηρῆσαι. Ὡς πολλῶν ὄντων ἃ δέδωκεν ὁ Θεὸς βασιλείᾳ ζηλωτὰ καὶ μακάρια, οὐδενὸς ἧττον, εἰμὴ καὶ παντὸς μᾶλλον ἀγασθείη τις ἂν αὐτῆς, καὶ ὑμνήσειε τὴν ἐν ταῖς ψυχαῖς τῶν ἀρχομένων ἰσχὺν, ὅτι μετατίθησι

Βασιλεὺς δόξαν ἤθους ἐγκεκαυμένην ἔθει παλαιῷ, καὶ ξυφῇ τῇ πρώτῃ, τῷ φαίνεσθαι τἀναντία τιμῶν καὶ περὶ πλείστου ποιούμενος· Ὅτῳ γὰρ Βασιλεὺς χαίρει, τοῦτ' εὐθὺς αὔξειν ἀνάγκη, καὶ ὑπὸ πλείστων ἐπιτηδεύεσθαι. Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος, ἐθέλω τι καὶ ὑπὲρ τῶν αὐτὸς ἐμαυτοῦ παιδικῶν εὔξασθαι. ἐρασθείης ὦ Βασιλεῦ φιλοσοφίας καὶ παιδείας ἀληθινῆς. ἀνάγκη γὰρ ἐκ τῶν εἰρημένων συνεραστάς σοι γενέσθαι πολλοὺς, ὧν τι καὶ ὄφελος· ἐπεὶ νῦν γε ὡς ἠμέληται, κίνδυνος ἀποσβῆναι, καὶ μετὰ μικρὸν οὐδ' ἐμπύρευμα λείπεσθαι βουλομένοις ἐναῦσαι. Ἆρα οὖν ὑπὲρ φιλοσοφίας ηὔγμαι τανῦν; ἢ τῇ μὲν οὐδὲν μεῖον κἂν ἀποικῇ τῶν ἀνθρώπων; ἑστίαν γὰρ ἔχει παρὰ τῷ Θεῷ, περὶ ὃν καὶ δεῦρο οὖσα, τὰ πολλὰ πραγματεύεται, καὶ ὅταν αὐτὴν μὴ χωρῇ κατιοῦσαν ὁ χθόνιος χῶρος, μένει παρὰ τῷ πατρὶ, πρὸς ὑμᾶς ἐνδίκως ἂν εἰποῦσα, τὸ οὔτι με ταύτης χρεὼ τιμῆς. φρονέω δὲ τετιμῆσθαι Διὸς ἐν αἴσῃ· τὰ δὲ ἀνθρώπινα πράγματα, παρούσης τε αὐτῆς καὶ ἀπούσης, χείρω καὶ βελτίω καὶ παντελῶς εὐδαίμονα καὶ κακοδαίμονα γίνεται. Ὑπὲρ τούτων οὖν καὶ ὑπὲρ φιλοσοφίας ηὔγμαι, καὶ εἴη γε τυχεῖν τῆς εὐχῆς, ἣν Πλάτων εὐξάμενος οὐκ εὐτύχησεν. ἴδοιμί σε τῇ βασιλείᾳ προσειληφότα φιλοσοφίαν, καὶ οὐκ ἔτι ἄν μου πρόσω τις λέγοντός τι περὶ βασιλείας ἀκούσεται. Ἀλλ' ὥρα γὰρ ἤδη σιγᾷν, ὡς ἐνὶ τούτῳ πάντα συνῄρηκα. κἂν γένηται τοῦτο, δέδωκά σοι ὅπερ ἀρχόμενος ᾔτησα, λόγῳ μὲν αὐτὸς ὑποσχόμενος ἀνδριάντα Βασιλέως σοι δεῖξαι. καὶ γάρ ἐστι λόγος ὄντως ἔργου σκιή. παρὰ σοῦ δὲ αὐτὸν ἀντήτουν ἔμβιον ἀπολαβεῖν καὶ κινούμενον· καὶ ὄψομαί γε οὐκ εἰς μακρὰν, καὶ ἀποδώσεις μοι τοῦ Βασιλέως τὸ ἔργον, εἰ μὴ θυραυλήσουσιν οἱ λόγοι περὶ τὰ ὦτα, ἀλλ' εἰσρυήσονταί τε καὶ τοῖς μυχοῖς ψυχῆς ἐνδιαιτήσονται. οὐ μὴν

ἀθεεὶ

ἀθιεὶ πείθομαι τὴν φιλοσοφίαν ὅτι τὴν παραίνεσιν ἐξωρ-
μῆσαι, σὺν ἀσφαλεῖ τῷ Θεῷ προθυμούμενόν τε σὲ αὔξειν,
ὡς οἷόν τε ῥᾴδιον· ἐγὼ δ' ἂν δίκαιος εἶμι ὑπολαῦσαι πρώ-
της τῆς ἐμαυτοῦ σπερμάτων τῆς βλάστης, οἷόν σε πλάτωνα
Βασιλέα, τοιούτου πειρώμενος, ὅταν ὥσπερ ὧν αἰτῶσιν αἱ
πόλεις παρέχω λόγον καὶ δέχωμαι.

ΘΕΜΙΣΤΙΟΥ

ΦΙΛΟΣΟΦΟΥ,

Τοῦ Ἐπικληθέντος Εὐφραδοῦς. Περὶ Φιλίας.

Τί δή ποτε, ὦ μακάριοι, ἂν μέν τις ὑμῖν διηγῆται περὶ τῶν Τρώων καὶ Ἀχαιῶν, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἢ περὶ τῆς Ξέρξου στρατείας, ὧν ἤλασεν ὑπὲρ Ἑλλήσποντον κατὰ τῆς Ἑλλάδος, ἢ περὶ τῆς Ἑλλάδος αὐτῆς, ὁπόσα ἀνέτλη πρὸς ἑαυτὴν στασιάζουσα. ἐκ τούτων μὲν ἥδεσθε τῶν λόγων, καὶ κατέχεσθε κηλούμενοι, καὶ τοὺς υἱεῖς ἀξιοῦτε μανθάνειν, ἀρξαμένους ἀπὸ τῆς μήνιδος τῆς Ἀχιλλέως, ὡς ταύτην οὖσαν ἱκανὴν παιδεύειν, καὶ διὰ τοῦτο σοφωτέρους ἐσομένους, ἐὰν ἐπίστανται πόλεών τε καὶ ἰδιωτῶν πολέμους τε καὶ ἔχθρας, καὶ τὰς ἀπ' αὐτῶν συμφοράς· τῶν δὲ ὑπὲρ φιλίας λόγων, καὶ ὁπόσα ἀνθρώπους ὀνίνησιν, οὐδὲν πώποτε ἐφροντίσατε, οὔτε αὐτοὶ βουλόμενοι μαθεῖν, οὔτε τοῖς παισὶν ὑμῶν παρακελευόμενοι; καίτοι ἔριν μὲν ἀπολέσθαι ἐκ τῶν ἀνθρώπων αὐτὸς εὔχεται ὁ τῆς ἔριδος ποιητής. ἄνευ δὲ φιλίας οὐδεὶς ἂν ἕλοιτο ζῆν, ἔχων τὰ λοιπὰ ἀγαθά. Ὅς τις μὲν οὖν δὴ ὀλίγου ἄξιον τὸ πρᾶγμα νομίζει, ἴστω σφόδρα ὀλίγου ἄξιος ὤν· ὅτῳ δὲ εὐπετὲς εἶναι δοκεῖ, τῶν Θεόγνιδος ἀκουσάτω. Παύρους εὑρήσεις Πολυπαίδη, ἄνδρας ἑταί-

ρης. Πισὰς ὲν χαλεποῖς παράγμασι γινομένης. Τί οὖν ἐστιν ὃ ῥαθυμεῖτε περὶ τὸν λόγον; ἢ ὑμεῖς μὴν ὰ ῥαθυμεῖτε· φιλήκοοι γάρ ἐστε, καὶ πᾶν ἀκούετε προθύμως ὅ, τι ἄν τις λέγῃ. λέγουσι δὲ καὶ πάντα οἱ λέγοντες· ἀλλ' οἱ μὲν ἐπαινοῦσιν ὑμᾶς σωφάγοντες, οἱ δὲ ἐμμελετῶσι τὴν δεινότητα, οἱ δὲ ᾄδουσι καὶ προσῳδοῦσι, γλυκεῖαν τε καὶ μαλακὴν καταχέοντες ὑμῶν ἁρμονίαν. λόγος δὲ, δι' οὗ ἄν ἄνθρωποι ἄμεινον ζῶσιν, καὶ σφόδρα δ' πορεῖν μοι δοκεῖ τε, οὐχ ὑμετέρα κλῆσις. τὴν δὲ λεγομένων φιλοσοφεῖν, οὐ σφίσιν ἀσχολῶ ὑπειλήφασιν ὲν γωνίᾳ μόνῃ περὸς τὲ μειράκια φιθυρίζειν, φοβεῖν δὲ τὰ μέσα τῆς πόλεως καὶ τὸν Καλλικλέους ὀνειδισμὸν, καὶ τὰς ἀγορὰς, ὲν αἷς φησιν ὁ ποιητὴς ἀειπρεπέας πλέθειν τοὺς ἄνδρας. Τύπος μὲν ἄν ἐστιν ἑαυτὸν ὲνταυθοῖ μένειν, ὅπερ μένειν ἐθέλουσιν. ἡμῖν δὲ προσακτέον ἐς τὸ φῶς τὰς λόγους, καὶ συνεθιστέον αὐτὰς ὄχλον τὸ ἀνέχεσθαι, καὶ θόρυβον χρομένην καὶ διὰ μακρᾶς φωνῆς συγκαθημένην. παντὸς δὲ καθ' ἕκαστα εὖ ποιεῖν ἐστιν ἀνοὶ, καὶ πολλὰς ἅμα διωκόντων· ἀ γὰρ τοῖς σιτίοις ἴσως ἐοίκασιν, ὅσα ἐνὶ μὲν καὶ δυοῖν ἀνύπερθεν, πλείνας δὲ ἀκέσ' ἂν πορίσειεν δαιτυμόνας· ἀλλὰ ταῖς ἀκτῖσι μᾶλλον τᾶς μεγάλας Θεᾶς, ἢ τῶν δυοῖν ὀφθαλμοῖν τὰς μυρίας ἀχ ἵππον καταλάμπουσιν. Ἀλλ' ὑπερπετέον τὸν λόγον, καὶ παράγοντες αὐτὸν ἀπεπλανήθημεν. καλὸν μὲν δὴ καὶ φιλίππῳ τέχνῃ γενώσεσθαι, ἢ δεδιδάσκεται τοὺς καλοὺς ἵππους τῶν φαυλοτέρων· καλὸν δὲ καὶ φιλοχρύσῳ τινὶ λίθον πεπάσθαι, ἢ βασανίζουσι τὸν χρυσόν. κτήσαιτο δ' ἂν καὶ βᾶς ἀμείνας ὁ βοῶν ἀρετῇ ἐπεσκεμμένος, καὶ πλοῖον ὁ ναυτικὸς, καὶ κυνὰς ὁ κυνηγέτης. Ἐγὼ δὲ τὰ μὲν ἄλλα εἰμὶ φαῦλος καὶ ἄτεχνος, καὶ ὅτε ἀγαπᾶν σφόδρα, ὅτε βδελύσσομαι κρίνειν· ἑνὸς δέ εἰμι κτήματος ἐραστὴς, φιλίας ἀληθινᾶς καὶ ἀδόλου, καὶ τοῦτο ἂν ἐλοίμην ὑπάρξαι μοι

μᾶλλον ἢ Νισαῖον ἵππον, καὶ κύνα Κελτὸν, καὶ τὸ Δαρείου χρυσίον, καὶ τὸν ἐν Κρήτῃ ταῦρον, καὶ τὴν Ἀχιλλέως ἀσπίδα, ἣν ἐποίησεν Ὅμηρος φέρουσαν ὅλον τὸν οὐρανὸν, ἥλιόν τε καὶ σελήνην, ἀντικρὺ δὲ ἡλίου θάλασσάν τε καὶ γῆν, καὶ γεωργοῦντας, καὶ γαμοῦντας, καὶ δικαζομένους, καὶ πολεμοῦντας. ἀλλ' οὕτως ἦν ἄρα φιλίας τὸ κτῆμα ἐκεῖνο φαυλότερον, ὡς ὅγε Ἀχιλλεὺς οὐδ' ὁτιοῦν ῥᾷον ἐγένετο τῆς ἐπὶ Πατρόκλῳ λύπης, ἡνίκα ἐκόμισεν ἡ μήτηρ αὐτῷ τὴν ἀσπίδα· ἀλλὰ καὶ προήκατο ἑτέραν ἀσπίδα τοιαύτην, ἵνα ὁ φίλος μὴ ἀνιῷτο, καὶ πάλιν ἐκτήσατο τοιαύτην ἑτέραν, ἵνα ὁ φίλος μὴ ἀτιμώρητος γένοιτο. Ἅτε γοῦν ἐρωτικῶς ἔχων τοῦ κτήματος συνελεξάμην ἐμαυτῷ πολλὰ ἄττα βασανιστήρια, καὶ μεταλλῶ εἴ τινα δὴ καταμάθοιμι συνεπιθυμοῦντά μοι τῶν αὐτῶν παιδικῶν. Σὲ δὲ, ὦ τοῦ χοροῦ τοῦδε κορυφαῖε, οὕτως ὁρῶ τὸν αὐτόν μοι πόθον σπουδάζοντα, ὥστε εἰ μὴ φιλία τὸ ποθούμενον, ἐζηλοτύπησα ἄν σε καθάπερ τοὺς ἀντερῶντας. νῦν δὲ γυναικὸς μὲν ὡραίας ἤδη τινὲς ἐπιθυμοῦντες, αἵματι τὸν ἔρωτα ἔκριναν· καὶ τιμῆς πέρι μαχόμενοι πρὸς ἀλλήλους οὐ παύονται οἱ φιλότιμοι. τὸν πολυάρατον πλοῦτον τί ἂν καὶ λέγοιμεν ὁποίων ἀγωνοθέτης πολέμων ἐστί; μόνοι δὲ οἱ φιλίας ἐρῶντες οὐ μάχονται ἀλλήλοις περὶ τοῦ κτήματος, ἀλλ' εὐθὺς ἐν ἀλλήλοις ἐξευρίσκουσι τὰ παιδικά. Τὸ ἔργον εὐτυχὲς μὲν δὴ ὅτῳ καὶ ἰδιώτῃ ὑπῆρξε γενέσθαι ἐπηβόλῳ τοῦδε τοῦ κτήματος, εὐτυχέστερον δὲ ὅτῳ πολλὰς μὲν πόλεις, πολλὴν δὲ χώραν ἐπιτροπεύοντι. ὃν γὰρ πολλὰ μὲν ἀκούειν δεῖ, πολλὰ δὲ ὁρᾷν, πολλῶν δὲ ἅμα ἐπιμελεῖσθαι, τούτῳ σφόδρα ὀλίγα τὰ δύω ὦτα, καὶ τὼ δύω ὀφθαλμὼ, καὶ τὸ σῶμα ἓν ὂν, καὶ μία ἐνοῦσα ἡ ψυχή. εἰ δὲ φιλίαν πλουτοίη, καὶ ὄψεται θαμὰ, καὶ ἀκούσεται τῶν οὐ πλησίον, καὶ εἴσεται τὰ πόῤῥω, καθάπερ οἱ

μαν-

μάντεις, καὶ πλείοσιν ἅμα παρέσται, καθάπερ οἱ Θεοί. Πῶς οὖν δή τις τόγε τοιοῦτον ἀγαθὸν εὕροιτ' ἂν, καὶ εὑρὼν θηρεῦσαι, καὶ θηρεύσας ἐγκρατὴς ἔσοιτο; ἆρα οὐχ ἡμᾶς δεῖ, καθάπερ τοὺς κυνηγέτας, πρῶτον ἁπάντων πεπαιδεῦσθαι τὰ ἴχνη τῆς ἄγρας, καὶ τὰ σύμβολα καὶ σημεῖα γινώσκειν ἀκριβῶς καὶ ἐπιλέγεσθαι, δι' ὧν καὶ αὐτοὶ μὴ λησόμεθα, καθάπερ, οἶμαι, οἱ τὰ θηρία ἰχνηλατοῦντες, κρημνὸν ἀντὶ χρηστῆς ἄγρας ἐπί τινα ἄτομον ἐξενεχθέντες; καὶ γὰρ δὴ καὶ ἐν τῇδε τῇ θηρείᾳ πολλὰ καὶ ποικίλα θηρία, εὐδαίμονα φιλίαν μιμεῖται· μάλιστα δὲ τὸ πάντων ἐπιβουλότατόν τε καὶ ἀγριώτατον, ὃ καλεῖται ὑπὸ τῶν νῦν ἀνθρώπων ὑπόκρισις. τοσαύτη δὲ αὐτῆς ἡ πρὸς τὴν μίμησιν κακουργία, ὥστε καὶ μέχρις εὐνῆς ἔλθοις ἂν πολλάκις, τοῖς ἴχνεσιν ἀπατώμενος· τῇ δὲ οὐκ ἀρκεῖ βαίνειν ὁμοῦ μόνον, ἀλλὰ καὶ φωνῆς ἂν ἀκούσαις παραπλησίας, καὶ φθέγματος εἰς ἀπάτην γεγοητευμένου. ἔοικε τῶν ἀνθρωπίνων ἀγαθῶν ὄντως ἕκαστον εἶναι κινδύνῳ κεκαλυμμένον, μηδέν τε ἄκρατον τοῦ ἐναντίου. καὶ λέγει τις ὀρθῶς ἄρα τῶν τοῦ γέλωτος ποιητῶν, ὅτι μηδὲν ἐστιν ἀγαθὸν ἐν τῷ βίῳ φυόμενον, ὥσπερ δένδρον, ἐκ ῥίζης μιᾶς. Ἀεὶ δ' ἄρ' αὐτῷ προσπέφυκε καὶ κακόν. τοῦτο οὖν ἐστιν ὃ διόλλυσι τοὺς πολλοὺς, οὐκ ἔχοντας εὐκόλως ἐκλέγειν τὰ ἀμείνω τῶν φαυλοτέρων. δεώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς τῆς Ὁμηρικῆς Ἀθηνᾶς, ἐάν πως ἡμῶν ἀποσκεδάσῃ τὴν πολλὴν ἀχλὺν τῶν ὀμμάτων, ὄφρ' εὖ διαγινώσκοιμεν οὐ Θεὸν ἐν ταῖς μάχαις καὶ ἄνδρα, ἀλλὰ φιλίαν ἀληθῆ καὶ πεπλασμένην. λεκτέον οὖν ὅσα τέ ἐστι καὶ ὁποῖα ἄττα γνωρίσματα τοῦ μέλλοντος ἐγκριθήσεσθαι. καὶ γὰρ δὴ καὶ σὺν Ἀθηνᾷ καὶ χεῖρα κινεῖν ὁ (τῆς Ἀθηνᾶς) λόγος φησί. Πρῶτον μὲν οὖν ὁ δοκιμαζόμενος ἔστω φιλόστοργός τε καὶ φιλοίκειος ὅτι μάλιστα, καὶ φύσει τόδε τὸ κέντρον ἔχων ὡς παραίτιον τῆς

ξυγ-

ξυγκολλήσεως. Εἰ οὖν φαίη μέ τις ληρεῖν ἐξ αὐτῶν τῶν προοιμίων, κελεύοντα πρὸ πείρας γινώσκειν ἃ μετὰ πείρας οἷόν τε μόνης· εὖ τοι γινωσκέτω μὴ δεήσεσθαι μαντικῆς, οὐδεὶς γὰρ ἡμῶν, κατὰ τοὺς ποιητὰς, Ἀπὸ δρυός ἐστι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης. Ἀλλ' ἑκάστῳ καὶ πατὴρ καὶ μήτηρ ἐστὶ καὶ ἀδελφὸς, ἴσως καὶ συγγενής. ὅταν οὖν ἐθέλῃς γινώσκειν, ὅπως σοι χρήσεται φίλῳ ἄνθρωπος οὗτος, γινώσκειν πρῶτον χρὴ ὅπως ἐχρήσατο τῷ πατρὶ, ἢ ὅπως τῇ μητρὶ, ἢ ὅπως τἀδελφῷ χρῆται, ἢ ὅπως ἔχει πρὸς τὴν γυναῖκα. Εἰ μὲν γὰρ τούτοις πρᾷός τε εἴη καὶ εὔνους, ἐλπίζειν χρὴ καὶ πρὸς ἑαυτὸν τὰ ἀμείνω· εἰ δὲ χαλεπὸς καὶ δυσμενὴς, σοὶ πόρρωθεν ἂν εἴη φευκτός. ὁ γὰρ πρὸς τὰ ἔνδον ποιηρὸς, οὐκ ἂν γένοιτο πρὸς τὰ ἔξω χρηστός. Μετὰ δὲ ταῦτα σκεπτέον, εἰ μὴ παντελῶς ἄφορος εὐχαριστίας. ὥσπερ γὰρ τῆς γῆς ἡ μὲν ἄκαρπος, ἡ δὲ πιστὴ τὰς ἀμοιβὰς ἀποδοῦναι τῷ τὸ σπέρμα καταβαλόντι· οὕτω καὶ τῶν ψυχῶν αἱ μὲν ἄγονοι χαρίτων καὶ λήσμονες, καὶ πρὸς φιλίαν ἀχρεῖοι, ταῖς δὲ ἐπανθεῖ τὸ πρόθυμον εἰς τὴν ἔκτισιν. οὐ γὰρ πάντως τὸ ἔργον ἀπαιτητέον, ἀλλὰ τὴν γνώμην μόνον ἐξεταστέον, καὶ εἰ τοσαῦτα ἐκτίνουσιν ὅσα δύνανται· δύνανται δὲ πάντως ἐπαινεῖν τε καὶ μνημονεύειν. οὐδὲν γὰρ ὅλως φιλίαν οὔτε συνδεῖ μᾶλλον εὐχαριστίας, οὔτε διόλλυσιν ἀχαριστίας. καὶ διὰ τοῦτο ὁ Περσικὸς νόμος δίκας εἰσπράττεται ἀχαριστίας, ὅτι μάλιστα ἐμποιεῖ μῖσος ὅπη ἂν ᾖ. οὐ δὲ μηδεὶς κολάζει νόμος, ἐνταῦθά περ αὐτῆς μισοῦσι μὲν ἀλλήλους, οὐ δικάζονται δὲ, ἀλλὰ κρύπτουσι τὸ ἔχθος. Σκεπτέον δὲ καὶ, ὅπως ἔχει τὸ θήραμα πρὸς ἡδονάς τε καὶ πόνους πολλοὺς, καὶ εἰ μὴ σφόδρα τοὺς μὲν ἀποφυγγάνει, ταῖς δὲ ἁλίσκεται. πολλοὺς μὲν γὰρ αἱρεῖσθαι πόνους, πολλὰς δὲ ὑπερβαίνειν ἡδονὰς, ἐν τοῖς ὑπὲρ φιλίας ἀγῶσιν ἀνάγκη.

κη· ἀλλ' τί ποτε ἄλλο γνώριμος ὁ τοῦ Σοφίου, ἢ ὅτι πὰς σιω Ὀρέστη παλαιπωρίας τῆς οἴκοι βασιλείας ἀφ' πλείονος ἐποιήσατο; Καὶ μὴν κη τόδε δεῖ σκοπεῖν, εἰ βάσκανος, εἰ φθόνου κρείσσων· ἢ προσδοκᾷς τινα ἑκατὼν ἂν σέρξαι φίλον, ὃς τῶν τὰ κόσμια ἐντὸς ἔχει, ἃ πέφυκε τοῖς μὲν ἔγγιστα πολεμεῖν, τῶν δὲ μηδὲν προσηκόντων ἀπέχεσθαι; Οὐ μὴν κἀδὲ τόδε ἀφαιρεῖ, ὡς ἐγ' ᾠμαι, ὅταν κρίνειν μέλλῃς φύσιν φιλητὴν τε κὴ μὴ, μή σε λάθῃ, μετέχουσα ἀνελευθερίας. ἐναντιώτατον γάρ τι σμικρολογία ψυχῇ μελλούσῃ φιλέας ἀληθινῆς ἐπορέξασθαι. ὁρῶμεν γάρ τι τὼς καλουμένους φίλους, ὅτι τέως μὲν τὲς δεξιάς τε ἀλλήλοις συμβάλλουσι, κὴ συμποτῶσι, κὴ συνδήγουσιν· ἐπειδὰν δὲ ὀλίγα κέρματα μεταξὺ τύχῃ τις βάλῃ, ὥσπερ τὰ κυνάρια μεθαλλόμενοι δάκνουσί τε ἀλλήλους κὴ ἀπαράττουσι. Τί ἂν ὁ φρὰς κὴ ὠχαεὺς, μηδὲ φιλοχρήματος, μηδὲ βάσκανος; ἆρα εἰ φιλόδοξος εἴη κὴ παὶ τῷ πρωτεύειν ἐρριμμένος, ἐθ' ὅπως ἂν δυποιοῦντος χθοιτο; κὴ τίς ἂν οἶδεν ὅτι τῷ ἐκ φιλίας ἰσότιμα ἃ σφόδρα ἀνέχεται φιλοτιμίᾳ; ὑπερόπτεω δὴ κὴ ἀλαζόνα πολλῷ ὑπηφείαν ζητοῦντι μᾶτε ἐγκείνωμαι· ἃ μὲν ἀδὲ ἀκρόχολον ἢ ὀργίλον. πῶς γὰρ ὀπτιμάδεος εἰς σωνήθειαν ὁ μεμψιμοιρός; ἐγὼ δὲ οἶμαι τῷ ὀργῷ μανίαν ὀλιγοχρόνιον εἶναι. Τόδε τοίνυν μὴ παῦπα σκεπτέον, εἰ μὴ σφόδρα ἐφ' ὅτι νοσήδης τῶν ἃ πάντων χρησῶν, κυβείαν, ἢ πεττείαν, ἢ κιθαρισικῷ, ἢ αὐλῇς. ὅπῳ γὰρ αὖδεὶ εἰς ἕν τι ποιῶτον αἱ ἐπιθυμίαι πᾶσαι ῥέπουσι, πάτῳ δὲ κὴ αὖ εἰς τ' ἀμείνω γίγνοιτο φιλίαι ἰσχυραὶ, ὥσπερ ῥεῦμα δὴ τὸ πρανέστερον ἀποτεξαμένας. ἆρ' ἂν κὴ δυπετὲς ἐξευρεῖν ἀνδρὶ ἄπῳ κεκαθαρμένον; ἢ κὴ χρυσῷ ἀσπασιώτερον ἀρετὴ, κὴ ἀγαπητὸν ἔτῳ κὴ εἰς πα τοιόσδε εἰς τῷ κρίσιν ἀφίκοιτο; κὴ ἆρα

πε-

πολύφιλος, οὐδὲ μυριόφιλος ἔσται ὁ τῆς ἐκλογῆς ἐπιστήμων; Καὶ γὰρ αὖ ἀναγκαῖον αὐτῷ μὴ ἐπ' ὀλίγων ἱσταμένῳ, μηδὲ τοῖς πλείοσιν ἔχειν ὅ, τι χρήσαιτο. σκέψαι γὰρ πολλοὺς ἀνθρώπους οὔτε χαίρειν τοῖς αὐτοῖς, οὔτε ἀνιᾶσθαι δυνατὸν, οὔτε μὴν τύχῃ ὁμοίᾳ κεχρῆσθαι, ἀλλὰ τῷ μὲν ἄλλο τι, τῷ δὲ ἄλλο τι ἡδύ τε ἔφυ καὶ ἀλγεινόν· καὶ τῷ μὲν εὖ ποτε, τῷ δὲ οὐχ οὕτως ὁ δαίμων χρῆται. λεγέτω οὖν ἡμῖν ἐκεῖνος ὁ τὸ πλῆθος ἐν φιλίᾳ τιμῶν, ὅταν τῶν πολλῶν αὐτοῦ φίλων τοῖς αὐτοῖς οἱ μὲν χαίρωσιν, οἱ δὲ ἄχθωνται, ποτέροις συνδιακείσεται; καὶ ὅταν ὁ μὲν συναλγεῖν αὐτὸν, ὁ δὲ συνεορτάζειν ἐθέλῃ, εἰς πότερον αὐτοῖν βαδιεῖται; ἆρ' οὐκ ἀναγκαῖον αὐτῷ, τιμῶντι τοὺς ἑτέρους, τοῖς ἀτιμουμένοις ἀπέχθεσθαι; τὸ δὲ τοῦ Ὁμήρου πολὺ ἂν ἀραρώτερον ἐπὶ τῶν φίλων λέγει, ἢ ἐπὶ τῶν λαφύρων· ὅτι τοῖς φρονίμοις ὄντως ὀλίγον τὸ φίλον. Ἀλλ' ἐπειδὴ χαλεπὰ τὰ καλὰ, καὶ οὔτε αὐτοὶ κακίας ἄτερ, οὔτε οὓς κρίνομεν· οὐ πάντως ἀποκριτέον ἂν εἴη τὸν ὁντιναοῦν καὶ σμικρὰν κῆρα φέροντα ἐν τῇ ψυχῇ· ἀλλὰ ζητητέον μόνον ἐπὶ τῶν τοιούτων, εἰ μή τινι παραπλησίῳ μοχθηρίας εἴδει περιπεπτώκαμεν. ἀρετὴ μὲν γὰρ πρὸς αὑτὴν ἅπασα σύμφωνος, κακία δὲ οὔτε πρὸς ἀρετὴν εὐμενὴς, οὔτε εὐάρεστος ἑαυτῇ. ὅθεν οὔτε ὀξύθυμος ὀξυθύμῳ γένοιτ' ἂν φίλος, οὔτε νωθεῖ νωθὴς, οὔτε αὐθάδης αὐθάδει. διαμιχθέντα δὲ ταῦτα φέροι ἂν ἄλληλα μετρίως, καὶ συγκιρνῷτο. ὑβριστῇ μὲν γὰρ ἀνάλγητος προσαρμόσει, μεγαλαύχῳ δὲ μικροπρεπὴς, ὑπερόπτῃ δὲ καταπεπληγμένος, ὁ δὲ νωθέστερος τῷ κεκινημένῳ πλέον. ἐνέγκαι δ' ἂν καὶ φειδωλὸν ὁ περὶ τὰς δαπάνας ἐκκεχυμένος, καὶ πρὸς φιλόδοξον εὔμικτος ὁ σφόδρα τοῦ λαθεῖν ἐραστής. τοιαῖδε μέντοι καὶ τῶν πρόσθεν, ὁπόσαι μνήμης εὐκλεοῦς ἔτυχον,

ἐφ'

ἐφ' ὧν μόνιμοι αἱ συζεύξεις. Χαβρίου γὰρ καὶ Ἰφικράτους φιλίαν ᾄδουσιν· ἣν δὲ ὁ μὲν αὐτοῖν συνίτονός τε καὶ δραστήριος, δυσκίνητος δὲ ὁ Χαβρίας. ὥστε μὲν χαλινοῦ δεόμενος, ὁ δὲ κέντρου, εἰς δέον ἀλλήλοις συνηρμοσάτην. Ὅμηρος δὲ ἄρα οὐ πόλεμον ποιῆσαι μόνον, ἀλλὰ καὶ φιλίαν ἠπίστατο. Ἀχιλλεῖ γὰρ Πάτροκλον ἐποίησε φίλον, τῷ μεγαλαύχῳ τὸν μείλιχον. Σθενέλόν τε αὖ καὶ Διομήδη, τὸν μὲν ἀνεξίκακον, τὸν δὲ οὐ στέγοντα ὕβριν. ποῖ δῆτα ἄμφω ταῦτα μαρτυρεῖ τοῖν ἀνδροῖν; ὅπου πεποίηκε τὸν Βασιλέα τῶν Ἀχαιῶν διέποντα τὸ στρατόπεδον μετὰ τὴν τοῦ Ζελείτου τοξείαν. ὀνειδισθέντες γὰρ ὑπ' αὐτοῦ κατ' ὀργὴν, ὁ μὲν οὐκ ἀνέχεται, ὁ δὲ ἡσυχάζει. ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα, ὡς ἔοικεν, ἐκκριτέον τε καὶ ἀποκριτέον τῷ τῆς ἐκλέξεως ἐπιστήμονι. Θηρεύσονται δὲ ἡμῖν οὗτοι καὶ ἁλώσονται τίνα τρόπον; οὐ γὰρ ἀφετέον ἐξευρεθέντας τοὺς ἄνδρας, ἀλλὰ κύκλῳ περιθρεκτέον αὐτοὺς μετὰ πλείοιος προθυμίας, ἢ τοὺς θάμνους κυνηγέται. ἥμερόν τε γὰρ καὶ οὐκ ἄγριον τὸ θηρίον· ἥτε σπουδὴ ἡμῖν οὐ κρεαδίων ἕνεκεν, ἀλλὰ βίου ξύμπαντος κοινωνίας· ποίας δῆτα αὐτοῖς ἄρκυς περιστησόμεθα; ἢ ποῖον προθήσομεν δέλεαρ, ὃ μήτε πημανεῖ γευσαμένους, μήτε ὕπουλον καὶ δολερὰν ἕξει τὴν ἡδονὴν, ἀλλὰ προσέξεται ἀβλαβῶς καὶ γοητεύσει ξὺν ὠφελείᾳ; θηρία μὲν γὰρ καὶ ἰχθῦς, ἄλλα ἄττα δελεάσματα προδεικνύντες, αἱροῦσιν οἵ τε ἀσπαλιευταὶ καὶ οἱ κυνηγέται· μόνον δὴ τοῦτο τὸ ζῶον ὁ φίλος αὐτῷ δελεάζεται τῷ θηρεύοντι. διὸ χρὴ καλόν τε εἶναι καὶ ἀγαθὸν, ὥστε αὐτοῦ γευσαμένου τὴν ἄγραν ἐνέχεσθαί τε καὶ μηκέτι εὐπετῶς ἀπολύεσθαι. τοῦτο δὲ αὐτὸ καὶ τὴν ἐκλογὴν αὐτόματον περιποιήσει. ὁ μὲν γὰρ προσιὼν καὶ γαννύμενος τοιῷδε ὄντι, οὗτός ἐστιν ὃν πάλαι ἐπεζητοῦμεν· ὁ δὲ ἤτοι μὴ θαυμάζων τὴν ἀρετὴν, ἢ ἀποφεύγων, ὁ μὲν ὡς ἀναίσθητος, φευκτός· ὁ

δὲ,

δὲ, ὡς πονηρὸς, μισητέος. Τὰ δὲ καθ' ἕκαστα ἄγκιστρα τῆς θήρας ὁποῖα ἄττα ἔστι, λέγωμεν ἐφεξῆς. προσιτέον δὴ πρῶτον αὐτῷ πόρρωθεν, ὥσπερ δὴ τοῖς πώλοις, ἠρέμα χειροήθη ποιοῦντας, ἀπὸ τῶν σμικρῶν καὶ φαυλοτάτων ὡς ἂν δόξειεν ἀρχομένους, οἷον τοῦ προσορᾶν εὐμενῶς, καὶ διαλέγεσθαι ἐπιδεξίως, καὶ συμπαρακαθέζεσθαι, καὶ συμπαραβαδίζειν, καὶ δῆλον γενέσθαι ὅτι ἥδοιτο ὁρομένῳ. μεταδιωκτέον δὲ καὶ ἐν ἀγορᾷ τόπον, οὗ τὰ πολλὰ ἐκείνῳ συνεσόμεθα, καὶ ἐν συμποσίοις, καὶ ἐν βαλανείοις, καὶ κατὰ θεωρίαν, ἢ κατὰ στρατείαν, ἢ ἐν ὁδῶν πορείαις, ἢ ἔν τισιν ἄλλαις κοινωνίαις. ταῦτα γὰρ οὐ μεγάλα μὲν φαῖμεν ἄν. ἀρχαὶ δὲ ὅμως ἀεὶ τὰ ἐλάχιστα τῶν μεγίστων. Εἰ μὴ ἐδεδοίκειν ἐγὼ τοὺς καταγελασομένους ἐπὶ τῇ λεπτολογίᾳ, εἶπον ἂν ὑμῖν καὶ φαυλότερα θήρατρα τῶν εἰρημένων. νῦν δὲ ἐὰν λέγω ὅτι καὶ τὸ δεξιὰν ἐμβαλεῖν, καὶ τὸ πιέσαι τοῦ θηρευομένου τὴν χεῖρα, καὶ τὸ θλίψαι τῶν δακτύλων, ἐνίησί τι κέντρον μελλούσης φιλίας· καταγελάσονται ἀμέλει, εὖ οἶδα, καὶ σμικρολόγον ἐροῦσιν. ἐγὼ δὲ ὁρῶ καὶ τοὺς πατέρας, ὅτι ἡνίκα ἂν σφόδρα ἀσπάζωνται τὰ παιδάρια, τύπτειν αὐτὰ καὶ δάκνειν ἐξ ἀπλήστου πάθους περιάγονται. ἔοικε γὰρ δὴ πᾶν τὸ τοιοῦτον σημεῖον εἶναι διανοίας ὠθιζομένης ἑνωθῆναι τῇ τοῦ στεργομένου ψυχῇ, διὰ δὲ ἀμηχανίαν τοῦ ξυγκολληθῆναι καθ' ἑαυτὸν, ἐπὶ τὸ σῶμα καταντώσης, ὥστε διὰ τούτου γε ἐθέλειν ἐμφῦναι. Δραστικώτατόν γε μὴν πρὸς θήραν φίλου φάρμακον ἡγητέον τὸν ἔπαινον· εἰ καὶ σφόδρα ὕποπτον αὐτὸν οἱ κόλακες πεποιήκασιν, ὡς καὶ τοὔλαιον οἱ μυροποιοί. ἐπιβολῇ γὰρ τῶν πέλας οὗτοι μὲν τοὔλαιον, οἱ δὲ τὸν ἔπαινον διαφθείρουσιν. ὅθεν αὐτῷ ξὺν μέτρῳ, καθάπερ τῷ οἴνῳ, χρηστέον, οὔτε ἐκεῖσε ὑπερβαίνοντα τοὺς σωφροσύνης ὅρους,

οὔτε

οὔτε ἐνταῦθα, τῆς ἀληθείας· Ἥκιστα δὲ παρόντα ἐπαινετέον. μόνον γὰρ δὴ τοῦτο φαρμάκων ἐῤῥωμενέστερόν τε ἅπτεταί τε καὶ ἐνδύνεται, ὅταν μὴ αὐτῷ προσφέρηται τῷ φαρμασσομένῳ τηνικάδε· καὶ αὐτὸ ὥσπερ ὕποπτόν τε καὶ ἐπίβουλον ἀπωθοῦνται οἱ ἄνθρωποι. οὐδὲν οὖν, οἶμαι, τῶν τοξευόντων διαφέρουσιν οἱ ἐπαινοῦντες· ἐντονώτερα γὰρ καὶ τούτων τὰ βέλη πόῤῥωθεν ἀφιέντων, ἢ σφόδρα ἐγγύθεν! Προσακτέον δὲ οὐκ αὐτῷ μόνῳ τῷ θηρευομένῳ τὰς μηχανὰς, ἀλλὰ κἀκείνοις, οἳ προαλόντες ἐπιβατὸν ἡμῖν τὸ ἔργον ποιήσουσι. παῖδάς τε οὖν αὐτοῦ καὶ ἀδελφοὺς καὶ γονέας εὖ ποιήσομέν γε καὶ ἀσπασόμεθα. εἰ γὰρ καὶ τὴν παροιμίαν, τὸν εὐνοοῦντα καὶ κύων σαίνει, πόσῳ δὴ μᾶλλον εὖ πάσχοντες ἄνθρωποι ἥμεροί τε καὶ τιθασσοὶ γίνονται πρὸς τὸν εὖ ἐργαζόμενον; ἐπεὶ καὶ μέγας ὁ ἀγὼν, τό, τε θηρευόμενον οὐ λαγωὸς, οὐδὲ σῦς, οὐδὲ ἔλαφος, ἀλλὰ τὸ πάντων ζώων εὐκολώτατόν τε καὶ ἡμερώτατον. Μιμητέον οὖν πρὸς τὴν ἄγραν αὐτοῦ τοὺς σοφοὺς θηρευτάς. καθάπερ οὖν ἐκεῖνοι φάττιά τε καὶ τρυγόνια τιθασσεύοντες, διὰ τούτων τὰ ὁμόφυλα γοητεύουσι, καὶ ἑκόντα ὑπάγονται εἰς τὸν ἰξὸν, ἢ τοὺς βρόχους· ὧδε ἄρα δεῖ καὶ ἡμῖν τῶν ἤδη προηλοκότων φίλων εἰς τοὺς οὔπω τεθηρευμένους. οὐ γὰρ δὴ τῶν περιστερῶν μόναι αἱ ἐθάδες πολλάκις τινὰς καὶ ξένας ἐπάγονται. εἶεν. Τὸ δὲ μετὰ τοῦτο λεκτέον ἡμῖν φυλακῆς πέρι καὶ ξυντηρήσεως τῶν θηρευθέντων. τί γὰρ ἂν εἴη κέρδος τῆς ἄγρας, εἰ κρατήσαντες αὐτῆς μὴ κατάσχοιμεν; φυλακτέα δὴ εὐθὺς ἐξ ἀρχῆς, προθεμένοις σκοπὸν, ᾧ ἂν χρώμενοι μάλιστα ἐπιτυγχάνοιμεν. ἔστι δὲ οὗτος τὸ κοινῇ συμφέρον, καθάπερ ἐν οἰκίᾳ καὶ ἐν πόλει καὶ ἐν ταῖς ἄλλαις κοινωνίαις. οὐδὲν γὰρ δὴ τούτων σώζοιτ' ἂν, μὴ μετεχόντων ἑκάστου παντὸς τῶν πραττομένων, εἰς ἓν τοῦτο κεφάλαιον

ἀνα-

ἀναφέροντος. καὶ μὲν ἅπαντα ἐπιμελείας μὲν ἀπολαύοντα ἀμείνονά τε καὶ ὠφελιμώτερα γίνεται αὐτά τε αὐτοῖς καὶ τοῖς πεπαμμένοις. ἀμείνων μὲν ἵππος, ἀμείνων δὲ βοῦς, ἀμείνων δὲ κύων, εἰ τὸν μὲν ἱπποκόμος, τὸν δὲ γεωργὸς θεραπεύει, τὸν δὲ κυνηγέτης· ἀκομιστία δὲ οὐχ ἵππον μόνον καὶ κύνα, ἀλλὰ καὶ ἀσπίδα καὶ λύραν καὶ δρέπανον διολλύει. οὕτω δὴ καὶ φιλίαν ἐπιμέλεια μὲν εὖ διατίθησι, ῥαθυμία δὲ ἀκροσφαλῆ καὶ σαθρὰν ἀπεργάζεται. μὴ γὰρ δὴ οἴου, εἰ μὲν οἰκίαν οἰκονομήσαις, δεῖσθαι αὐτὴν καὶ συνεχοῦς θεραπείας, εἰ μὴ μέλλει τάχιστα διαῤῥυήσεσθαι· εἰ δὲ φίλον σεαυτῷ κατασκευάσαις, τοῦτον οὐ χρήζειν συντηρούσης ἐπιμελείας. ἀλλ' ἄρα τὸ μὲν δωμάτιον οὐκ ἐάσεις ἀτημελὲς, εἴτι αὐτοῦ κινηθείη, ἢ χειμῶνος ἐπιβρίσαντος, ἢ πνεύματος ἐπιγενομένου, ἢ ὕδατος λάβρου καταῤῥαγέντος· τὸν φίλον δὲ ἀφήσης εἰκῆ, λύπης ἢ νόσου καταλαβούσης, ἤ τινος ἄλλης ξυμφορᾶς οὐκ εὐδαίμονος; Καί τοι γε ὁ μὲν τοῖχος διαῤῥυεὶς οὐδὲν ἄν σε πλέον λυπήσειε τοῦ διεῤῥυηκέναι, οὐδὲ τῶν ἄλλων ὀργάνων, ἢ κτημάτων οὐδὲν αὐτοῦ τοῦ διολέσθαι χαλεπώτερον ἐργάσαιτο ἄν τι τὸν ῥαθυμήσαντα. φιλία δὲ παροφθεῖσα οὐ διαφθείρεται μόνον, ἀλλὰ καὶ γίνεται ἔχθρα, ἐξ ἧς μάλιστα τὰ κακὰ τοῖς ἀνθρώποις συμβαίνει, ὅταν συμβαίνῃ. Πολεμήσεις δὲ τῷ μετὰ ταῦτα ἀνδρὶ καλῷ τε καὶ ἀγαθῷ, καὶ οἷόν σοι μικρῷ πρόσθεν ἐξεκαθήραμεν. ὥς τε σοι πανταχόθεν ἀπορῤῥιπτέον τὸν ὄκνον, καὶ κοινωνητέον πόνων τε καὶ ἀγρυπνιῶν, κινδύνων τε αὖ καὶ δαπάνης καὶ ἀτιμίας, οὐ κληθῆναι ἀναμένοντι εἰς τὴν κοινωνίαν, ἀλλ' αὐτομάτῳ θέοντι, καὶ προμαντευομένῳ τοῦ καιροῦ πολλάκις, καὶ πειρωμένῳ πρὸς ἑκάστην χρείαν τοῦ φίλου τὸ πρόσωπον οἰκεῖον μεταλαμβάνειν, ἐν ἀῤῥωστίᾳ μὲν, ἰατροῦ, ἐν δίκαις δὲ, συνηγόρου, συμβούλου δὲ

ἅπαν-

ἁπανταχοῦ καὶ συνεργοῦ ἐπὶ τῇ γνώμῃ. Πολλοῦ δὲ ὄντος τοῦ κατὰ τὸν βίον ἀνίσου τε καὶ ἀνωμάλου, καὶ τῆς ἀκριβοῦς ὁμοιότητος οὐδὲ πάμπαν εὑρισκομένης, (οὔπω λέγω κατὰ τὰ πρόσωπα. οὐδὲ γὰρ δέομαι ταύτης νῦν τῆς ποικιλίας· ἀλλὰ κατὰ τὴν ἔξωθεν τύχην πλούτου τε καὶ πενίας, καὶ ἐπιφανείας τε αὖ καὶ ἀδοξίας. τούτου γὰρ ἀνάγκη μὲν οὐδὲ τοὺς πάνυ φίλους ἴσην ἑκάστου μοῖραν μεταλαγχάνειν.) φιλίᾳ δὲ τὰ πολλὰ τὸ πλέον ὑπεροψίαν κατὰ τοῦ ἐλάσσονος ἐντίκτει. ὅθεν εἴ σε ἄγει προσωτέρω τούτων ἡ τύχη, συμπαρενεκτέον σοι καὶ τὸν φίλον, ἀπολειφθέντα γὰρ οὐ ῥᾳδίως ὄψει τοῖς αὐτοῖς ὀφθαλμοῖς. εἰ δὲ σὺ μὲν ἐφέλκοιο, τὸ δὲ ἂν ἀνάγκη τις ἀντισπῴη, θαμὰ ἐπιστρέφεσθαι πρὸς τοῦτον, καὶ βλέμμα ὅμοιον τηρεῖν. εἰ γάρ σε λάθῃ παραδῦσα ἀλαζονεία, πάντα ἐκεῖνα ὀξέως τὰ δεσμὰ διαλύσει, μετέωρον ἄρασα. συμβαίνει γὰρ, ὥς περ πλάστιγγος ἐπὶ θάτερα κουφισθείσης, τὴν ἰσορροπίαν τοῦ ζυγοῦ μὴ διαμένειν. Ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μὲν, ἀγαθὸν δὲ, ἐπαινεῖ, καὶ φίλον ἡγεῖται· ἐγὼ δὲ καὶ τοῦτο μὲν τὸ ἔπος ὡς πάνυ κομψὸν ἐκδέχομαι, παραινέσαιμι δ' ἂν τοῖς φιλίαν τηρεῖν βουλομένοις, τὴν συνήθειαν εἰς δύναμιν ἐπιπλέκειν, καὶ τὸ συνδιατρίβειν ἀλλήλοις πολλοῦ ἄξιον εἰς τὸν σύνδεσμον ἡγεῖσθαι. εἰ γὰρ τὸ πᾶν εἰς ἅπαντα ἡ μελέτη, καὶ φιλίας μελέτην νομιστέον τὴν συνουσίαν. Φιλονεικίαν γε μὴν καὶ τὸ δύσερι καὶ πάλιν ἐκποδὼν μεταστατέον, οἷον σπέρματα ἔχθρας εὐλαβουμένους. οὐ γὰρ ἐν ἀνταγωνισταῖς, ἀλλ' ἐν συναγωνισταῖς ἡ φιλία. τῷ τοι οὐδὲ ταῖς αὐταῖς ἐπιστήμαις, ἢ τέχναις ἐνευδοκιμεῖν εἰκὸς τοὺς ἀσφαλῶς τὴν κοινωνίαν φυλάξοντας. σφαλερὰ γὰρ ἡ ὁμοιότης, ἔρωτα ἐντιθεῖσα τῷ αὐτῷ ἐπαίνων ἠρέμα, ἀντιπαρεξάγειν εἰς ἅμιλλαν. εἰ δ' οὖν σε

δαίμων ξυζεύξειεν, ἢ ῥήτορα ὄντα ῥήτορι, ἢ ἰατρὸν ἰατρῷ, ἢ γραμματιστὴν γραμματιστῇ, μή τοι πρὸς τὸν φίλον φιλονεικεῖν, ἀλλὰ μᾶλλον πρὸς τὸν Ἡσίοδον, μηδὲ ἐκεῖνον χείρω σεαυτοῦ διελέγχειν, ἀλλὰ τὸν Ποιητὴν μᾶλλον ἀπολειφθέντα τῆς ἀληθείας, ἀεὶ μὲν παραχωροῦντα τῆς πλείονος δόξης, εἰ ἄρα τι καὶ σοφώτερον ἐπίσταιο, ἀεὶ δὲ ἐν χώρᾳ δευτέρᾳ τῆς τιμῆς ἱστάμενον, εἰ ἄρα σοι καὶ μᾶλλον ἡ πρώτη προσήκει. καὶ εἰ ταῦτα οὕτως πράξεις, οὐκέτι ἐκεῖνα τὰ ἔπη θαυμασόμεθα, ἀλλ' ἐροῦμεν πρὸς τὸν πατέρα τῶν στίχων ὅτι, ὦ θαυμάσιε καὶ αὐτοδίδακτε ποιητὰ, οὐχ ἡ τῶν τεχνῶν ὁμοιότης τὸν κόπον ποιεῖ καὶ τὴν ἔριν, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ ἡ τέχνη μετρίως αὐτοὺς παρακινήσει· εἰ δὲ μὴ, καὶ τέχνη καὶ ἀτεχνία χαλεπὴ κοινωνεῖν τοῖς τοιούτοις ξυμβαίνει. Ἐπεὶ δὲ τὸ μηδὲν ἁμαρτάνειν ἔξω τῆς φύσεως κεῖται τῆς ἀνθρωπίνης, (οὐ γὰρ πείθομαι ἐγὼ τοῖς ἐκ τῆς ποικίλης φυῆναίποτε ἐν ἀνθρώποις οἵους τινὰς ἐκεῖνοι πλάττουσι σοφούς τε καὶ σπουδαίους, οὐκέτι ἀνθρώπους·) ἀλλὰ τάχα δὴ τὸ ἐπίγραμμα ἀληθέστερον, ὃ Ἀθήνησιν ἐπιγέγραπται ἐν τῷ τάφῳ τῷ δημοσίῳ· καὶ γὰρ τοῖς Θεοῖς μόνοις τὸ πάντα κατορθοῦν ἀπονέμει. Λεκτέον δὴ καὶ περὶ τῶν ἐν φιλίᾳ γιγνομένων ἁμαρτημάτων, ὅπως τε αὐτὰ χρὴ κωλύειν, καὶ ὅπως ἰᾶσθαι εἰ ξυμβαίνοι. ὁ γὰρ δὴ φίλος τοῦ κόλακος οὐδὲν μὲν οὐδαμῆ ἐγγύς· ταύτῃ δὲ μάλιστα πορρωτάτω, ὅτι ὁ μὲν ἅπαντα ἐπαινεῖ, ὁ δὲ οὐκ ἂν σφαλλομένῳ σοι συγχωρήσειε. τῷ μὲν γὰρ πρόκειται κερδαίνειν ἢ γαστρίζεσθαι ἐκ τοῦ ἔργου, καὶ οὐ σὲ τεθαύμακεν, ἀλλὰ τὰ χρήματά σου, ἢ τὴν δυναστείαν. οὐκοῦν οὐδὲ αὐτῷ μέλει ὅπως ἂν ἔχῃς, μέλει μὲν οὖν ὅπως ἂν μὴ ἄριστα ἔχῃς, ἵνα αὐτὸς ὡς ῥᾷστα ἐργάζοιτο. ὁ δὲ φίλος σοι μόνῳ προσέχει

τὸν

τὸν νοῦν, καὶ σὺ μόνου ἥλω, καὶ βούλοιτο ἄνγε μηδὲν κακὸν ἔχειν. ἀφαιρετέον οὖν τὰ νοσήματα ἠρέμα, καὶ ὡς μὴ σφόδρα λυποῦντας, μηδὲ ἐνδιδόντας. ἀλλ' ὥς περ οἱ ἰατροὶ τὸ μὲν σιδήριον πολλάκις ἐῶσι, προστιθέμενοι δὲ φάρμακα ἅττα οὐ ξὺν ἀλγηδόνι τὸ πάθος ἰῶνται· οὕτω καίσοι τὸν φίλον θεραπευτέον. ἔχεις δὲ καὶ σὺ φαρμάκοις ἀντὶ καύσεων καὶ τομῶν εἰς τὴν ἰατρείαν κεχρῆσθαι. τὰ δὲ φάρμακα ταῦτα λόγοι εἰσὶ μεστοὶ εὐνοίας καὶ παῤῥησίας, οὐχ οἱ γλυκεῖς καὶ πρὸς χάριν, (οὗτοι μὲν γὰρ τρέφουσι καὶ ἄρδουσι τὸ νόσημα) ἀλλ' οἱ στρυφνοὶ καὶ ἀληθινοὶ καὶ μεστοὶ παῤῥησίας οὐκ ὀνειδίζουσι, (πάμπολυ γὰρ διαφέρει νουθεσία μὲν λοιδορίας, ἐπέπληξις δὲ ὀνείδους, οὐ τῇ διανοίᾳ μόνῃ τοῦ λέγοντος, ἀλλὰ καὶ αὐτῷ τῷ λόγῳ εὐνοίας καὶ παῤῥησίας) νουθετοῦντες, οὐ λοιδορούμενοι, καὶ ἐπανορθοῦντες, οὐκ ὀνειδίζοντες. φυλακτέον δὴ ἐν τῷ τοιῷδε μὴ ἀκράτους προσάγειν τοὺς δάκνοντας λόγους, ἀλλὰ προσπλέκοντα αὐτοῖς ἠπίου τινὸς καὶ προσηνοῦς, οἷον μέλιτος πικρῷ μὲν ὠφελίμῳ δὲ πόματι· ὁ τοιοῦτος οὐκ ἐάσει δι' ἀηδίαν τό, τε φάρμακον ἀπορρίπτειν, καὶ τὸν ἰατρὸν ἀποκλείειν. ἰατροῦ δὲ ἐγὼ κακίαν λέγω τοιαῦτά τε καὶ οὕτως εὑρίσκειν τὰ ἐπίκουρα τῶν νόσων, ὥς τε ἐρεθίζειν τὰ ἀῤῥωστήματα. οὐκοῦν οὐδὲ ἐκεῖνον ἐπαινῶ τὸν ἅπαντα ἐπινεύοντα τῷ κάμνοντι σιτία τε καὶ ποτὰ τὰ αὔξοντα καὶ πικίλλοντα τὴν νόσον, οἰνοχόον, ἢ τραπεζοποιὸν ἀντὶ θεραπευτοῦ γιγνόμενον. οὐκ ἄρα οὐδὲ ἐν φιλίᾳ τὸ σφόδρα. ἑκατέρα γὰρ ταῖν ὁδοῖν ἄλλοσέποι ἐκφέρει, ἢ ὅποι δεῖ καταλῦσαι. ἡ μὲν γὰρ ἐπὶ κολακείαν ἄγει, τῆς δὲ ἐπ' ἔχθραν ἡ τελευτή. Διαβολὴ δὲ χαλεπὸν μὲν ἁπανταχοῦ καὶ πολεμοποιὸν, οὗ ἀντιπαρεισρυῇ, καὶ πρὸς παῖδα πατρὶ, καὶ πρὸς ἀδελφὸν ἀδελφῷ, καὶ τὸ δρᾶμα ἐκείνης καὶ ὁ Ἱππόλυτος, καὶ ἅμα ἀδικεῖ ἀμφοτέρους, ᾧ τε

ἐπιβουλεύει, καὶ ὃν ἐξαπατᾷ. τὸν μὲν, ὅτι πάσχει ὑπὲρ δίκην, τὸν δὲ, ὅτι ἐργάζεσθαι ἀναγκάζει. ἀλλὰ φιλίας ἐχθρότατόν τε φύσει καὶ ἐπιβουλότατον ὑπὲρ τὰ ἄλλα. καὶ ὅπου ἂν αἴσθηται αὐτὴν εὐπραγοῦσαν, ἠρέμα εἰσοικισαμένη κατὰ σμικρὸν ὑπορύττει καὶ ἐλέγχει τὸν ἀφρακτόν τε καὶ ἀσθενῆ. ἀποτειχιστέον οὖν αὐτὴν καὶ ἀποκρουστέον τῇ ἀπιστίᾳ, ἰσχυρὸν ἐν ταῖς ἀκοαῖς οἰκοδομησαμένους τὸ φυλακτήριον· ὥστε πόρρωθεν αὐτῆς ἀφεστάναι τὰς ἐπιβουλάς· καὶ μάλιστα μὲν ἀποκλείειν προσιοῦσαν καὶ ἀπωθεῖσθαι. Εἰ δ' οὖν σε λάθῃ παρεισδῦσα, μή τοι κατακρύπτειν εἰσεδεξάμενον, μηδὲ ἐντὸς ἔχειν ἐργαζόμενον, ἀλλ' εἰς φανερὸν προάγειν καὶ διελέγχειν. ὄψει γὰρ ἰλιγγιῶσαν εὐθέως, καὶ λιγυζομένην, καὶ βατταρίζουσαν, καὶ οὐκ ἔχουσαν, ὅ,τι χρήσεται. καὶ εἰ τοῦτο ὑπομείνειεν ἅπαξ, οὐ μήποτε ἐνοχλήσει λοιπὸν, ἀλλ' οὐδ' ἂν, ἀποπειράσειεν, οὐδ' ἂν προσέλθοι πλησίον. ὅσοι δὲ αὐτῇ τῶν ἀνοήτων ἥθησάν τε προσιούσῃ, καὶ τὸ θηρίον εὐμενῶς ἀνεπέτασαν, οὗτοι δὴ ἥκιστα ἀπολαύουσι τῆς φιλανθρωπίας, ἐξίστανται γὰρ ὑπ' αὐτῆς, καὶ οὐδὲν διαφέρουσι τῶν μεμηνότων. Ἄθρει δὲ ὡς ὅμοια πάντα τὰ ἔργα αὐτῶν καὶ τὰ πάθη. δεδίασι γὰρ καὶ ὑφορῶνται οὓς ἥκιστα ἐχρῆν, ὥσπερ οἱ τὰ ὑδάτια εὐλαβούμενοι, ἢ ὥς περ ὁ μελαγχολῶν Ὀρέστης ἐν ταῖς τραγῳδίαις πρὸς τὴν ἀδελφὴν βοᾷ θεραπεύουσαν τὸ νόσημα. τὸ δὲ ἁπάντων ἐλεεινότατον, ὁπλίζονται ἐπὶ τοὺς φιλτάτους, καὶ ἥδιστα ἂν κατακτανοῖεν. τοῦτο αὖ πάλιν ἑτέρου λυττῶντος ἔργον καὶ ἑτέρας τραγῳδίας. Αἰσώπου δὲ τοῦ μυθοποιοῦ πολλαχῇ τε ἄλλη μνημονεύειν ἐπωφελὲς, καὶ ὅσα εἰς διαβολὴν εὖ ἔχοντα ἀπολέλοιπεν. ἀεὶ μὲν γὰρ αὐτὴν τῇ ἀλώπεκι περιτίθησι, δολερῷ καὶ ἀνάνδρῳ θηρίῳ, ποιεῖ δὲ ὑπ' αὐτῆς ἁλισκόμενα τῶν ζώων τὰ ἀλκιμώτατα. καὶ ὅν τινα ἔχω πρόχειρον μῦθον εἴποιμ' ἂν ὑμῖν, εἴμου πρᾴως

ἀνέ-

ἀνέξεσθε παραβαλλομένου τοῖς σοφισταῖς. ταύρω δύω μιᾶς ἡγεῖσθον ἀγέλης, ξυννόμω τε ὄντε καὶ ὁτιμάλιστα φίλω· ὁ λέων δὲ αὐτοῖν τὴν ξύστασιν ἐδεδίει· καὶ οὔτε αὐτοὺς ἐθάρσει, οὔτε δι' αὐτοὺς τὴν ἀγέλην. κακῶς οὖν ὑπὸ λιμοῦ διακείμενος, ἔρχεται ἐπὶ τὴν κερδὼ, καὶ ξυμμαχίαν ὁμολογοῦσι. τῇ δὲ ἄρα τοσοῦτον κακουργίας καὶ δεινότητος περιῆν, ὥστε προσενεγκοῦσα τὴν μηχανὴν διέστησέ τε αὐτὼ, καὶ ἐξέμηνε κατ' ἀλλήλοιν, καὶ παραδέδωκε τῷ λέοντι δίχα ἑκάτερον, εὐπρεπῆ καὶ εὔκολον θήραν. τοῦτο μὲν ἡ τοῦ Λισώπου κερδώ. φύονται δέ τινες καὶ ἐν ἀνθρώποις ἀλώπεκες, μᾶλλον δὲ ἀνθρώπια σμικράτε καὶ ἀνελεύθερα, τὰς ἀλώπεκας ὄπισθεν ἐφελκόμενα. οἱ δὲ αὐτῶν οὐκ ἀλώπεκας, ἀλλὰ δράκοντας ἰοῦ χαλεποῦ καὶ ἀτόπου μεστοὺς ὑφέρποντας, καὶ κρυπτομένους εὐνοίας καὶ φιλανθρωπίας παραπετάσμασιν· οὓς ἀπελαύνειν χρεὼν καὶ ἀποτοβεῖν πορρωτάτω, κηλούμεθα γὰρ πολλάκις καὶ γαννύμεθα δάκνουσι, τὰ ἄκρα τῆς γλώττης μόνον ὁρῶντες, τὰ δὲ ἐντὸς οὐκ ἐθέλοντες διϊδεῖν. Ὧ δέ μοι δοκοῦσιν ὅμοιοι εἶναι, ἐθέλω ἀπεικάσαι, εἰ βούλεσθε· τεθέαμαι, οἶμαι, πολλαχοῦ σκύλλης εἰκόνα, οὐχ οἵαν Ὅμηρος διηγεῖται. Ὅμηρος μὲν γὰρ οὐδέν τι λέγει πλέον περὶ τῆς μορφῆς, ἢ ὅτι τὸ θηρίον ἦν ἐν σπηλαίῳ διαιτώμενον, ἓξ κεφαλὰς ἔχον καὶ δυοκαίδεκα χεῖρας. οἱ πλάσται δὲ ἔτι μᾶλλον κομψεύονται ἐν τῷ ἔργῳ. ποιοῦσι γὰρ αὐτῆς τὰ μὲν ἀπ' ἄχρι κεφαλῆς ἄχρι λαγόνων, παρθένον, ἀπὸ δὲ τῆς ἰξύος, εὐθὺς εἰς τοὺς κύνας ἐκφερομένην, δεινοὺς ὄντας καὶ σμερδαλέους. καὶ τρίστιχοι μὲν αὐτῆς οἱ ὀδόντες, ἀνεστήκασι δὲ αἱ κεφαλαὶ, ζητοῦσι δὲ ἰσάριθμον θήραν. μαντεύομαι οὖν ἐγὼ καὶ Ὅμηρον βούλεσθαι λέγειν, ὅτι ὁ μὲν σοφὸς καὶ πολύμητις οἶδέ τε ὅλην ἀκριβῶς, καὶ οὐκ ἐγοήτευσεν αὐτὸν τὰ ἄνωθεν τοῦ θηρίου, ἀλλὰ παρετάξατο καὶ ὡπλίσατο,

καὶ μαχέσθαι ἕτοιμος ἦν. οἱ δὲ ἀφύλακτοι τῶν ἀνθρώπων ἁλίσκονται. ὅπερ δὲ μὴ δοκεῖ οὕτως ὁ Ὅμηρος λέγειν, ἀλλ' ὁρᾷ μόνον τὸ φαινόμενον τῷ μύθῳ, οὕτως ἐμοὶ δοκεῖ καὶ τὴν σκέψιν ἰδεῖν, τὴν μὲν ἀνθρώπου θεάσασθαι, τοὺς κύνας δὲ οὐκ ἂν δυνασθῆναι. Πῶς οὖν δὴ φυλαξόμεθα καὶ κενοῦμεν φιλίας τε ἐπίτομον τρόσωπον, καὶ κακουργίας εὔκοινον ὑποδυομένης; βούλεσθε, ἵνα μὴ σφόδρα ὦ φορτικός, σύμβολα αὖ πάλιν καὶ σημεῖα δίδω, μῦθόν τινα ὑφαπλώσας τῷ λόγῳ, καταλίπω διορᾶν ὑμῖν αὐτοῖς τὰ ἐμφανόμενα; Ὥσπερ γὰρ Πρόδικος λέγει, καθημένῳ τῷ Ἡρακλεῖ ἐφ' ἡσυχίας, ὁπηνίκα ὑπῆλθε τὼ μητραδελφεώ, καὶ διχοπαθοῦντί ποιός τις τῶν ἀνθρώπων, καὶ ποίᾳ χρησάμενος ἀρετῇ τὸν βίον ὡς ἄριστα διέλθοι, ἐφάνησαν δύο γυναῖκες, ὧν τὴν μὲν, ἀρετὴν ἐκεῖνος ὀνομάζει, τὴν δὲ, κακίαν, Ἐπεὶ γὰρ εἰπάτην ἑκατέρα τὰ αὐτῆς ἀγαθὰ, καὶ ἔδοξε τῷ Ἡρακλεῖ τὴν ἀρετὴν ποιήσασθαι ἡγεμόνα, λέγει αὐτὸν ἐκείνη προβαλέσθαι, ἵν' ἔτι καὶ μᾶλλον ἴδῃς, φησὶν, ὅτι ὀρθῶς δοκιμάζεις, ὅπου ἄγει οὖν ἐπὶ τινα τόπον ὑψηλόν τε καὶ ἀποτομόν ἐξ ἀρεοῦς τε καὶ ἀναπεπταμένου πεδίου, ᾧ δύο μὲν ἦσαν αἱ κορυφαὶ, πόρρωθεν δὲ ἐδόκει τοῖς θεωμένοις εἰς μίαν πελάζειν λόφην. ἀλλ' ἦγε αὐτὸν προσάγουσα τὸν Ἡρακλέα πλησίον, ἐδείκνυ τε τὰ ἄκρα πλέον ἀπέχοντα ἀπ' ἀλλήλων, καὶ αὐτὴ μὲν, φησὶν, ἡ ὀξεῖα κορυφὴ καλεῖται φιλίας ἱεροῦ χώρου, ἐμῆς ξυνοπαδός τε καὶ ἀδελφῆς. αὕτη δὲ ἡ ὀπίσω θατέρα, ἐπακολούθου, καλεῖται κακίας ξυνόμου δαίμονος. πρόσιθι δὴ ἀγχοῦ, καὶ ὀπτεύουσα τὴν φύσιν ἑκατέρας τῶν χωρίων, μήποτε σὺ αὐτὸ πόρρωθεν ὁρῶν ὑπολάβοις. καὶ ἅμα ἐκέλευε τὴν φρόνησιν συμπαρεῖναι. ὑπεδείκνυτο τὰ ἔκαστα, καὶ ἐξηγεῖτο. Ἐδείκνυεν οὖν ἐκείνη τὰς μὲν πρόποδας, τὸν λόφον σφόδρα τε ὁμοίους καὶ προσφυεῖς ἀλλήλοις, τοῖς

κὺ-

αὐτοῖς μὲν ἄνθεσι βρύοντας, τοῖς αὐτοῖς δὲ φυτοῖς, εἰ μὴ ὅσον τὰ μὲν τὸν ἅπαντα ἔρρωτο χρόνον, τὰ δὲ εὐθὺς ἐβλάστανέ τε καὶ ἐμαραίνετο. ἔρρει δὲ καὶ νᾶμα ἐξ ἑκατέρας τῆς ἄκρας ψυχρῶ τε καὶ διαυγοῦς ὕδατος· ἀλλὰ τὰ μὲν δι' ὅλου τοῦ ῥείθρου γλυκέα τε ἦν καὶ προσηνῆ, τὰ δὲ, κάτωθεν μὲν γευομένῳ γλυκύτερά τε ἐδέκει, προσιόντι δὲ ἐγγὺς τῆς πηγῆς, πικρά τε καὶ φαρμακώδη, σπασμὸν ἐμποιοῦντα καὶ ἴλιγγον τοῖς πιεῖν ἐκ τῆς χρόας ἀπατηθεῖσι. τὰς κορυφάς τε αὐτὰς οὐκέτι ὁμοίας, ἀλλὰ πάμπαν διαφερούσας. Ἐδείκνυέ τε τὴν ἐπὶ δεξιᾷ πρώτην ἅλσει τε σύσκιον δένδρων ἀειθαλῶν κυπαρίττου καὶ δάφνης, καὶ φυτῶν εὐκάρπων μεστήν. λεπταὶ καὶ αὐτὰ περιέπνεον αὖραι, οἷαι τρέφειν τε καὶ αὔξειν, οὐχ οἷαι καταῤῥηγνύναι καὶ διαπρᾶν. Πολὺ δὲ ἀθόρυβος ἡσυχία καὶ εὐφροσύνη κατεῖχε τὸν τόπον· καί τινες ἐφαίνοντο ἄνθρωποι σφόδρα ὀλίγοι, προσιόντες τε καὶ ἀπιόντες μεθ' ἡδονῆς τῷ αὐτῷ προσώπῳ. Καθῆστο δὲ ἐπ' ἄκρας τῆς κορυφῆς παρθένος εὐειδὴς μὲν οὐ, ὡραία δὲ, ἀληθινοῦ καὶ ἀρχαίου γέμουσα κάλλους, ὁποῖα τὰ ἀγάλματα τῆς παλαιᾶς τέχνης, ἃ χρόνου δεῖται εἰς τὸ θαυμάσαι καὶ ὀφθαλμῶν ἀκριβεστέρων. ἀμφίεστο δὲ λευκόν τινα κόσμον εἰκαῖον διαφανῶν καὶ λεπτῶν ἱματίων, ὥς τε πολλαχῆ καὶ τοῦ σώματος διαφαίνειν, καὶ τὴν ψυχὴν εἶχε τοῦ σώματος φανερωτέραν. ἦν γὰρ αὐτῆς τὸ μὲν βλέμμα ἁπλοῦν καὶ γενναῖον, τὸ μειδίαμα δὲ ἑστηκὸς καὶ οὐ μετατρεπόμενον. εἰ δέ τις αὐτῇ προσέλθοι σεβασθείς τε καὶ θαυμάσας, οὐ χρυσίον, ἢ ἄργυρον προέτεινεν, ἀλλ' αὐτὸν καλλίω καὶ μείζω, διπλασίονα πολλάκις ἢ τριπλασίονα. Ὁ γοῦν Ἡρακλῆς ἠγάσθη τε αὐτῆς, καὶ προσηύξατο ἵλεων τυγχάνειν· καὶ ἐπήρετο τὴν φρόνησιν, τίνες δὲ αἱ πλησίον αὗται γυναῖκες; ὡς καλαί τε καὶ πρέπουσαι ὁπαδοὶ τῆς Θεοῦ. αὕτη μὲν, εἰπεῖν, ἡ τὸ πολὺ φῶς κατέχουσα, καὶ ἐπὶ τοῦ ἀδάμαντος καθημέ-

νη, Διὸς θυγάτηρ ἀλήθεια. ἡ δὲ ἐπικλίνουσα τὴν κεφαλὴν αὕτη καὶ ἐπαναπαυομένη, καλεῖται μὲν εὔνοια, χρῆται δὲ ἡ Θεὸς αὐτῇ πρὸς ἅπαντα διακόνῳ. τὸ δὲ παιδίον ἐκεῖνο τὸ σεμνότερον τῆς ἡλικίας, ὃ τὰ χρυσέα φέρει δεσμὰ ταῖν χεροῖν, ἔρως φιλίας ἐστὶν ὑπουργός. οὐκ ἔχει δὲ οὐδὲ πτερὰ, οὐδὲ βέλη· οὔτε γὰρ πέτεσθαι βούλεται, καὶ ἀναίμακτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οἵους ἂν καλούς τε καὶ ἀγαθοὺς καὶ οὕτως ἁρμόζοντας ἴδῃ, τούτου ξυγκολλᾷ καὶ συνδεῖ. καὶ αὐτοῦ τὰ δεσμὰ ἄλυτα καὶ ἄῤῥηκτα παντελῶς, καὶ μόνοις γάννυνται οἱ δεδεσμένοι. Ἀλλὰ δεῦρο, ἔφη, καὶ θέασαι τὴν ἑτέραν, εἰς ἣν ἐμπίπτουσιν οἱ πολλοί. καὶ δῆτα πρῶτα μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ὑπεδείκνυε, τοῖς προτέροις, ὥς περ, ἔφην, ἐξεικασμένα, ἔπειτα αὐτὸ τὸ πέρας, ὄρθιον καὶ ἀπότομον πάγον, κυανῇ νεφέλῃ τὰ ἄκρα κεκαλυμμένον, κρημνοὶ δὲ αὐτὸ καὶ φάραγγες περιεῖχον, καὶ θῖνες ὀστῶν ἀνθρωπίνων σεσωρευμένοι. μετὰ δὲ ἅπαντα, δακετῶν θανασίμων καὶ ἰοβόλων. ἔπειτα αὐτὴν τὴν ὑπόκρισιν προσποιουμένην καὶ ἀφομοιοῦσαν ἑαυτὴν τῇ φιλίᾳ· ἀλλ' ὅμως ἀντὶ μὲν ἀληθινοῦ κάλλους τὸ πρόσωπον ὑπεγέγραπτο, ἀντὶ δὲ γαληνοῦ μειδιάματος, ὕπουλον ἐσεσήρει· ἵνα δὲ φαίνοιτο ἐρασμία, ἐρᾷν αὐτὴ προσεποιεῖτο τῶν εἰσιόντων. οὐδενὸς δὲ αὐτομάτου προσερχομένου, πόῤῥωθεν ἐκτρέχουσα ὑπέκυπτε καὶ ἀπήντα, καὶ λιπαροῦσα ἀνῆγε. παρὴν δὲ αὐτῇ γυναικῶν ὅμιλος, οὐδὲ ταῖς προτέραις ὅμοιαι, ἀπάτη, καὶ ἐπιβουλὴ, καὶ δόλος ἀγεννής. ἀντὶ δὲ ἀληθείας ἐπιορκία παρὴν, ἰταμὴ καὶ θρασεῖα καὶ ἄσπονδος, μάλιστα δὲ ἁπασῶν συμπράττουσα ἐκείνῃ καὶ συνεργοῦσα. Ἰδὼν δὲ Ἡρακλῆς γυναικάτινα κατὰ τὰς εἰσόδους οἷον χωλῶσαν, ἤρετο τὴν φρόνησιν ἥτις εἴη; κολακεία, ἔφη, πρόδρομος ὑποκρίσεως, δαίμων αὕτη, ὡς ὁρᾷς, ἐνεδρεύουσα τοὺς εἰσιόντας, προσπλέκεται, καὶ θαυμαστὰ δρᾷ γοητεύουσα, πείθουσα θαρσεῖν τε καὶ ἀνιέναι,

τίς

τίς δὲ ἡ σκυθρωπὴ ἐκείνη καὶ σύννους, ἡ τοὺς ὀλίγους κατάγουσα κοπτομένους τε καὶ ἀνοιμώζοντας; μετάνοια, ἔφη, βραδεῖα καὶ οὐ σφόδρα εὔκαιρος δαίμων. ὅπως δέ τινας οὐκ ἐᾷ πάμπαν ὑπὸ τῶν ἑρπετῶν ἀπομυζηθῆναι, ἀλλ' ἀνίστησιν ἔτι πνέοντας, καὶ οἴκαδε ἀποσώζει.

ΔΙΩ-

ΔΙΩΝΟΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΟΓΟΣ.

Διογένης, ἢ περὶ Ἀρετῆς.

Διογένης ὁ Σινωπεὺς ἐκπεσὼν ἐκ τῆς πατρίδος, ἐδιήτα ἐν Δελφοῖς παρὰ τὸν ναόν, Ἀθλίως ἔφερε, καὶ κατελάμβανεν καὶ τὸν Μεγαρέα Εὐκλείδην. ἔτος δὲ ἔφυγε διὰ τὴν τοῦ Κύρου στρατείαν. Τῶν μὲν οὖν ἄλλων πάντων κατεφρόνησεν, Ἀντισθένει δὲ ἐλθὼν, ἠξίου αὐτὸν ὅπως ἐπαινῶν, ὡς τοὺς λόγους οὓς ἔλεγεν, ἡγεμόνος μόνης εἶναι ἀληθεῖς, καὶ μάλιστα δυναμένους ἀνθρώπου ὠφελῆσαι. ἐπεὶ αὐτὸν ὁ Ἀντισθένης ἀπεστρέφετο πρὸς τοὺς λόγους, ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον, καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα, λοιδορῶν. αὐτῷ δὲ οὐκ ἦν ὀργὴ μεγίστη. Καὶ ὁ Ἀντισθένης ὑπέμενεν αὐτὸν πάντα ἀνιώμενος· πάνυ δὲ ἐθαύμαζε τοῦ ἀνθρώπου τὴν φύσιν. ἔλεγεν οὖν, ἀμειβόμενος αὖτὶ τῆς σάλπιγγος, τοῖς σφηξὶν αὐτὸν ὅμοιον εἶναι. καὶ δὴ τῶν σφηκῶν εἶναι τὸν μὲν φόβον τῶν πτερῶν μικρὸν, τὸ δὲ κέντρον δεινότατον. Ἔχαιρον οὖν τῇ παρρησίᾳ τοῦ Διογένους ὥσπερ οἱ ἱππικοὶ, ὅταν ἵππον θυμοειδῆ λάβωσιν, ἄλλως δὲ ἀνδρεῖον καὶ φιλόπονον, μόνον ἤπιον δοκοῦσι τὸ χαλεπὸν τοῦ ἵππου, τοὺς δὲ ταχεῖς καὶ βραδεῖς μισοῦσι καὶ ἀποδοκιμάζουσι. ἐνίοτε μὲν οὖν ἐπέτεινεν αὐτὸν, ἐνίοτε δὲ ἐπειρᾶτο ἀνιᾶν, ὥσπερ οἱ χορδοτρόφοι τὰ νεῦρα τείνουσι, μαστίχοντες μὴ ῥᾳγῇ. Ἐπεὶ δὲ ἀπέθανεν ὁ Ἀντισθένης, καὶ

τῷ

τῶν ἄλλων ἀδικία ἡγεῖτο συμφορᾶς ἄξιον, μετέβη εἰς Κόρινθον, πρὸς ἣν διέτριβε, ὅτε οἰκίαν μισθωσάμενος, ὅτε τῷ ξένῳ τινὶ παρεγένετο, ἀλλ' ἐν τῷ Κρανίῳ διετρίβων. ἐώρα δὲ ὅτι πλεῖστοι ἄνθρωποι ἐκεῖ συνίασι διὰ τὰς λιμένας καὶ τὰς ἐταίρας. καὶ ὅτι ἡ πόλις ὥσπερ ἐν πυλῶνι τῆς Ἑλλάδος ἵδρυτο. Δεῖ γὰρ τὸν φρόνιμον ὥσπερ τὸν ἀγαθὸν Ἴππον, ὅπου πολλοὶ νοσοῦσιν, ἐκεῖσε ἰέναι βοηθήσοντα. ὅπως, ὅπου πλεῖστοι εἰσὶν ἀφρονέστεροι, ἐκεῖ μάλιστα ἀποδημεῖν, ὀφελήσοντες καὶ κολάζοντες τὴν ἄνοιαν αὐτῶν. Ἐπεὶ δὲ ἦκεν ὁ τῶν Ἰσθμίων χρόνος, καὶ πάντες ἦσαν ἐν Ἰσθμῷ, κατέβη καὶ αὐτός. εἰώθει γὰρ ἐπιτηδεῖν ἐν ταῖς πανηγύρεσι τὰς ἀσθενείας τῶν ἀνθρώπων καὶ τὰς ἐπιθυμίας, καὶ τοῖς ἄντικρυς ἀποδημοῦσι, καὶ ὅτι τίσι μέγα φρονοῦσι. παρέχε δὲ καὶ αὐτὸν τῷ βουλομένῳ ἐντυγχάνειν, καὶ ἔλεγε θαυμάζειν, ὅτι, εἰ μὲν ἔφη ὀδόντας ἰᾶσθαι, πάντες ἂν αὐτῷ προσῄεσαν οἱ δεόμενοι ὀδόντας ὀφελεῖσθαι. καὶ νὴ Δία, εἰ ὑπέσχετο ὀφθαλμοὺς θεραπεύειν, πάντες ἄνθρωποι ὀφθαλμοὺς αὐτῷ ἐπεδείκνυον. ὁμοίως δὲ καὶ κωλικοῦ, καὶ ποδάγρας, καὶ κορύζης εἰδέναι φάρμακον. ἐπεὶ δὲ ἔφη παύσειν τὰς πεισομένας αὐτῷ, ἀγνοίας, καὶ πονηρίας, καὶ ἀπαλλαγίας, οὐδεὶς αὐτῷ προσεῖχεν, οὐδὲ ἐκέλευσεν ἰᾶσθαι αὐτόν, οὐδὲ εἰ πολὺ προσλήψεσθαι ἀργύριον ἔμελλεν. ὡς ἦν τοῦ ὕπνου κρείττων, καὶ ἐλεεινὸς ἐνοχλούμενος, καὶ χαλεπώτερον ἀνθρώπῳ κωλικοῦ ὀδόντος, καὶ διεφθαρμένου ὀδόντος, καὶ ψυχῆς ἄφρονος, καὶ ἀμαθίας, καὶ δειλίας, καὶ θρασείας, καὶ φιλησύχου, καὶ ἀνεπιθέτου, καὶ ὀργίλης, καὶ λυπηρᾶς, καὶ πανούργου, καὶ πάντα ξένου, καὶ ὀργίλης, καὶ λυπηρᾶς, καὶ πανούργου, καὶ πάντα ξένου διεφθαρμένης. Καὶ δὴ καὶ τότε λιθ περὶ τῶν νεῶν τῶν Ποσειδῶνος, πολλῶν σοφιστῶν κυκοδυμόνων βοώντων καὶ λοιδορουμένων ἀλλήλοις, καὶ τῷ λεγομένῳ μισθοῦ ἄλλο ἄλλῳ μαχομένου. πολλῶν δὲ συγγραφέων ἀναγινωσκόντων ἀναίμακτον συγγράμματα, πολλῶν δὲ ποιητῶν ποιήματα ᾀδόντων,

καὶ

καὶ τούτους ἐπαινούντων ἑτέρων, πολλῶν δὲ θαυματοποιῶν θαύματα ἐπιδεικνυύτων, πολλῶν δὲ τερατοσκόπων τέρατα κινούντων, μυρίων δὲ Ῥητόρων δίκας στρεφόντων, οὐκ ὀλίγων δὲ καπήλων διακαπηλευόντων ὅται τύχῃ ἕκαστος. Εὐθὺς οὖν καὶ αὐτῷ τινὲς προσῆλθον, τῶν μὲν Κορινθίων οὐδεὶς, οὐδὲ γὰρ οὐδὲν ᾤοντο οὐδὲν ὠφεληθήσεσθαι, ὅτι καθημέραν ἑώρων αὐτὸν ἐν Κορίνθῳ. τῶν δὲ ξένων ἦσαν οἱ προσιόντες, καὶ τούτων ἕκαστος βραχύ τι ἀκούσας, ἢ εἰπὼν, ἀπῄει φοβούμενος τὸν ἔλεγχον. Διὰ τοῦτο ἔφη ὁ Διογένης προσεοικέναι τοῖς κυσὶ τοῖς Λάκωσι· καὶ γὰρ τούτους ὅταν στῶσιν εἰς τὰς πανηγύρεις, πολλοὺς μὲν εἶναι τοὺς καταψύχοντας καὶ προσπαίζοντας, μηδένα δὲ ὠνεῖσθαι ῥᾳδίως, διὰ τὸ μὴ ἐπίστασθαι χρῆσθαι. Πυθομένου δέ τινος, εἰ καὶ αὐτὸς ἥκοι τὸν ἀγῶνα θεώμενος; οὐκ ἔφη, ἀλλ' ἀγωνιούμενος. καὶ ὃς ἐγέλασέ τε, καὶ ἤρετο αὐτόν· τίνας ἔχοι τοὺς ἀνταγωνιστάς; ὁ δὲ, ὥσπερ εἰώθει ὑποβλέψας, τοὺς χαλεπωτάτους, εἶπε, καὶ ἀμαχωτάτους, οἷς οὐδεὶς δύναται ἀντιβλέψαι τῶν Ἑλλήνων, οὐ μέν τοι διατρέχοντας ἢ παλαίοντας ἢ διαπηδῶντας, οὐδὲ πυκτεύοντας καὶ ἀκοντίζοντας καὶ δισκεύοντας, ἀλλὰ τοὺς σώφρονας. Τίνας μὲν ἤρετο; τοὺς πόνους ἔφη, μάλα ἰσχυρούς τε καὶ ἀνικήτους ὑπὸ ἀνθρώπων ἐμπεπληγμένων καὶ τετυφωμένων, καὶ τὰς μὲν ἡμέρας ὅλας ἐσθιόντων, ἐν δὲ ταῖς νυξὶ ῥεγχόντων, ὑπὸ δὲ ἀνδρῶν ἡττωμένων λεπτῶν καὶ ἀσάρκων, καὶ τῶν σφηκῶν τὰς γαστέρας μᾶλλον ἐντετμημένων. ἢ σὺ οἴει τούτων τὶ ὄφελος εἶναι τῶν τὰς μεγάλας κοιλίας ἐχόντων, οὓς ἐχρῆν περιαγαγόντας, καὶ περικαθάραντας ἐκβαλεῖν, μᾶλλον δὲ καταθύσαντας καὶ κατατεμόντας εὐωχεῖσθαι, καθάπερ οἶμαι τὰ τῶν κητῶν κρέα τοὺς νοῦν ἔχοντας ἕψοντας ἁλὶ καὶ θαλάσσῃ, τὴν δὲ πιμελὴν τήξαντας, ὥσπερ ἐν Πόντῳ παρ' ἡμῖν τὸ τῶν δελφίνων στέαρ, ἀλείφεσθαι τοὺς δεομένους. οἶμαι γὰρ αὐτοὺς τῶν ὑῶν ἥττανα ψυχὴν ἔχειν. Ὁ δὲ ἀνὴρ ὁ γενναῖος ἡγεῖται τοὺς πόνους ἀνταγω-

νιστὰς

νιστὰς μεγίστους, καὶ τούτοις ἀεὶ φιλεῖ μάχεσθαι καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν, οὐχ ὑπὲρ σελίνου ὥσπερ αἱ γυναῖκες, οὐδὲ κονίνου καὶ πίτυος, ἀλλ' ὑπὲρ εὐδαιμονίας καὶ ἀρετῆς παρὰ πάντα τὸν βίον. οὐχ ὅταν Ἠλεῖοι προείπωσιν, ἢ Κορινθίων ἢ τὸ κοινὸν τῶν Θετταλῶν, μηδένα αὐτῶν φοβούμενον, μηδὲ εὐχόμενον ἄλλῳ λαχεῖν, ἀλλὰ παρακαλούμενον ἐφεξῆς ἅπαντα, καὶ λιμῷ φιλονεικοῦντα καὶ ψύχει καὶ δίψει, ὑπομένοντα, κἂν δέῃ μαστιγούμενον καρτερεῖν, καὶ τεμνόμενον καὶ καιόμενον, καὶ μηδὲν μᾶλλον ἐνδιδόντα, πενίαν δὲ καὶ φυγὴν καὶ ἀδοξίαν καὶ τὰ τοιαῦτα μηδὲν ἡγεῖσθαι δεινὸν αὐτῷ, ἀλλὰ πάνυ κοῦφα, καὶ πολλάκις παίζειν ἐν αὐτοῖς τὸν ἄνδρα τὸν τέλειον, ὥσπερ οἱ παῖδες τοῖς ἀστραγάλοις καὶ ταῖς σφαίραις ταῖς ποικίλαις. δοκοῦσι καὶ γὰρ μηδὲν, ἔφη, δεινοὶ, καὶ ἀνυπόστατοι, πᾶσι τοῖς κακοῖς οἱ ἀνταγωνισταὶ οὗτοι. ἐὰν δέ τις αὐτῶν καταφρονήσῃ θαρρῶν, ὄψεται δειλοὺς καὶ ἀδυνάτους ἄνδρας ἰσχυροὺς κρατῆσαι, μάλιστα τοῖς κυσὶν ὁμοίως· οἳ τοὺς μὲν φεύγοντας ἐπιδιώκουσι, καὶ δάκνουσι, καὶ διέσπασαν οὓς κατέλαβον· τοὺς δὲ ἐπιόντας καὶ μαχομένους φοβοῦνται καὶ ἀναχωροῦσι, τελευτῶντες δὲ σαίνουσιν, ἐπειδὰν συνήθεις γένωνται. Οἱ δὲ πολλοὶ ἄνθρωποι ἐκπεπληγμένοι αὐτοὺς καὶ ἀείποτε φεύγοντες κρίνουσιν, οὐδέποτε ἐναντίον βλέποντες. καὶ γὰρ δὴ ὥσπερ οἱ πυκτεύειν εἰδότες, ἐὰν μὲν προλάβωσι τὸν ἀνταγωνιστὴν, οὐ παύονται τὴν ἀρχὴν, πολλάκις δὲ καὶ ἐπέβησαν αὐτοὶ καταβαλόντες. ἐὰν δὲ ἀποχωρῶσι φοβούμενοι, τότε ἰσχυροτάτας πληγὰς λαμβάνουσιν. οὕτως ἐὰν μέν τις τοὺς πόνους δέχηται καταφρονῶν καὶ πλησιάζῃ προθύμως, οὐ πάνυ ἰσχύουσι πρὸς αὐτόν. ἐὰν δὲ ἀφηστῆται καὶ ἀναχωρῇ, τῷ παντὶ μείζους καὶ σφοδρότεροι δοκοῦσι. τοῦτο δ' ἂν ἴδῃς καὶ ἐπὶ τοῦ πυρὸς γινόμενον, ἐὰν σφόδρα ἐπιβῇς ἔσβεσας τὸ πῦρ, ἐὰν δὲ ὑποπτεύων καὶ δεδοικὼς, σφόδρα ἐκαύθης, ὥσπερ ἐνίοτε παίζοντες οἱ παῖδες τῇ γλώττῃ τὸ πῦρ σβεννύουσιν. Οὗτοι

μὲν

μὴ οὖν οἱ ἀντιγωνισταὶ ἡδονὴν ὅμοιοι εἰσὶ τοῖς πυγμάχοις παίοντές τε καὶ ἄγχοντες καὶ δεδαπανῶντες καὶ λοιμοκτονοῦντες ἐγκαλοῦσι. ἑτέρα δὲ δεινοτέρα μάχη καὶ ἀγὼν ἐστὶν ὁ μικρὸς, ἀλλὰ πολὺ πόνων μείζων καὶ ὀπωπιδωτέρους ὁ περὶ τὴν ἡδονὴν, οὐ πυκτεύουσι βιαζομένην, ἀλλ' ἐξαπατῶσαν καὶ γοητεύουσαν δεινοῖς φαρμάκοις, οὐκ οἶδεν Ὅμηρός φησιν, αὐθις δὲ δευτέρα μάχη περὶ ἡδονὴν ἐτύχθη, ὀξέσι δὴ πελέκεσι καὶ ἀξίνησι μάχονται, καὶ ξίφεσι μεγάλοις. Οὐχ ὅτος ὁ τρόπος τῆς μάχης· οὐ γὰρ πυκτικῶς βιάζεσθαι τὴν ἡδονὴν, ἀλλὰ ἐξαπατᾶν καὶ γοητεύειν δεινοῖς φαρμάκοις, ὥσπερ Ὅμηρός φησι τὴν Κίρκην τοὺς τῶν Ὀδυσσέως ἑταίρους καταφαρμάξαι. κἄπειτα τοὺς μὲν σῦς αὐτῇ, τοὺς δὲ λύκους γενέσθαι, τοὺς δὲ ἄλλα τινὰ θηρία. Τοιοῦτόν ἐστι τὸ πρᾶγμα τῆς ἡδονῆς, οὐκ ἁπλῶς βιαζομένην, ἀλλὰ πάντα τρόπον δεῖ τὸν τῆς ὄψεως καὶ ἀκοῆς, ἢ ὀσφρήσεως, ἢ γεύσεως, ἢ ἁφῆς, ἔτι δὲ σιτίοις καὶ ποτοῖς καὶ ἀφροδισίοις δεδιέναι περαιμένην, ὁμοίως μὲν ἐγκρατεῖς, ὁμοίως δὲ κοιμωμένους. οὐδὲ γὰρ ὥσπερ τοὺς πολεμίους εἶναι φύλακας καταστήσαντας καθεύδειν, ἀλλὰ μᾶλλον δὴ πάντων τότε ὀρθρίζειν, τὰ μὲν αὐτῇ τῷ ὕπνῳ μαρμαίνοντα καὶ δολοφρονοῦντα, τὰ δὲ ὀπτέμπουσα ὀνείρατα πανοπλίας καὶ ὅπλα, ἀναμιμνήσκοντα αὐτῆς. Ὁ μὲν γὰρ πόθος δεῖ τῆς ἀφῆς γίνεται, ὡς πολὺ καὶ ταύτῃ πρόσεστιν. ἡ δ' ἡδονὴ πᾶσιν αἰσθησιν ὁποίας ἄνθρωπος αἰσθήσεις ἔχει. καὶ δεῖ τοῖς μὲν πόνοις ἀντέχειν καὶ συμπλέκεσθαι, τῇ δὲ ἡδονῇ φεύγειν ὡς πορρωτάτω καὶ μηδὲν ὅλως, ἢ πέναγκαῖα ὁμιλεῖν. καὶ ἐνταῦθα ὁ κρατίστος ἀνήρ· κρατίστος δὲ ὅστις ἂν δύνηται πλεῖστον χρόνον φεύγειν τὰς ἡδονάς. οὐδὲ γάρ ἐστιν ἡδονῇ συνόντα, ἢ καὶ παρώμνυον συνεχῶς μὴ δ' ὅπως ἁλῶναι. Ὅταν δὲν κρατήσῃ καὶ θελχθῇ τῆς ψυχῆς τοῖς φαρμάκοις, γίνεται τὸ λοιπὸν ἤδη τὸ τῆς Κίρκης. ἢ πλέξασα ῥᾳδίως τῷ ῥάβδῳ εἰς συφιόν τινα ἐλαιώνει καὶ καθείργνυσι.

καὶ

καὶ τὸ λοιπὸν ἀπ' ἐκείνου ἤδη ὁ ἄνθρωπος διατελεῖ σῦς ὢν ἢ λύκος. γίνονται δὲ καὶ ὄφεις ὑφ' ἡδονῆς ποικίλοι καὶ ὀλέθριοι, καὶ ἄλλ' ἄττα ἑρπετὰ, καὶ θεραπεύουσιν ἐκείνην ἀεὶ περὶ τὰς θύρας ἰόντες, καὶ ἐπιθυμοῦντες μὲν τῆς ἡδονῆς, καὶ λαξεύοντες ἐκείνῃ, μυρίους δὲ ἄλλους πόνους ἔχοντες. ἡ γὰρ ἡδονὴ κρατήσασα αὐτῶν καὶ παραλαβοῦσα, τοῖς πόνοις παραδίδωσι τοῖς ἐχθίστοις καὶ χαλεπωτάτοις. Τοῦτον δὴ τὸν ἀγῶνα ἐμοὶ καρτερὸν ὄντα καὶ παράδοξον πρὸς ἡδονὴν καὶ πόνον, οὐδεὶς προσέχει τῶν ἀθλίων ἀνθρώπων, ἀλλὰ τοῖς ἀνδραπόδοις, τοῖς πηδῶσι, καὶ ξέχουσι, καὶ χορεύουσιν. οὐδὲ γὰρ τὸν Ἡρακλέα ἑώρων ἀγωνιζόμενον καὶ πονοῦντα. οὐδὲ ἔμελλεν αὐτοῖς. ἀλλὰ καὶ τότε ἴσως ἀθλητάς τινας ἐθαύμαζον, Ζίτιν, καὶ Κάλαϊν, καὶ Πηλέα, καὶ ἄλλους τοιούτους δρομέας τινὰς καὶ παλαιστάς· καὶ τοὺς μὲν ἐπὶ κάλλει, τοὺς δὲ ἐπὶ πλούτῳ ἐθαύμαζον, καθάπερ Ἰάσονα καὶ Κινύραν. Τοῦ δὲ Πέλοπος πέρι ἔλεγον, ὅτι καὶ τὸν ὦμον ἐλεφάντινο ἔχει, ὥσπερ τι ὄφελος ἄνωθεν που χρυσῆν χεῖρα, ἢ ἐλεφαντίνην ἔχοντι, ἢ ὀφθαλμοὺς ἀδάμαντος ἢ σμαράγδου. τὴν δὲ ψυχὴν οὐκ ἐγίνωσκον αὐτοῦ ὁποῖάν τινα εἶχε. Τὸν δὲ Ἡρακλέα πονοῦντα μὲν καὶ ἀγωνιζόμενον ἠλέουν, καὶ ἔφασαν αὐτὸν ἀνθρώπων ἀθλιώτατον, καὶ διὰ τοῦτο ἀθλίους ἐκάλουν τοὺς πόνους αὐτοῦ καὶ τὰ ἔργα, ὡς τὸν ἐπίπονον βίον ἄθλιον ὄντα. Ἀποθανόντα δὲ πάντων μάλιστα τιμῶσι, καὶ Θεὸν νομίζουσι, καὶ φασὶν Ἥβῃ συνοικεῖν, καὶ τούτῳ πάντες εὔχονται, ὅπως αὐτῷ μὴ ἔσονται ἄθλιοι τῷ πλεῖστα ἀθλήσαντι. τὸν δὲ Εὐρυσθέα οἴονται κρατεῖν τούτου, καὶ ἐπιτάττειν, ὃν οὐδενὸς ἄξιον νενομίκασιν, οὐδὲ εὔξατο, οὐδὲ ἔθυσεν οὐδεὶς οὐδέποτε Εὐρυσθεῖ. Πλὴν ὅγε Ἡρακλῆς περιήει τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν ἅπασαν, οὐδὲν ὢν τούτοις ὅμοιος τοῖς ἀθληταῖς. ποῦ γὰρ ἂν ἠδυνήθη προσελθεῖν σάρκας τοσαύτας ἔχων, ἢ τοσούτων κρεῶν δεόμενος, ἢ βαθὺν οὕτως ὕπνον καθεύδων. ἀλλ' ἄγρυπνος καὶ λεπτὸς ὥσπερ οἱ

λέον.

λέοντες, ὀξὺ βλέπων, ὀξὺ ἀκούων, ὅτε χειμῶνος, ὅτε ἀνέμου φροντίζων, ὅτε δέρμασι στρωμάτων, ἢ χλωρίδων, ἢ παπίων, ἀλλὰ δέρμα ἀμπεχόμενος ὑπαρόν, λιμὸν πενέων, τοῖς ἀγαθοῖς βοηθῶν, τοὺς κακοὺς κολάζων. καὶ Διομήδη δὲ τὸν Θρᾷκα, ὅτι ποικίλων εἶχεν ἐδώδιμα, καθῆστο ὅπως θρόνου πίνων δι' ἡμέρας καὶ ξυφῶν καὶ τοὺς ξένους ἐδίκει, καὶ τοὺς ὑφ' αὑτὸν ὄντας πωλεῖν ἠρημοῦν, καὶ ἵππους ἔφερεν, ὧν ῥαπάλαι παίων διέῤῥαξεν ὥσπερ πίθον παλαιόν. καὶ τὸν Γηρυόνου πλείστους βοῦς ἔλαυνε, καὶ τὸν περὶ ἑσπέρας ἁπάντων πλουσιώτατόν τε καὶ ὑπερηφανώτατον, αὐτόν τε ἀπέκτεινε καὶ τοὺς ἀδελφεὺς, καὶ τοὺς βοῦς ἀπήλασε. τὸν δὲ Βύσιριν δῃρῶν πυῤῥὸν ἀμελῶς ἀθλοῦντα, καὶ δι' ὅλης ἡμέρας ἐθύοντα, διέῤῥηξεν ὅπλοις γυμνὸς, καταβαλὼν ὥσπερ τοὺς θυλάκους τοὺς σφόδρα γέμοντας· καὶ τὸν Ἀμαζόνος ἔλυσε ζώνην θηρευτομένης αὐτῷ καὶ νομιζόντος ὅτι τῷ κάλλει κρατήσει· συγχωρούμενος δὲ ἔδειξεν ὅτι οὐκ αἰσχύνεται ἡττηθεὶς κάλλους, εἰ δ' ἀνὴρ μενέει χάρεν γυναικὸς πρὸς τῷ αὐτοῦ κτεμέων οὐδέποτε. τὸν δὲ Προμηθέα σοφιστὴν ὄντα ἐμοὶ δοκεῖν καταλαβὼν ὑπὸ δόξης ὑπολυμαίνον, καὶ συνὼν μικρὸν εἰδέναι αὐτῷ καὶ αὔξοντος τοῦ ἥπατος ὁπόταν ἀναιροῖτο, πάλιν δὲ φθίνοντος ὁπόταν φύγοιεν αὐτὸν, ἐλεήσας καὶ φοβήσας ἔπαυσε τοῦ τύφου καὶ τῆς φιλονεικίας, καὶ ὅπως ὤχετο ὑγιᾶ ποιήσας. Ταῦτα μὲν οὖν ἔπραττεν ὑπὸ Εὐρυσθεῖ χαριζόμενος. τοὺς δὲ μῆλα οἱ χρύσεα ὑπέμεινε, λαβὼν ἔδωκεν ἐκείνῳ τοὺ τῷ ἑσπερίδων, ὑπὸν ἐξ αὐτῷ ἐδεῖτο, ἀλλ' ἐκέλευσε κλαίειν ἔχοντα, μηδὲν γὰρ ἄφελος εἶναι ἀνθρώπῳ χρυσοῦν μῆλον. μηδὲ γὰρ παῖς ἐπιτρέπειν χρῆσθαι. πέρας δὲ ἐπεὶ βραχύτερος ἐγένετο αὐτοῦ καὶ ἀθυμέστερος, φοβούμενος μὴ οὐ δυνήσεται ζῆν ὁμοίως, ἔπεσεν οἶμαι νόσου τινὸς καταλαβούσης, κάλλιστα ἀνθρώπων ἐθεράπευσεν ἑαυτὸν, πυρὰν πήξας ἐν τῇ Οἰ-

τῇ

ην ξύλων ὡς ξηροτάτων, καὶ δόξας ὅτι οὐδὲν ἄξιον ἐφρόντιζε τοῦ πυρετοῦ. πρότερον δὲ, ἵνα μὴ δοκῇ σεμνὰ καὶ μεγάλα ἔργα διαπράττεσθαι, τὴν κόπρον ἀπελθὼν τὴν κειμένην παρ' Αὐγείου πολύ τι χρῆμα πολλῶν ἐτῶν ἐκείνην ἐκφορεῖ καὶ ἐκάθηρεν. ἡγεῖτο γὰρ οὐχ ἧττον αὐτῷ διαμαχητέον εἶναι καὶ πολεμητέον πρὸς τὴν δόξαν, ἢ τὰ θηρία, καὶ τῶν ἀνθρώπων τοὺς κακούργους. Ταῦτα δὲ λέγοντος τοῦ Διογένους περιίσταντο πολλοὶ, καὶ πάνυ ἡδέως ἠκροῶντο τῶν λόγων· ἐννοήσας δὲ οἶμαι τὸ τοῦ Ἡρακλέους, τοὺς μὲν λόγους ἀφῆκε, χαμαὶ δὲ καθεζόμενος ἐποίει τι τῶν ἀδόξων. Εὐθὺς οὖν πολλοὶ κατεφρόνουν αὐτοῦ, καὶ μαίνεσθαι ἔφασαν· καὶ πάλιν ἐθορύβουν οἱ σοφισταὶ, καθάπερ ἐν τέλματι βάτραχοι, τὸν ὕδρον οὐχ ὁρῶντες.



10367

ΜΑΞΙΜΟΥ

ΤΥΡΙΟΥ ΠΛΑΤΩΝΙΚΟΥ

ΦΙΛΟΣΟΦΟΥ ΛΟΓΟΣ

Περὶ τοῦ τίς ὁ Θεὸς κατὰ Πλάτωνα.

ΠΕρὶ μὲν δαιμόνων ἀμφισβητῶν, λόγον λόγῳ φέρω, καὶ ἀνέχομαι τὴν στάσιν, καὶ οὐδὲν δεινὸν οὐδὲ πλημμελὲς οὐδὲ ἔξω τρόπου ἡγοῦμαι τὸν ἀμφισβητοῦντα πρὸς ἑαυτὸν καὶ πρὸς ἄλλον, εἰ ἔστι τὸ δαιμόνιον, καὶ τί, καὶ ὁπόσον. καὶ γὰρ ἦν ἐνταῦθα τὸ μὲν ὄνομα δῆλον, ἡ δὲ οὐσία οὐκ ἀφανὴς, ἡ δὲ δύναμις ἀμφισβητήσιμος. νῦν δὲ δὴ τίς γένωμαι περὶ Θεοῦ λέγων; ποῖον κάλλος ῥημάτων περιβαλλόμενος; ἢ ποῖον φῶς ἐξ ὀμμάτων σαφεστάτων πορισάμενος; ἢ τίνα ἁρμονίαν ᾠδῆς ἐκ λόγου ἁρμοσάμενος, δείξαιμι ἂν ἐμαυτῷ καὶ ἄλλῳ τὸ νῦν ζητούμενον; Ὁπότε γὰρ οὐδὲ ὁ εὐφωνότατος τῶν ὄντων Πλάτων, εἰ καὶ πρὸς Ὅμηρον παραβάλλειν ἐθέλοις, οὔπω καὶ νῦν ἀξιόχρεως πιστεύεσθαι περὶ Θεοῦ λέγων, ἀλλ' ἑτέρωθέν τις πυθέσθαι ποθεῖ τὴν Πλάτωνος δόξαν, σχολῇ γ' ἄν τις ἐπιτολμῆσαι τῷ λόγῳ, νοῦν βραχὺν ἔχων. Πλὴν εἰ μὴ καὶ ἀνδρὶ διψῶντι ποταμοῦ παρόντος καθαροῦ καὶ πολλοῦ, καὶ ἰδεῖν ἡδίστου, καὶ πιεῖν προσηνεστάτου, καὶ θρέψαι γονιμωτάτου, ἄλλοθέν ποθεν ἐκ πηγῆς ἀσθενοῦς, καὶ

ἧττον

ητον τὲ αὐτὲ ἀγαθῆς ἀρυσάμβιοι κομίζοιμβι τῷ διφυᾶ
τι ἀναγκαῖον ποιόν· ὁποῖόν φασι τὴν γλαῦκα πάχειν,
φὸς μὲν τὸν ἥλιον ἀμαυρομβύλιω, θηρεύσαν δὲ ἐν νυκτὶ
κηρον φῶς· εἰ γάρ τις ἦς πὲς Πλάτωνα; φαναὶς ἐμπᾶσαν,
ἱερῶν δεῖται λόγων, κὴ εἴην ἐκεῖθεν τὸ φῶς ἀμαυρὸν δο-
κεῖ, κὴ ἥκιστα μετέχον αὐγῆς σαφοῦς, ὅτος δ' ἂν τὸν ἥλιον
ἴδοι αὐτίχοντα, δδὲ τὴν σελήνην λαμπρυνομένην, δδὲ τὸν
ἄστερον καπεδυόμβνον, δδὲ τὸν ἑωσφόρον φθάνοντα. Ἐχ'
ἐξέμας. νυνὶ γάρ τοι ῥῆμα ἐννοῶ, οἷον ἂν εἴη τὸ πάθος
ἐν τοιῶδε λόγω. αὐτὸ ἐκεῖνο, οἷον τὸ τῷ μιπαλλέων. ὅτοι
γάρ τοι κόπτοντες τὴν γῆν, ὀρύσσουται τὸν χρυσὸν, δχ ἱκα-
νοὶ δηλονότι γίνεσθαι τὴν τῦ χρυσῦ φύσιν; ἀλλ' ἔστιν ἔργον
βασανίζοντων τὸν χρυσὸν ἐν πυρί. εἰκάζω δὴ τὴν μὲν παρού-
σαν ὁμιλίαν τῷ Πλάτωνος λόγων, μιπάλλῳ τινὶ ἀπεχνῶς
χρυσῷ. τὸ δὲ ὅτι τῦτο ἑτέρας δεῖται τέχνης, ἢ τὸ λιφθὲν
δοκιμάζουσα κὴ ἐκκαθαίρουσα λόγῳ ὡς πυρί, χρῆσθαι ἤδη
δυνατὸν ἀκηράτῳ κὴ βεβασανισμένῳ τῷ χρυσῷ. εἰ τοίνυν
δίλη μὲν ἡ μιπαλλεία τῦ ἀληθῦς, κὴ μεγαλόδωρος κὴ ἄφθο-
νος, δεῖ δὲ ἡμῖν τέχνης ἑτέρας πρὸς βάσανον τῦ λιφθέν-
τος, φέρε προσκαλῶμβι τὴν τέχνην ταύτην ξυμπιλαμβά-
νεσθαι ἡμῖν τῦ παρόντος λόγυ, τί ποτ' ὄζει τὸ θεῖον ἐν Πλά-
τωνα σκοπυμένοις. Εἰ μὲν ἔροιτο ἡμᾶς ἡ τέχνη φωνὴν λα-
βῦσα, πόπερα τοίνυν δχ ἡγύμβιοι αὐτοί τι εἶναι θεῖον ἐν
τῇ φύσει, δδὲ ἔχοντες καθάπαξ σύνοιαν Θεῦ, ἀμφισβητῦ-
μβι, ἢ περὶ Πλάτωνος, ἢ αὐτοί τινὰς ἔχοντες οἰκείας δό-
ξας, ἕτερ' ἄττα περὶ ταύτας ἡγύμεθα δοξάζειν ἐκεῖνον,
κἄπα ἡμῶν φασκόντων ἔχειν, ἀξιάσειεν ἀποκείνασθαι ὁποῖόν
τινα ἡγύμεθα εἶναι τὸν Θεόν; τί τοίνυν, ὦ τὰν, ἀποκρι-
νύμεθα ὅ, τι ὄζει Θεός; Γυρὸς ἐν ὠμοισιν, μελανόχροος,
κλοκάρδιος; καταγέλαστος ἡ ἀποκρισις· κἂν εἰ μειζόνως
χαρακτηρίζοις τὸν Δία, κυανᾶς μὲν ὀφρυας, χρυσᾶς δὲ

χαίτας, ἐλελισσόμενον δὲ ὑπ' αὐτῶν τὸν Οὐρανόν· πάντα γάρπου τὰ τοιαῦτα ἀπορίᾳ ὄψεως, καὶ ἀσθενείᾳ δηλώσεως, καὶ γνώμης ἀμβλύτητι, ἐφ' ὅσον δύνανται ἕκαστοι ἐξαιρόμενοι τῇ φαντασίᾳ πρὸς τὸ κάλλιστον δοκοῦν καὶ φιλόσοφοι καταμαντεύονται. εἰ δὲ συναγαγὼν ἐκκλησίαν τῶν τεχνῶν τούτων, κελεύοις ἅπαντας ἀθρόνους διὰ ψηφίσματος ἑνὸς ἀποκρίνασθαι περὶ τοῦ Θεοῦ, οἴει ἄλλο μὲν ἂν τὸν γραφέα εἰπεῖν, ἄλλο δὲ τὸν ἀγαλματοποιὸν, καὶ τὸν Ποιητὴν ἄλλο, καὶ τὸν φιλόσοφον ἄλλο; ἀλλὰ οὐδὲ μὴ διὰ τὸν Σκύθην, οὐδὲ τὸν Ἕλληνα, οὐδὲ τὸν Πέρσην, ἢ τὸν Ὑπερβόρειον. ἀλλ' ἴδοις ἂν ἐν μὲν τοῖς ἄλλα, ἐν δὲ τοῖς ἄλλα, καὶ οὐ ταῦτα ψηριζομένους τοὺς ἀνθρώπους, πάντας δὲ πᾶσι διαφερομένους. οὐ τὸ ἀγαθὸν τὸ αὐτὸ πᾶσιν, οὐ τὸ κακὸν ὅμοιον, οὐ τὸ αἰσχρὸν, οὐ τὸ καλόν. νόμος μὲν γὰρ δὴ καὶ δίκη ἄνω καὶ κάτω φέρεται διασσώμενα καὶ σπαρασσόμενα. μὴ γὰρ ὅτι γένει ὁμολογεῖ ἐν τούτοις, ἀλλ' οὐδὲ πόλις πόλει, ἀλλ' οὐδὲ οἶκος οἴκῳ, οὐδὲ ἀνὴρ ἀνδρὶ, οὐδὲ αὐτὸς αὑτῷ. Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμας ἄγῃσι πατὴρ ἀνδρῶν τε Θεῶν τε. Ἐν τοσούτῳ δὴ πολέμῳ καὶ στάσει καὶ διαφωνίᾳ, ἕνα ἴδοις ἂν ἐν πάσῃ γῇ ὁμόφωνον λόγον, ὅτι Θεὸς εἷς πάντων Βασιλεὺς καὶ πατὴρ, καὶ Θεοὶ πολλοὶ, Θεοῦ παῖδες, συνάρχοντες αὐτῷ. ταῦτα καὶ ὁ Ἕλλην λέγει, καὶ ὁ βάρβαρος λέγει, καὶ ὁ ἠπειρώθης, καὶ ὁ θαλάττιος, καὶ ὁ σοφὸς, καὶ ὁ ἄσοφος. κἂν ἐπὶ τοῦ ὠκεανοῦ ἔλθῃς τοὺς ἠϊόνας, κἀκεῖ Θεοὶ, τοῖς μὲν ἀνίσχοντες ἀγχοῦ μάλα, τοῖς δὲ καταδυόμενοι. οἴει δὴ τούτοις Πλάτωνα ἀντιχειροτονεῖν καὶ ἀντινομοθετεῖν, ἀλλ' οὐχ ὁμόφωνον εἶναι καὶ ὁμοπαθῆ καλλίστης φωνῆς, καὶ ἀληθεστάτου πάθους; τί τοῦτο ἥλιος; ὀφθαλμὸς λέγει. τί τοῦτο βρονταί; ἀκοὴ λέγει, καὶ τὸν τεχνίτην ποθεῖ, καὶ καταμαντεύεται τῆς τέχνης. Εἰ δὲ ὀξεγενόντο ἐν τῷ ξύμπαντι αἰῶνι δύω που καὶ τρεῖς, ἄθεον, καὶ

τα-

παπεινὸν, καὶ ἀναιδὲς γένος, καὶ πεπλανημένον μὲν τοῖς ὀφθαλμοῖς, ἐξηπατημένον δὲ ταῖς ἀκοαῖς, ἐκτετμημένον δὲ τὴν ψυχὴν ἄλογον, καὶ ἄγονον, καὶ ἄκαρπον, ὡς ἄθυμος λέων, ὡς βοῦς ἄκερως, ὡς ὄρνις ἄπτερος, καὶ παρὰ τούτου ὅμως τοῦ γένους πεύσῃ τὸ θεῖον. ἴσασι γὰρ οὐχ ἑκόντες καὶ λέγουσιν ἄκοντες. κἂν ἀφέλῃς αὐτοῦ τὸ ἀγαθὸν· ὡς Λεύκιππος· κἂν προσθῇς τὸ ὁμοπαθὲς, ὡς Δημόκριτος, κἂν ὑπαλλάξῃς τὴν φύσιν, ὡς Στράτων· κἂν δῷς τὴν ἡδονὴν, ὡς Ἐπίκουρος. κἂν μὴ εἶναι φῄς, ὡς Διαγόρας· κἂν ἀγνοεῖν τί φῄς, ὡς Πρωταγόρας. Τούτους μὲν οὖν ἐῶμεν χαίρειν, μὴ δυναμένους ἐπαύρασθαι τοῦ ἀληθοῦς ὅλου καὶ ἀρτίου, ἰόντας δὲ ἐπ' αὐτὸ ἀσαφεῖς ὁδοὺς καὶ πεπλανημένας. αὐτοὶ δὲ δὴ τί δράσωμεν, ἢ εἴπωμεν, ἐκ τοῦ λοξοῦ τὰ ἴχνη αὐτοῦ σκεψάμενοι, οὐδὲ ὅσον εἰδώλοις ἐντυχόντες; ἀλλ' ὁ μὲν Ὀδυσσεὺς προσχὼν τῇ ξένῃ, εἰς περιωπὴν ἀνελθὼν, ἐσκέπτετο τοῦ ἐχόντων τὰ ἴχνη. Ἦρ' οἵγ' ὑβρισταί τε, καὶ ἄγριοι, οὐδὲ δίκαιοι; ἠὲ φιλόξενοι, καί σφιν νόος ἐστὶ Θεουδής; ἡμεῖς δὲ ἄρα οὐ τολμήσομεν, ἀναβιβασάμενοι τὸν λογισμὸν εἴς τινα περιωπὴν ἄνω τῆς ψυχῆς, περισκέψασθαι τὰ τοῦ Θεοῦ ἴχνη, τίνα χώραν ἔχει, τίνα φύσιν, ἀγαπήσομεν δὲ ἀμυδρῶς ἰδόντες; εἴθε μοι μαντεῖον ἦν ἐν Διὸς, ἢ Ἀπόλλωνος, οὐ λοξὰ χρησμῳδοῦν, οὐδὲ ἀμφίβολα. ἠρόμην ἂν τὸν Θεὸν, οὐ τὸν Κροίσου λέβητα, τοῦ Βασιλέων ἀνοητοτάτου καὶ μαγείρων δυστυχεστάτου, ἀλλ' οὐδὲ θαλάττης μέτρα, οὐδὲ ἀριθμὸν ψάμμου. ἠμέλησα δ' ἂν καὶ τοῦ σεμνῶν τούτων ἐρωτημάτων, ἐπίασι Μῆδοι, πῶς φυλάξομαι; κἂν ὁ Θεὸς μὴ συμβουλεύῃ, τὰς τριήρεις ἔχω. ἐπιθυμῶ Σικελίας, πῶς λάβω; κἂν γὰρ ὁ Θεὸς μὴ κωλύῃ, ἡ Σικελία πολλή. ἐμοὶ δὲ σαφῶς ὁ Ἀπόλλων ἐκ Δελφῶν περὶ τοῦ Διὸς ἀποκρινάσθω, ἢ ὁ Ζεὺς αὐτὸς ὑπὲρ αὐτοῦ, ἢ τίς ἐξ Ἀκαδημίας ὑποφήτης τοῦ Θεοῦ ἀνὴρ ἀττικὸς, μαντι-

σικός· ἀποκρίνεται δὲ ὧδε. τῇ τοῦ ἀνθρώπου ψυχῇ δύω ὀργάνων ὄντων πρὸς σύνεσιν, τοῦ μὲν ἁπλοῦ, ὃν καλοῦμεν νοῦν, τοῦ δὲ ποικίλου καὶ πολυμεροῦς καὶ πολυτρόπου, ἃς αἰσθήσεις καλοῦμεν, συνῆπται μὲν αὐτῶν ἡ ἐργασία, κεχώρισται δὲ ἡ οὐσία. ὡς δὲ ταῦτα πρὸς ἄλληλα ἔχει, οὕτω κἀκεῖνα ὧν ὅστι ταῦτα ὄργανα· καὶ διαφέρει νοητὸν αἰσθητοῦ, ὅσον νοῦς αἰσθήσεως. ἔστι δὲ τούτων κατὰ μὲν τὴν ὁμιλίαν θατερον γνωριμώτερον, τὸ αἰσθητόν· τὰ δὲ νοητὰ, ἄγνωστα μὲν ταῖς ὁμιλίαις, γνωριμώτερα δὲ τῇ φύσει. ζῶα γάρπου καὶ φυτὰ, καὶ λίθοι, καὶ φωναὶ, καὶ θυμοὶ, καὶ ὁρμαὶ, καὶ σχήματα, καὶ χροιαὶ, ὑπὸ τοῦ ἔθους ξυναγειρόμενα, καὶ τῇ καθ' ἡμέραν διαίτῃ ἀνακιρνάμενα παρεσκεύακε τὴν ψυχὴν, καὶ ἀναπέπεικε μηδὲν ἄλλο ἡγεῖσθαι εἶναι, ὅτι μὴ ταῦτα. τὸ δὲ νοητὸν ἀπηλλαγμένον τῆς τούτων ἐπαφῆς καὶ ἐπερείσεως, αὐτὸ καθ' ἑαυτὸ ὁρᾶσθαι πέφυκεν ὑπὸ τοῦ νοῦ. ὁ δὲ τῇ πάσῃ ψυχῇ ἐμπεφυτευμένος διασσᾶται ὑπὸ τῶν αἰσθήσεων, καὶ ταράττεται, καὶ ἀσχολίαν ἄγει, ὥστε μὴ διορᾶν τὰ αὐτοῦ θεάματα. ἤδη δὲ καὶ δημαγωγηθεὶς ἀναπείθηται, ὥστε συμφθέγγεσθαι ταῖς τῶν αἰσθήσεων φωναῖς, καὶ μηδὲν ἡγεῖσθαι ἄλλο εἶναι πλὴν τὰ ὁρατὰ καὶ ἀκουστὰ καὶ ὀσφραντὰ καὶ γευστὰ καὶ ἁπτά. Ὥσπερ οὖν ἐν συμποσίῳ μεστῷ κνίσσης πολλῆς, καὶ οἴνου χεομένου, καὶ αὐλῶν ἤχου καὶ συρίγγων καὶ ψαλμάτων καὶ θυμιαμάτων, ἀνδρὸς ἂν εἴη καρτεροῦ συναγείραντος καὶ συστείλαντος, καὶ τὰς αἰσθήσεις ἀποστρέφοντος πρὸς τὸ νηφάλιον καὶ κόσμιον· οὕτως ἀμέλει καὶ ἐν τῇ τῶν αἰσθήσεων πολυφωνίᾳ, χαλεπὸν εὑρεῖν νήφοντα νοῦν, καὶ δυνάμενον προσβλέπειν τοῖς αὐτοῦ θεάμασι. Καὶ μὲν δὴ καὶ ἡ τῶν αἰσθητῶν φύσις πολυειδής τε οὖσα, καὶ συμπεφορημένη καὶ ῥέουσα, ἐν μεταβολῇ παντοίᾳ, συνδιατίθησιν αὐτῇ τὴν ψυχὴν, ὥστε καὶ μεταβιβάζουσαν αὐτὴν ἐπὶ τὴν τοῦ νοητοῦ φύσιν, στάσιμόν τε οὖσαν καὶ ἑδραίαν, μὴ δυνα-

σθαι

θαι διορᾶν ἀσφαλῶς ὑπὸ τοῦ σάλου καὶ τοῦ ταράχου κραδαινομένην. οἷόν που ξυμβαίνειν φιλεῖ καὶ τοῖς ἐκ νεὼς εἰς ἤπειρον ἀποβᾶσι· μόλις γάρ που καὶ τούτοις ἵσταται τὸ σῶμα ὑπὸ τοῦ ἐν τῷ κλύδωνι ἔθους κινόμενόν τε καὶ περιφερόμενον καὶ σειόμενον. Ἐν ποτέρᾳ δὴ τῶν φύσεων τούτων τὸν Θεὸν τακτέον; ἆρα οὐκ ἐν τῇ στασίμῳ καὶ ἑδραιοτέρᾳ, καὶ ἀπηλλαγμένῃ τοῦ ῥεύματος τούτου καὶ τῆς μεταβολῆς; τί γὰρ ἂν καὶ τῶν ὄντων σταίη ὅτι μὴ τοῦ Θεοῦ ἐπαφησαμένου τῆς ἐκείνου φύσεως; Εἰ δέ σοι πρὸς τὸ παῦ ὥσπερ τινος χειραγωγίας δεῖ, ἔπου τῷ λόγῳ. ὁ δὲ ἐρήσεται διαιρούμενος τὰς γνωριμωτάτας φύσεις δίχα, καὶ τὴν ἑτέραν τὴν τιμιωτέραν τέμνων ἀεὶ, ἔστ' ἂν ἐφίκηται τοῦ νῦν ζητουμένου τῶν ὄντων. Τοίνυν τὰ μὲν ἄψυχα, τὰ δὲ ἔμψυχα. καὶ τὰ μὲν ἄψυχα λίθοι καὶ ξύλα καὶ ὅσα τοιαῦτα· τὰ δὲ ἔμψυχα φυτὰ καὶ ζῶα. κρεῖττον δὲ ἔμψυχον ἀψύχου. τοῦ δὲ ἐμψύχου, τὸ μὲν φυτικὸν, τὸ δὲ αἰσθητικόν. τὸ αἰσθητικὸν τοῦ φυτικοῦ κρεῖττον. τοῦ δὲ αἰσθητικοῦ, τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον. κρεῖττον δὲ τὸ λογικὸν τοῦ ἀλόγου. ἀλλὰ καὶ ἐν λογικῇ ψυχῇ, ἐποιδήπερ ἐστὶν ἡ πᾶσα ὥσπερ ἀθροισμάτι, θρεπτικὸν, αἰσθητικὸν, κινητικὸν, παθητικὸν, νοητικόν. ὃν οὖν ἔχει λόγον τὸ ἔμψυχον πρὸς τὸ ἄψυχον, τὸν αὐτὸν τοῦτον ἔχει καὶ ἡ ἔννους ψυχὴ πρὸς τὴν ὅλην ψυχήν. καὶ δηλαδὴ ὡς κρεῖττον ἡ ἔννους ψυχὴ τῆς ἐξ ἁπάντων ἠθροισμένης. Ποῦ τοίνυν τούτων τὸν Θεὸν τάττωμεν; πότερα ἐν τῷ ἀθροίσματι; ἀλλὰ εὐφημεῖν ἄξιον. λείπεται δὴ ὥσπερ εἰς ἀκρόπολιν ἀναβιβασαμένους τῷ λόγῳ τὸν Θεὸν ἱδρῦσαι καὶ τὸν νοῦν αὐτὸν ἀρχηγικώτατον. Ἀλλὰ καὶ ἐνταῦθα διφυῆ ὁρῶ. τοῦ γὰρ νοῦ ὁ μὲν νοεῖν πέφυκε καὶ μὴ νοῶν, ὁ δὲ καὶ πέφυκεν. ἀλλὰ καὶ οὗτος οὐ πωτέλεος, ἂν μὴ προσθῇς αὐτῷ τὸ καὶ νοεῖν ἀεὶ, καὶ πάντα νοεῖν, καὶ μὴ ἄλλο τε ἄλλα. ὥστε εἴη ἂν ἐντελέστατος ὁ νοῶν ἀεὶ, καὶ πάντα, καὶ ἅμα. Εἰ δὲ βούλει,

εἰκαζέμοι τὸ λεγόμενον. τὸν μὲν θεῖον νοῦν, τῷ ὁρᾷν· τὸν δὲ ἀνθρώπινον τῷ λέγειν. ὀφθαλμοῦ μὲν γὰρ βολὴ ὀξύτατον, ἀθρόως σπῶσα τὴν αἴσθησιν τοῦ ὁρωμένου. λόγου δὲ ἐνέργεια ἔοικε σχολαίῳ βαδίσματι. μᾶλλον δὲ ταύτῃ εἰκαζέσθω. ὁ μὲν θεῖος νοῦς κατὰ τὴν παραβολὴν τοῦ ἡλίου πάντα ἐφορᾷ τὸν ἐν τῇ γῇ τόπον ἀθρόως. ὁ δὲ ἀνθρώπινος κατὰ τὴν πορείαν αὐτοῦ ἄλλοτε ἄλλα τὰ μέρη τοῦ ὅλου ἐπιπορευομένου. Τοῦτον μὲν δὴ ὁ ἐξ ἀκαδημίας ἡμῖν ἄγγελος πατέρα καὶ γεννητὴν τοῦ ξύμπαντος καλέσει. τούτου ὄνομα μὲν οὐ λέγει, οὐ γὰρ εἶδεν. οὐ δὲ χρόαν λέγει, οὐ γὰρ εἶδεν· οὐ δὲ μέγεθος λέγει, οὐ γὰρ ἥψατο. φύσεις αὗται σαρκῶν καὶ ὀφθαλμῶν συνέσεις. τὸ δὲ θεῖον αὐτὸ ἀόρατον ὀφθαλμοῖς, ἄῤῥητον φωνῇ, ἀναφὲς σαρκὶ, ἀπαθὲς ἀκοῇ, μόνῳ δὲ τῷ τῆς ψυχῆς καλλίστῳ καὶ καθαρωτάτῳ καὶ νοερωτάτῳ καὶ κουφοτάτῳ καὶ πρεσβυτάτῳ, ὁρατὸν δι' ὁμοιότητα, καὶ ἀκουστὸν διὰ συγγενείαν, ὅλον ἀθρόον ἀθρόᾳ συνέσει παραγινόμενον. Ὥσπερ οὖν εἴτις ἐπιθυμεῖ ἰδεῖν τὸν ἥλιον, οὐχὶ ταῖς ἀκοαῖς θηρᾶται αὐτοῦ τὴν σύνεσιν, οὐδ' εἴτις τῆς ἐν φωναῖς ἁρμονίας ἐρᾷ, τοῖς ὀφθαλμοῖς αὐτὴν μεταδιώκει, ἀλλ' ὄψις μὲν ἐρᾷ χρωμάτων, ἀκοὴ δὲ ἀκουστῶν· οὕτω δὲ καὶ νοῦς νοητὰ ὁρᾷ, καὶ νοητῶν ἀκούει. Τοῦτ' ἔστιν ἀμέλει τὸ τοῦ Συρακουσίου αἴνιγμα. νοῦς ὁρᾷ, καὶ νοῦς ἀκούει. πῶς οὖν ὁρᾷ νοῦς καὶ πῶς ἀκούει; ὀρθῇ τῇ ψυχῇ καὶ ἐῤῥωμένῃ πρὸς τὸ ἀκήρατον ἐκεῖνο φῶς ἀναβλέπων καὶ μὴ σκοτοδινιῶν, μηδὲ εἰς γῆν καταφερόμενος, ἀλλ' ἀποφράττων μὲν καὶ τὰ ὦτα, ἀποστρέφων δὲ τὰς ὄψεις καὶ τὰς ἄλλας αἰσθήσεις ἔμπαλιν πρὸς ἑαυτὸν, καὶ ἐκλαθόμενος μὲν τῶν κάτω οἰμωγῶν καὶ στόνων καὶ ἡδονῶν καὶ δοξῶν καὶ τιμῆς καὶ ἀτιμίας, ἐπιστρέψας δὲ τὴν ἡγεμονίαν αὐτοῦ λόγῳ ἀληθεῖ καὶ ἔρωτι ἐῤῥωμένῳ· τῷ μὲν λόγῳ φράζοντι ἢ χρὴ ἰέναι, τῷ δὲ ἔρωτι ἐπισταμένῳ, καὶ τοὺς πόνους τῆς πο-

ρείας

ρείας πειθοῖ καὶ χάρισιν ἐπελαφρύνοντι. ἰόντι δὲ ἐκεῖσε, καὶ ἀφισταμένῳ τῶν κάτω, ἀεὶ τὰ πρόσθεν σαφῆ καὶ εὐλαμπέστατα καὶ τὴν τοῦ Θεοῦ φύσιν προοιμιαζόμενα. καὶ πορευόμενος μὲν ἀκούει τὴν φύσιν τοῦ Θεοῦ, ἀνελθὼν δὲ ὁρᾷ. τέλος δὲ τῆς ὁδοῦ οὐχ ὁ Οὐρανὸς, οὐδὲ τὰ ἐν τῷ Οὐρανῷ σώματα (καλὰ μὲν γὰρ καὶ ταῦτα καὶ θεσπέσια, ἅτε ἐκείνου ἔγγονα ἀκριβῆ καὶ γνήσια, καὶ πρὸς τὸ κάλλιστον ἡρμοσμένα) ἀλλὰ καὶ τούτων ἐπέκεινα ἐλθεῖν δεῖ, καὶ ὑπερκύψαι τοῦ Οὐρανοῦ, καὶ ἐπὶ τὸν ἀληθῆ τόπον, καὶ τὴν ἐκεῖ γαλήνην. ἔνθ' οὐκ ἔστ' οὔτ' ἄρα χειμὼν πολὺς, οὐδέποτ' ὄμβρῳ δεύεται, ἀλλὰ μάλ' αἰθρηπέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη. μηδενὸς ἐνοχλοῦντος τὴν θέαν πάθους σαρκίνου, οἷα δεῦρο ἐνοχλεῖ τὴν δειλαίαν ψυχὴν, ὅσον αὐτῇ τοῦ φρονεῖν ἔνεστιν ὑπὸ τοῦ μυκηθμοῦ καὶ τοῦ θορύβου καταβάλλοντα. Πῶς γὰρ ἄντις σαυίῃ Θεὸν ὑπὸ πλήθους ἐπιθυμιῶν καὶ λογισμῶν ἀλλοκότων ταραττόμενος; οὐ μᾶλλον ἐν δημοκρατίᾳ πολυφώνῳ καὶ σαυτεταραγμένῃ, σαυίῃ ἄντις νόμου καὶ ἄρχοντος. ἀνδρῶν δὲ ἐν πολλῷ ὁμαδῷ πῶς κἄν τις ἀκούσῃ; καταπεσοῦσα γὰρ ἡ ψυχὴ εἰς τουτονὶ τὸν θόρυβον, καὶ δοῦσα ἑαυτὴν ἐπ' ἀμηχάνου φέρεσθαι κύματος, νήχεται δυσέκνευστον πέλαγος, ἔστ' ἂν αὐτὴ φιλοσοφία ὑποδέξηται, ὑπερβαλοῦσα τοὺς ἑαυτῆς λογισμοὺς, ὥσπερ τὸ κρήδεμνον τῷ Ὀδυσσεῖ ἡ Λευκοθέα. πῶς οὖν ἄντις ἐκνήξαιτ' ἂν καὶ ἴδοι τὸν Θεόν; Τὸ μὲν ὅλον ὄψει τότε, ἐπειδὰν πρὸς αὐτὸν καλῇ, καλέσει δὲ οὐκ εἰς μακράν. ἀνάμεινον τὴν κλῆσιν. ἥξει σοι γῆρας ὁδηγοῦν ἐκεῖ. καὶ θανάτος, ὃν ὁ μὲν δειλὸς ὀδύρεται καὶ προσιόντα δέδιεν, ὁ δὲ ἐραστὴς τοῦ Θεοῦ ἐκδέχεται ἄσμενος, καὶ προσιόντος θαρσεῖ. Εἰ δὲ καὶ νῦν ἤδη μαθεῖν ἐρᾷς τὴν ἐκείνου φύσιν, πῶς τις αὐτὴν διηγήσεται; καλὸν μὲν γὰρ εἶναι τὸν Θεὸν, καὶ τῶν καλῶν τὸ φανώτατον, ἀλλ' οὐ σῶμα καλὸν, ἀλλ' ὅθεν

καὶ

καὶ τῷ σώματι ὀπῤῥεῖ τὸ κάλλος. οὐδὲ λειμὼν καλὸς, ἀλλ' ὅθεν καὶ ὁ λειμὼν καλὸς, καὶ ποταμοῦ κάλλος, καὶ θαλάττης, καὶ Οὐρανοῦ, καὶ τῶν ἐν Οὐρανῷ Θεῶν. πᾶν τὸ κάλλος τοῦτο ἐκεῖθεν ῥεῖ, ὃν ἐκ πηγῆς ἀεννάου καὶ ἀκηράτου. καθόσον δὲ αὐτοῦ μετέσχεν ἕκαστα, καλὰ καὶ ἑδραῖα καὶ σωζόμενα. καὶ καθόσον αὐτοῦ ἀπολείπεται, αἰσχρὰ καὶ διαλυόμενα καὶ φθειρόμενα. Εἰ μὲν ταῦτα ἱκανὰ, ἑώρακας τὸν Θεόν. εἰ δὲ μὴ, πῶς τις αὐτὸν αἰνίξεται; ἐννόει γάρμοι μήτε μέγεθος, μήτε χρῶμα, μήτε σχῆμα, μήτε ἄλλο τι ὕλης πάθος. ἀλλ' ὥσπερ ἂν εἰ καὶ σῶμα καλὸν ἀπεκρύπτετο πρὸς τὴν θέαν ὑπὸ ἐσθήτων πολλῶν καὶ ποικίλων, ἀπέδυσεν αὐτὸ ἐραστὴς, ἵνα ἴδῃ σαφῶς. οὕτω καὶ νῦν ἀπόδυσον καὶ ἄφελε τῷ λόγῳ τὴν περιβολὴν ταύτην, καὶ τὴν ἀσχολίαν τῶν ὀφθαλμῶν, καὶ τὸ καταλειπόμενον ὄψει αὐτὸ ἐκεῖνο οἷον ποθεῖς. εἰ δὲ ἐξασθενεῖς πρὸς τὴν τοῦ παντὸς καὶ δημιουργοῦ θέαν, ἀρκεῖ σοι τὰ ἔργα ἐν τῷ παρόντι ὁρᾶν, καὶ προσκυνεῖν τὰ ἔγγονα πολλὰ καὶ παντοδαπὰ ὄντα, οὐχ ὅσα Βοιώτιος ποιητὴς λέγει· οὐ γὰρ τρισμύριοι μόνον Θεοὶ Θεοῦ παῖδες καὶ φίλοι, ἀλλ' ἄληπτοι ἀριθμῷ. τοῦτο μὲν κατ' Οὐρανὸν αἱ ἀστέρων φύσεις, τοῦτο δ' αὖ κατ' αἰθέρα αἱ δαιμόνων οὐσίαι. Βούλομαι δέ σοι δεῖξαι τὸ λεγόμενον σαφεστέρᾳ εἰκόνι. ἐννόει μεγάλην ἀρχὴν καὶ Βασιλείαν ἐῤῥωμένην, πρὸς μίαν ψυχὴν Βασιλέως τοῦ ἀρίστου καὶ πρεσβυτάτου συμπάντων νενευκότων ἑκόντων· ὅρον δὲ τῆς ἀρχῆς οὐχ Ἅλην ποταμὸν, οὐδὲ Ἑλλήσποντον, οὐδὲ τὴν Μαιῶτιν, οὐδὲ τὰς ἐπὶ τῷ Ὠκεανῷ ἠϊόνας, ἀλλ' Οὐρανὸν καὶ γῆν, τὸν μὲν ὑψοῦ, τὴν δ' ἐνέρθεν. Οὐρανὸν μὲν οἷον τεῖχός τι ἐληλαμένον ἐν κύκλῳ, ἄῤῥηκτον, πάντα χρήματα ἐν ἑαυτῷ στέγον· τὴν δὲ οἷον φρουρὰν καὶ δεσμοὺς ἀλιτρῶν σωμάτων. Βασιλέα δὲ αὐτὸν δὴ τὸν μέγαν ἀτρεμοῦντα, ὥσπερ νόμον παρέχοντα

τοῖς

τοῖς πειθομένοις σωτηρίαν ὑπάρχουσαν αὐτῷ· καὶ κοινωνοὺς τῆς ἀρχῆς, πολλοὺς μὲν ὁρατοὺς Θεοὺς, πολλοὺς δὲ ἀφανεῖς· τοὺς μὲν περὶ τὰ πρόθυρα εἱλουμένους, οἷον εἰσαγγελέας τινὰς καὶ βασιλεῖς συγγενεστάτους ὁμοτραπέζους αὐτῷ καὶ συνεστίους, τοὺς δὲ τούτων ὑπηρέτας, τοὺς δὲ ἔτι τούτων καταδεεστέρους· καὶ διαδοχὴν ὁρᾷς, καὶ τάξιν ἀρχῆς καταβαίνουσαν ἐκ τοῦ Θεοῦ μέχρι γῆς.

AI-

ΑΙΛΙΟΥ ΑΡΙΣΤΕΙΔΟΥ

ΕΙΣ ΕΤΕΩΝΕΑ

Μαθητὴν αὐτοῦ ἐπικήδειος, ἐν Κυζίκῳ, τοῦ θανόντος Πατρίδι λεχθείς.

Ἡ Μὲν ἐπίδειξις οὐδαμῶς εὐτυχὴς, οὐδὲ κατ' ἐλπίδας, ἀναγκαῖα δὲ τῆς τε πόλεως ἕνεκα καὶ τῶν οἰκείων τῶν Ἐτεωνέως, καὶ προσέτι γε ἡμῶν αὐτῶν παραμυθίας. οἶμαι δ' εἰ καὶ μήπω πρόσθεν θρῆνοι κατ' ἀνθρώπους ἐνομίσθησαν, νῦν γε ἐπὶ τῷ δὲ δικαίως ἂν ἄρξασθαι. τί γὰρ οὐκ ἄν τις ὀδύρετο; πότερον τὴν ἡλικίαν ἣν ἔχων οἴχεται, καὶ τὴν ἀνδρίαν; ἢ κέκρυπται κακῶς; ἢ τὴν σωφροσύνην, ἧς οὐδὲν παράδειγμα ῥᾳδίως ἂν εὕροι τις; ἢ τὰς ἐλπίδας, ὧν στέρεται μὲν αὐτὸς, στέρονται δὲ οἰκέται καὶ φίλοι καὶ πόλεις, καὶ πᾶν ὅσον εἰς τὴν νῦν Ἀσίαν τελεῖ; Ποῖος ταῦτα Σιμωνίδης θρηνήσει; τίς Πίνδαρος, ποῖον μέλος ἢ λόγον τοιοῦτον ἐξευρών; τίς χορὸς ἄξιον φθέγξεται τοιούτου πάθους; ποία δὲ Δύσηρις Θετταλὴ τοσοῦτο πένθος ἐπένθησεν ἐπ' Ἀντιόχῳ τελευτήσαντι, ὅσον νῦν μητρὶ τῇ τούτου πένθος πρόκειται; Οὐ μὴν ἀρκέσει σιωπῇ θρηνεῖν, οὐδ' ὅσον βοῶντας τοὔνομα. ἀλλά τι καὶ κόσμου τῷ θρήνῳ προσέστω. τί γὰρ καὶ φοβηθησόμεθα; μὴ λέγοντες ψευσώμεθα; οὗ τὸ μὲν γένος τοσοῦτον πρῶτον ἔν τε τῇ πόλει καὶ τῇ Ἀσίᾳ, ὥς τε μήδ' ἂν ἓν ἀμφισβητῆσαι. πάντες γὰρ ὡς εἰπεῖν, καθ' ἕνα πρωτεύουσι. Καὶ γεμὴν τῷ πρὸς πατρὸς, τῷ πρὸς μητρὸς ἐφάμιλ-

μᾶλλον. αὐτοὶ δὲ οἱ γονεῖς, ὁ μὲν, ἀνδρῶν γυναικμώτατος, ἡ δὲ, γυναικῶν σωφρονεστάτη. ἀλλὰ καὶ εἰς παίδων τῆς αὐτῆς ἐπιμέλειαν, κρείττων ἦν γυνή. ξοφὴ δὲ καὶ φύσις ἀξία τῆς θηλείας φύγε ξοφόν; μὲν καὶ φύλαξ ἡ μήτηρ. Σῶμα δὲ καὶ ψυχὴ πρέποντα ἀλλήλοις. ἰδεῖν μέν γε κάλλιστος καὶ μέγιστος καὶ τελεώτατος τῶν ἐν τῇ ἡλικίᾳ, καὶ πλεῖστον ἡδονῆς τῷ θεωμένῳ παρεσβάλλων· τὸν δὲ ξόπον κοσμιώτατος καὶ ἐλευθεριώτατος, μεγαλοπρεπείᾳ μὲν φιλίας ἐμπορίαν. ὡς τ' ἂν εἰκάσαι, πότερον παῖς ὄζιν ἢ νεανίας, ἢ παρεσβύτης. τὸ μὲν γὰρ ἀνοίητον, παιδός. ἡ δὲ ἀκμὴ, νεανίου. φρόνησις δὲ, παρεσβύτου. Ἦν δ' ἀγαθὸν τῆς μὲν σιωπῆς τὸ μηδαμῆ θρασύ, μηδὲ ἰταμὸν, μηδὲ αὐθαδες, ἀλλ' ἐν χολαίῳ τῷ ἤθει τὸ ἀγχίνουν εἶναι. τῆς δ' αὖ σωφροσύνης τὸ μηδαμῆ νωθρὸν, μηδὲ ὕπτιον, μηδὲ ναρκῶδες, ἀλλ' ὡς πὴρ ἡεμνῆς δὲ κεραμεύσης, ὀξὺ ἴσα τῷ ὀξύτητι καθιεμένου, καὶ μήτε τῷ σωφρονεῖν, μήτε τῷ χαίρειν εἰς ἄλληλα βλέπεσθαι. Ὅς γε τῆς μὲν μηδὲ ὅπως εἴχετο, ὥσπερ οἱ πρὸς τῷ μαζῷ παῖδες. τὸν δὲ ἀδελφὸν ὡς παῖδα ἠσπάζετο. τῷ δὲ μωθηκότων ὅπως εἴχετο, ὡς περ καὶ ἐξὸν ἄλλως αὐτὸν ζῆν. ἐδ' ἤμυσε, πολλὰ χρῆμα ὠφέλησε. ἰδὼν δὲ αὐθὺς ὢν ἔγνω, ποῖός τις ἀνὴρ, καὶ πότερον ἀσπάζεσθαι χρὴ ἢ φυλάττεσθαι. νομίσας δ' εὖ ἔχειν τὸ Ὁμηρικὸν, τὸ, Οὐκ ἀγαθὸν πολυκοιρανίη. καὶ τὰς διδασκάλους τὰς πολλὰς εἰς ἀμαθίαν μᾶλλον φέρειν, παρεῖλετο μὲν διδάσκαλον ἐξ ἁπάντων, ὃν τινα δὴ καὶ παρεῖλετο (καὶ γὰρ ἔμοιγε εὐπαρπέστατόν ἐστι λέγειν) πάντῃ δ' ὅπῃ προσέκειτο, ὥς τε ἅπαντα πράττων ὅσα τὸν φιλομαθέστατον καὶ φιλοργότατον προσῆκον, ἐδεπώποτε ἔδοξεν ἑαυτῷ τῆς ἀξίας ἐγγὺς εἶναι. Καὶ σιωπῶν μέν γε ὅπως ἔχαιρεν, ὡς μόνον τῶν βιώσιμον ὄντα αὐτῷ τὸ βίον τὸν χρόνον· εἰ δέ τι κωλύοιεν, ἰλιγγᾶτο μὲν, πτιᾶτο δ' ἐδεπώποτε. ἀπροθύμως τοίνυν ὅπῃ σφόδρα τῷ λόγῳ ἰδ, ὡς τ' ἂν ἐχθαίρειν

λαζον

λαζεν ἐπαινεῖν, ἀλλ' ὥσπερ οἱ διψῶντες σιωπῇ πίνουσιν, οὕτως ἐκείνῳ ἤρκει δέχεσθαι τὰ λεγόμενα, τῷ σχήματι καὶ νεύματι καὶ τῇ φαιδρότητι τὴν χαρὰν ἐμφανίζοντι, ἢν ἐπὶ τοῖς λόγοις εἶχεν. Ἀεὶ δ' ἂν εὗρες αὐτὸν, ἢ βιβλίον μεταχειριζόμενον, ἢ λόγους ποιοῦντα, ἢ τὴν μητέρα εὐφραίνοντα οἷς διηγεῖτο, ἢ οἷς ἐπεδείκνυτο. πάντως δ' ἐν τούτῳ τῷ σχήματι πᾶν πράττοντα, καὶ γραφῇ μιμήσασθαι, κάλλιστον ἦν. Ἃ δὲ τοῖς ἐνταῦθα ἥκουσιν ἡλικίας ἐφ' ἡμέρᾳ καὶ νυκτὶ ἑκάστῃ παίζεται, ταῦτ' ἐκείνῳ καθάπερ μῦθοί τινες ἦσαν. ἀλλὰ γυναικῶν μὲν μία σύσσιτος ἦν ἡ μήτηρ. παίδων δὲ εἷς ἀδελφός· φίλοι δὲ, οἱ ταὐτὰ προῃρημένοι, καὶ κατὰ τοὺς αὐτοὺς συνιόντες λόγους. ὅδ' ἔπρεπε καὶ δεῖ πάντων. ἄγαλμα δ' ἄντις ἔφησε τῆς αἰδοῦς αὐτὸν εἶναι. ὧγε τὰ μὲν πολλὰ, σιωπᾶν ἐξήρκει. εἰ δέ τι φθέγγοιτο, ἔδει φλέγεσθαι. οὔκουν ἄλλως γ' ἂν ἤκουσας αὐτοῦ φωνὴν, ἀλλὰ χρὴν ἢ ἐρυθριάσαντα εἰπεῖν, ἢ εἰπόντα ἐρυθριᾶν. οὕτως ἀθέατος καὶ ἀνήκοος καὶ ἄπειρος ἁπάντων τῶν αἰσχίστων διεβίω. λόγους δὲ καὶ παιδείαν εἶδε μόνα· ὃς καὶ τελευτῶν εἰς ταῦτα ἐτελεύτησεν, εἰς πανηγυρικὸν καὶ μελέτας βοῶν. ὦ πάντα σὺ κάλλιστε παίδων. ὦ τῆς μὲν προσηκούσης ἡλικίας οὐκ ἐπιλαβόμενος, τῆς δ' ὑπαρχούσης σεμνότερος φανεὶς καὶ πρεσβύτερος. σὲ ποθοῦσι μὲν ἡλικιωτῶν χοροί. ποθοῦσι δὲ πρεσβύτεροι. ποθεῖ δὲ ἡ τὰ μέγιστα ἐπί σοι πόλις ἐλπίσασα, ἣν σὺ πρώην, πρῶτα δὴ καὶ τελευταῖα εὔφρανας. Μητρὶ δὲ ποῖαι νύκτες; ἢ τίνες ἡμέραι λοιπόν; ἢ πρὶν μὲν ὡς καλλίπαις ἥδετο, νῦν δ' ἐξελέλεγκται ὡς δυστοκήσασα. ὦ κύκλοι μὲν ὀφθαλμῶν ἐκείνων κεκλεισμένοι τὸν ἅπαντα ἤδη χρόνον· κεφαλὴ δὲ ἡ πρότερον χαριεστάτη, νῦν ἐν κόνει. χεῖρες δὲ ἀφανεῖς. ὦ πόδες οἷον φέροντες τὸν δεσπότην ὑπεδώκατε. ὦ νυμφίου τ' ἐλεεινότερος ἄρτι καιομένου, καὶ στεφάνοις μᾶλλον πρέπων, ἢ θρήνοις, οἵαν ἐν ὥρᾳ τὴν ἀωρίαν ἐκίνησας. ὃς πρὶν ὑμέναιον ᾄδεσθαί σοι,

καὶ-

καιρὸν τοῦ θρήνους ᾄδειν κατέλαβες· ὦ σχῆμα κάλλιστον· ὦ φθέγμα κοινὸν τοῖς Ἕλλησιν αὐξανόμενον. οἴχῃ δὴ προοιμιασάμενος, τοσοῦτον εὐφραίας, ὅσον λυπῆσαι μειζόνως. Ἐπέρχεταί μοι τὸ τοῦ Πινδάρου προσθεῖναι. Ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου, τὴν ὠωρίαν τὴν σὴν ἀνακαλεῖ. ὦ τοῦ δευτέρου πτώματος, οἷος ἐφ' οἵῳ τῷ νέῳ κεῖσαι. ὦ τῆς ἐπιθήκης· οἷον αὐτὸ δεύτερον ἡμῖν ἔσεισεν. ὦ τοῦ τραγικοῦ δαίμονος. ὃς προδείξας ἀρτίως βουλευτήρια καὶ λόγους καὶ ζῆλον καὶ χαρὰν, πόῤῥω τούτων ἐν βραχεῖ τὸ δρᾶμα κατέκλεισεν. ὦ συμφοραὶ κοιναὶ λογίων καὶ χθονίων Θεῶν. τίποτε καὶ ἀποκρίνωμαι πρὸς τὰ ψηφίσματα; ἢ τοῦτο, ὅτι Ἐτεωνεὺς οἴχεται πολλὰ τοὺς κρείττονας; ὦ δεξιώτατε παίδων, οἷόν σοι πέμπω βιβλίον. οἵων τανῦν ἀπολαύεις λόγων. Ἀλλὰ γὰρ ὥσπερ ἐν τραγῳδίᾳ τινὶ ὡς ἀληθῶς μεταξὺ τῶν ὀδυρμῶν, δοκῶ μοι κατακούειν φωνῆς ἀπὸ μηχανῆς Θεοῦ τινος μεταβάλλοντος τὸν θρῆνον εἰς εὐφημίαν· ὡδὶ λέγοντος· παύσασθε ὦ ἄνθρωποι· οὐκ οἰκτρὸς ὁ παῖς· μᾶλλον δὲ ἀνήρ· οὐδὲ ἐλεεῖσθαι δίκαιος τῆς πορείας ἣν ἐστείλατο. ἀλλ' εἴπερ τις ἄλλος ἔχει καλῶς γε δὴ τὰ ἀνθρώπεια. οὐδὲ γὰρ Κωκυτὸς, οὐδὲ Ἀχέρων τοῦτόν γε εἰλήφασιν. οὐδὲ θήκη κρύψει παραλαβοῦσα. ἀλλ' εὐκλεὴς καὶ ἀγήρως ἤδη τὸν λοιπὸν ἅπαντα χρόνον περίεισιν ἥρως, Κυζίκου πάρεδρος, τιμηθεὶς ὑπὸ Ἀπόλλωνος πατρῴου, καὶ ταὐτὰ Ἀμύκλᾳ καὶ Ναρκίσσῳ καὶ Ὑακίνθῳ, καὶ εἰ δή τις ἄλλος ἐπὶ εἴδει καλῶ, κρείττονα ἢ καὶ ἄνθρωπον ἀρετὴν ἐκτήσατο. Ἑτέραις οὖν ἤδη τιμαῖς αὐτὸν τιμητέον, καὶ ἑτέρως παραπεμπτέον, ὡς κρείττω δακρύων ὄντα, καὶ τὴν ἀποικίαν οὐκ ἄνευ θείας μοίρας πεποιημένον. παέτως δὲ ἡ μὲν τελευτὴ, κοινὸς ἅπασιν ὅρος πρόκειται. τὸ δὲ τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα μετ' εὐκλείας καταλῦσαι, Θεοῖς τε καὶ ἀνθρώποις ἄμεμπτον. τοῦτο δὲ, οὐκ ἐπὶ πάντας ἀλλ' ὀλίγοις δή τισι τῶν πάντων ἀπεδόθη. βίος δὲ πᾶς ἀνθρώπων βραχύς. καὶ οὐ

πολ-

πολλοῦ τινος ἄξιος εἰς ἀριθμοῦ λόγον· ἀλλ' ἐάν τι Ἀργαιθώνιον, ἐάν τε Τιθωνὸν λέγῃ τις, ἐάν τε τὸν τοὺς τρεῖς γενεὰς διαρκέσαντα Νέστορα τὸν Πύλιον, πάντας τούτους τοὺς χρόνους συνθεὶς, εὑρήσει ἔλαττον μέρος ὄντας τοῦ παντὸς αἰῶνος, ἢ ὅσον εἰπεῖν. οὐ δεῖ δὴ φιλοψυχεῖν, οὐδὲ τὴν εὐδαιμονίαν τούτῳ μετρεῖν, εἴτις ὡς πλεῖστα ἔσχε πράγματα, οὐδ' εἴτις τοῦ μακροῦ γήρως ἀπέλαυσεν, οἷα δὴ ἀπολαύειν εἰώθασιν ἄνθρωποι. ἀλλ' ἡγεῖσθαι τούτῳ κάλλιστ' ἔχειν, ὅστις τὴν δοθεῖσαν αὐτῷ τοῦ βίου μοῖραν ἐν τοῖς καλλίστοις ἐξέπλησε. καὶ ὅς τις ὥς περ ποιητὴς ποθούντων ἀκούειν ἔτι καὶ ὁρᾷν κατέλυσε τὸ δρᾶμα. Ὁ δὲ, εὐδαίμων τε καὶ ζηλωτὸς ἅπασι καὶ νεωτέροις καὶ πρεσβύταις πορεύεται· τοσαῦτα ἀπολαύσας τοῦ βίου, ἐφ' οἷς μόνοις εὐκτὸν ἦν γεννᾶσθαι, ἀπαθὴς κακῶν, ἄπειρος πραγμάτων, εὐκλεὴς, ἐν λόγοις καὶ μαθήμασι καὶ ἐπαίνοις τραφεὶς, ἀπὸ τῆς φίλης καὶ ὁμοσκήνου μητρὸς, στειλάμενος παρὰ τὴν ἀρχαίαν μητέρα. Εἰ δέ τῳ μὴ ἱκανῶς δοκεῖ τῆς δόξης ἀπολαῦσαι, ἀναπληροῦν χρὴ νῦν ἐπικοσμοῦντας ὡς ἥρωα. ὄντων δὲ ἐν ἀσφαλεῖ τῶν ἐπαίνων, ἤδη ταῦτα χρὴ δοκεῖν ἀκούειν τῶν κρειττόνων, καὶ οὕτως ἔχοντας, τῆς ἀληθείας ἂν μᾶλλον τυγχάνειν νομίζειν, κἀείνῳ ποιεῖν κεχαρισμένα. καλὸν δὲ καὶ ἐν σκολιοῖς ὥς τε ἁρμόδιον ᾄδειν, οὔτιπω τέθνηκας λέγοντας. ἀλλ' εἴπερ τις ἄλλος ἐν μέσοις ἀναστρέφῃ τοῖς εἰδόσι, καὶ πολίταις καὶ ξένοις. ὦ βιοὺς μὲν ὡς ἐν ἱεροῖς, καὶ τελευτήσας κρεῖττον ἢ κατ' ἄνθρωπον. ὦ κόσμος καὶ φίλοι καὶ γένει καὶ πόλει. ὦ πρῶτα τῆς καθ' ἡλικίαν ἀρετῆς ἔχων, τάδεσοι τὰ παρ' ἡμῶν. τὰ δὲ λοιπὰ μελήσει τῇ πόλει κοινῇ.

ΤΟΥ ΑΥΤΟΥ ΜΟΝΩΔΙΑ

Ἐπὶ Σμύρνῃ Σεισμῷ καταπεσούσῃ.

Ὦ Ζεῦ, τί χρήσωμαι; πότερον σιωπῶ, Σμύρνης κειμένης; τίνος μεταλαβὼν Ἀδάμαντος φύσιν; ἢ τίνα ταύτην καρτερίαν καρτερῶν; ἀλλ' ὀδύρωμαι; ποίαν ἁρμονίαν ἁρμοσάμενος; ἢ τίνα τόλμαν τοσαύτην λαβών; ὅσαι τὸ Ἑλλήνων καὶ βαρβάρων φωναὶ, τῶν τε ὑπὲρ γῆς ἔτι καὶ τῶν ἐκ τοῦ παντὸς αἰῶνος γενομένων, εἰς ταυτὸν ἅπασαι λόγῳ συνελθοῦσαι, ἐλάττους τοῦδε τοῦ πράγματος ἐγχειρῆσαι μόνον, μὴ ὅτι τὴν ἀξίαν σῶσαι. ὦ μήκιστα μηκίστων ἰδὼν καὶ ἀκούσας ἐγώ· ὦ πάντα φέρων χρόνος, οἵαν ἰδέαν πόλεως ἐξευρὼν καὶ τεχνησάμενος, εἶτα ἀναλώσας ἔχεις. ὦ πάντα ἀνόμοια τοῖς πρότερον. Τὰ μὲν ἀρχαῖα, Κουρήτων χοροὶ καὶ τροφαὶ, καὶ γενέσεις θεῶν, καὶ Πέλοπες διαβαίνοντες ἐνθένδε, καὶ Πελοπόννησος ἀποικία, καὶ Φησεὺς οἰκιστὴς τῶν ὑπὸ τὸν Σίπυλον τόπων, καὶ Ὁμήρου γοναὶ, καὶ ἀγῶνες, καὶ τρόπαια, καὶ νῖκαι παρὰ τοῖς ἄρχουσι διὰ πάντων ἐθνῶν καὶ λογίων περιηγήσεις, ἀναγραφόντων καλλίστην τῶν ἁπασῶν. Καὶ μὴν τάγε ὁρώμενα κρείττω διηγήσεως. προσιόντι μὲν εὐθὺς ἀστραπὴ κάλλους, καὶ μεγεθῶν ἀριθμοὶ, καὶ μέτρα, καὶ βάσεις, ὥσπερ ἁρμονίας μιᾶς. πόδες μὲν ἐπ' ἠιόνων καὶ λιμένων καὶ ἀλσῶν ἐρειδόμενοι. μεσότης δὲ, ἴσον τοῦ πεδίου τε ὑπεραίρουσα καὶ τῶν ἄνωθεν ἀπολείπουσα. ἐσχατιὰ δὲ μεσημβρινὴ, καὶ μικρὸν ὑψουμένη, δι' ὁμοίου τοῦ παντὸς λάθρα λήγουσα εἰς ἀκρόπολιν, σκοπιὰν τῆς τε θαλάττης καὶ τῆς πόλεως ἔχουσαν. Τὸ δὲ οὔτε λόγῳ ῥητὸν, οὔτε ὄψει βεβαίως καταληπτὸν, ἀλλ' ἐκφεῦγον οὐκ οἶδ' ὅπως, ἐπιθυμίαν δὲ τοῦ συλλαβεῖν αὐτὸ παριστῶν ἀεὶ δήποκε, τὸ ὑπὲρ πάσης τῆς πόλεως ἑστηκὸς γά-

νος· οὐ διαφθεῖρον τὰς ὄψεις, ὡς ἔφη Σαπφὼ, ἀλλ' αὐξον καὶ τρέφον καὶ ἄρδον ἅμα εὐθυμίᾳ, ὑακινθίνῳ μὲν ἄνθει οὐδαμῶς ὅμοιον, ἀλλ' οἷον οὐδὲν πώποτε γῆ καὶ ἥλιος ἀνθρώποις ἔφηναν. ὥς περ δὲ ἄγαλμα ἀκριβῶς πεποικιλμένον, πάντι περιιόντι θέαν, ἔχει, οὕτως ἡ πρότερον μὲν ὡραιοτάτη πόλεων, νυνὶ δ' ἀωρίαν περιβεβλημένη, ἀφ' ὅτου τις ἂν θεωροίη. νυῦ δὲ τὸ κάλλιστον εἶδος παρέσται δοκεῖν, τοῦτο μὲν ἐξαίφνης, ἐμφανοῦς γιγνομένης· τοῦτο δὲ ἀπαντικρὺ γινομένῳ. τοῦτο δ' ἐκ προαστείων, ἐκ πορθμῶν, ἐκ πελάγους, ἐκ γῆς, ἐκ θαλάττης. Ταῦτα μὲν τὰ πρὶν ἐντυχεῖν. συνουσίαι δὲ ὅσαι καὶ ὁμιλίαι τίνα μὲν κόρον ἔσχον ἀνθρώποις; τίνι δὲ ἄλλῃ πόλει παρὰ μικρὸν ἐλθεῖν ἀπέλιπον; ὦ κρῆναι, καὶ θέατρα καὶ στενωποὶ, καὶ δρόμοι κατάστεγοι καὶ ὕπαιθροι. ὦ τῆς ὑπερλάμπρου σχῆμα ἀγορᾶς· ὦ χρυσοῦ τε ἐπώνυμοι καὶ ἱερῶν ὁδοὶ καθ' ἕκαστον πλαίσιον, ἀντ' ἀγορᾶς ἅπασαι. ὦ λιμένες ποθοῦντες τὰ τῆς φιλτάτης πόλεως. ὦ κάλλη γυμνασίων ἀμύθητα. ὦ ναῶν καὶ περιβόλων χάριτες, ποῖποτε γῆς ἔδυτε; ὦ κόσμοι παραλίας. ὦ πάντα ἐκεῖνα ὀνείρατα. ποῖαι πηγαὶ δακρύων ἱκαναὶ τοσούτῳ κακῷ, ποῖαι συναυλίαι καὶ συνῳδίαι χορῶν, πασῶν τὴν καλλίχωρον καὶ πολυύμνητον καὶ τριπόθητον ἀνθρώποις ἀρκέσουσιν ἀνοιμῶξαι πόλιν. ὦ πτῶμα τῆς Ἀσίας. ὦ λοιπαὶ πόλεις. ὦ πᾶσα μὲν γῆ, πᾶσα δὲ εἴσω Γαδείρων τε καὶ ἔξω Γαδείρων θάλαττα. ὦ κύκλος ἀστέρων. ὦ πάντα ἐφορῶν ἥλιε, οἷον ἠνέσχου θέαμα ὁρῶν. ὦ παιδιὰ μὲν Ἰλίου πόρθησις, παιδιὰ δὲ Ἀθηναίων ἐν Σικελίᾳ συμφοραὶ, καὶ κατασκαφαὶ Θηβῶν, καὶ στρατευμάτων ὄλεθροι, καὶ πόλεων δύσεις, καὶ πάνθ' ὅσα πῦρ καὶ πόλεμοι καὶ σεισμοὶ μέχρι τῆδε ἀπειργάσαντο. ὦ πρότερον μὲν κάλλει καὶ μούσαις ἁπάσας πόλεις ἀποκρύπτουσα, νυνὶ δὲ ἀποκρύψασα τὸ τῆς Ῥόδου πτῶμα ἔμελλες ἄρα τοῖς Ἕλλησιν ᾄδεσθαι δευτέρων σχετλιωτέρων. ὦ πᾶσι τοῖς ὁμοφύλοις ἐναγισμάτων ἡμέρα. ὦ κοινὴ

τοῖς

τοῖς Ἕλλησιν ἀσπορά, οἷαν κεφαλῇ τὸ ὄμμα ἀπολωλέναι, οἷον ὀξεῖλες ὀφθαλμόν. ὦ γῆς ἄγαλμα, ὦ θέαζον ἁπάσης Ἑλλάδος, ὦ νυμφῶν ἠδὲ χαρίτων ὕφασμα· ὦ πάντα ἐπομένας ἐγώ· πᾷ γῆς νυνὶ μονῳδῷ; πᾷ μοι τὸ βυθοδρόμενον; πᾷ νεῶν ἠδὲ παρεσβυτέρων σιωπαὶ ἠδὲ θόρυβοι διπλοῦν; πᾷ νέων ἠδὲ παρεσβυτέρων σιωπαὶ ἠδὲ θόρυβοι διπλοῦν; πᾷ δόντων ἅπαντα; ὦ ποτε ἐν τῷ Σιπύλῳ πόλις, ὦ καπὶ τῆς λίμνης δυνάμει λόγος· ὦ Σμύρνα, ὡς πορρωθεν σοι τὸ παροίμιον ἦδετο, οἵας ἐκλιπρονόμησας τύχης, ὡς ἥκιστα σαυτῇ παρεσκεύασας. Νυμῦ ἔδει μὲν πάντως οἰωνὸς εἰς πῦρ ἐλθεῖν (παρέχει δ' ἡ πόλις ἔφθονον) πᾶσαν δὲ τὴν ἤπειρον δοκιμάσθαι· πάντως αὐτῆς ὁ βόσπορος οἴχεται· νυμῦ ποταμὸς δάκρυσι ῥυῆναι, νυμῦ ὀλκάδας ἐκπλεῦσαι μέλασι τοῖς ἱστίοις· ὦ Μέλης δὲ ἐρήμης ῥέων, ὦ τῆς παρόντος ἀντίφθογγα· ὦ κύκνων φδὴ ἠδὲ ἀηδόνων χορὸς ἐνθρηνεῖν. ἦπα καὶ Γοργόνες εἰ πεφήσαν, ἢ κἀν τῷ Μέδουσαν, ἢδὲ τὸν αὐτῆς ὀφθαλμόν, ἀλλὰ πὸν τῆς Λητίας ἐπεύθησαν. Ποῖον Βόσπορον, ἢ ποίους καπρίπους, ἢ τίνα Ταρτησσὸν τὸ σὸν ὦ δαιμονία λλέος κἀπλήθε; ποῖα Μασσαλία τὸ πεύθος πῦτο δειδίσεται; ἢ τίνι Βορυσθενεῖ; τίς Ἑλλήνων ἔπως ἔξω τῆς Ἑλλάδος; τίς Βαρβάρων ἔπως ἀδάμαστος ἢ ἀνάλωτος τοῖς τῆς Σμύρνης βέλεσι καὶ φίλτροις; ὅς τις κἀκ ἀποῆ ἠδὲ ἤρα, ἀποῆ δὲ ἀνιάσεται. Ἡλιάδες μὲν δὴ λέγεται πευθάδας τὸν ἀδελφὸν, πελυτώσας αἰγείρων ἀλλάξασθαι φύσιν, καὶ τὸ δάκρυον αὐτῶν εἰς ἤλεκτρον παγῆναι. σὺ δὲ, ὦ χαμισσάδες πόλεως, αὐτοῖς ὥρα τοῖς δενδρέοις θρηνεῖν.

ΓΟΡΓΙΟΥ ΛΕΟΝΤΙΝΟΥ

Ἑλένης Ἐγκώμιον.

Κόσμος πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος, ψυχῇ δὲ σοφία, πράγματι δὲ ἀρετὴ, λόγῳ δὲ ἀλήθεια. τὰ δ' ἐναντία τούτων, ἀκοσμία. Ἄνδρα δὲ, καὶ γυναῖκα, καὶ λόγον, καὶ ἔργον, καὶ πόλιν, καὶ πρᾶγμα χρὴ τὸ μὲν ἄξιον ἐπαίνων τιμᾶν· τῷ δὲ ἀναξίῳ, μῶμον ἐπιτιθέναι, ἴση γὰρ ἁμαρτία, καὶ ἀμαθία, μέμφεσθαί τε τὰ ἐπαινετὰ, καὶ ἐπαινεῖν τὰ μωμητά. τοῦ δ' αὐτοῦ ἀνδρὸς λέξαι τε τὸ δέον ὀρθῶς, καὶ ἐλέγξαι τοὺς μεμφομένους Ἑλένην γυναῖκα. περὶ ἧς ὁμέψηφος καὶ ὁμόφωνος, ἥτε τῶν ποιητῶν ἀκουσάντων πίστις, ἥτε τοῦ ὀνόματος φήμη, τῶν συμφορῶν μνήμη γέγονεν. Ἐγὼ δὲ βούλομαι λογισμόν τινα τῷ λόγῳ δοὺς, τοὺς μὲν κατὼς ἀκούσασαν, παῦσαι τῆς αἰτίας, τοὺς δὲ μεμφομένους ψευδομένους ἐπιδεῖξαι, καὶ δεῖξαι τἀληθὲς, καὶ παῦσαι τῆς ἀμαθίας. Ὅτι μὲν οὖν φύσει καὶ γένει τὰ πρῶτα τῶν πρώτων ἀνδρῶν, καὶ γυναικῶν ἡ γυνὴ, περὶ ἧς ὁ λόγος, οὐκ ἄδηλον οὐδ' ὀλίγοις. δῆλον γὰρ ὡς μητρὸς μὲν, Λήδας, πατρὸς δὲ τοῦ μὲν γενομένου Θεοῦ, τοῦ δὲ γενομένου θνητῶν, Τυνδάρεω, καὶ Διός. ὧν ὁ μὲν διὰ τὸ εἶναι ἔδοξεν, ὁ δὲ διὰ τὸ φῦσαι ἠλέγχθη. Καὶ ἦν ὁ μὲν ἀνδρῶν κράτιστος, ὁ δὲ πάντων τύραννος. Ἐκ τοιούτων δὲ γενομένη ἔσχε τὸ ἰσόθεον κάλλος. ὃ λαβοῦσα, καὶ οὐ λαθοῦσα ἔσχε. πλείστας δὲ πλείστοις ἐπιθυμίας ἔρωτος ἐνειργάσατο· ἐνὶ δὲ σώματι πολλὰ σώματα συνήγαγεν ἀνδρῶν ἐπὶ μεγάλοις μεγάλα φρονούντων. ὧν οἱ μὲν πλούτου μεγέθη, οἱ δὲ εὐγενείας παλαιᾶς εὐδοξίαν, οἱ δὲ ἀλκῆς οἰκείας εὐεξίαν,

οἱ

οἱ δὲ σοφίας ἐπικτήτου δύναμιν ἔσχον. καὶ ἧκον ἅπαντες ὑπ' ἔρωτος φιλονείκου, φιλοτιμίας τε ἀνικήτου. Ὅς τις μὲν οὖν, καὶ διότι, καὶ ὅπως ἀπέπλησε τὸν ἔρωτα ὁ τὴν Ἑλένην λαβὼν, οὐ λέξω. τὸ γὰρ τοῖς εἰδόσιν ἃ ἴσασι λέγειν, πίστιν μὲν ἔχει, τέρψιν δὲ οὐ φέρει. τὸν χρόνον δὲ τῷ λόγῳ τὸν τότε νῦν ὑπερβὰς, ἐπὶ τὴν ἀρχὴν τοῦ μέλλοντος λόγου προβήσομαι, καὶ προθήσομαι τὰς αἰτίας, δι' ἃς εἰκὸς ἦν γενέσθαι τὸν τῆς Ἑλένης εἰς Τροίαν στόλον. Ἢ γὰρ τύχης βουλήματι, καὶ Θεῶν κελεύσματι, καὶ ἀνάγκης ψηφίσματι ἔπραξεν, ἃ ἔπραξεν, ἢ βίᾳ ἁρπασθεῖσα, ἢ λόγοις πεισθεῖσα, ἢ ἔρωτι ἁλοῦσα. Εἰ μὲν οὖν διὰ τὸ πρῶτον, ἄξιος αἰτιᾶσθαι ὁ αἰτιώμενος. Θεοῦ γὰρ προθυμίαν ἀνθρωπίνῃ προμηθείᾳ ἀδύνατον κωλύειν. πέφυκε γὰρ οὐ τὸ κρεῖσσον ὑπὸ τοῦ ἥσσονος κωλύεσθαι, ἀλλὰ τὸ ἧσσον ὑπὸ τοῦ κρείττονος ἄρχεσθαί τε, καὶ ἄγεσθαι. τὸ μὲν γὰρ κρεῖσσον ἡγεῖσθαι, τὸ δὲ ἧττον ἕπεσθαι. Θεὸς δ' ἀνθρώπου κρείσσων καὶ βίᾳ καὶ σοφίᾳ, καὶ τοῖς ἄλλοις. ἢ οὖν τῇ τύχῃ καὶ τῷ Θεῷ τὴν αἰτίαν ἀναθετέον, ἢ τὴν Ἑλένην τῆς δυσκλείας ἀπολυτέον. Εἰ δὲ βίᾳ ἡρπάσθη, καὶ ἀνόμως ἐβιάσθη, καὶ ἀδίκως ὑβρίσθη, δῆλον, ὅτι ὁ ἁρπάσας, ἢ ὑβρίσας ἠδίκησεν, ἡ δὲ ἁρπασθεῖσα, ἢ ὑβρισθεῖσα ἐδυστύχησεν. καὶ ἄξιος ὁ μὲν ἐπιχειρήσας βάρβαρος βάρβαρον ἐπιχείρημα καὶ νόμῳ, καὶ λόγῳ, καὶ ἔργῳ. νόμῳ μὲν, ἀτιμίας, λόγῳ δ' αἰτίας, ἔργῳ δὲ ζημίας τυχεῖν. ἡ δὲ βιασθεῖσα, καὶ τῆς πατρίδος στερηθεῖσα, καὶ τῶν φίλων ὀρφανισθεῖσα, πῶς οὐκ ἂν εἰκότως ἐλεηθείη μᾶλλον, ἢ κακολογηθείη; ὁ μὲν γὰρ ἔδρασε δεινὰ, ἡ δὲ πέπονθε. δίκαιον οὖν τὴν μὲν οἰκτεῖραι, τὸν δὲ μισῆσαι. Εἰ δὲ λόγος ἦν ὁ πείσας, καὶ τὴν ψυχὴν ἀπατήσας, οὐδὲ πρὸς τοῦτο χαλεπὸν ἀπολογήσασθαι, καὶ τὴν αἰτίαν ἀπολύσασθαι ὧδε. λόγος, δυνάστης μέγας ἐστὶν. ὃς μικροτάτῳ σώματι καὶ ἀφανεστάτῳ, θειότατα ἔργα ἀποτελεῖ.

δύναται γὰρ καὶ φόβον παῦσαι, καὶ λύπην ἀφελεῖν, καὶ χαρὰν ἐνεργάσασθαι, καὶ ἔλεον ἐπαυξῆσαι. ταῦτα δὲ, ὡς οὕτως ἔχει, δείξω, δεῖ δὲ καὶ δόξῃ δεῖξαι τοῖς ἀκούουσι. Ἐπὶ ποίησιν ἅπασαν καὶ νομίζω καὶ ὀνομάζω λόγον, ἢ λόγον ἔχουσαν ἡμέτερον, ἧς τοὺς ἀκούοντας εἰσῆλθε καὶ φρίκη περίφοβος, καὶ ἔλεος πολύδακρυς, καὶ φιλοπενθής. ἐπ' ἀλλοτρίων τε πραγμάτων καὶ σωμάτων εὐτυχίας καὶ δυστραγίας, ἴδιόν τι πάθημα διὰ τῶν λόγων ἔπαθεν ἡ ψυχή. Φέρε δὴ πρὸς ἄλλον ἀπ' ἄλλου μεταστῶ λόγον. αἱ γὰρ ἐνθεοὶ διὰ λόγων ἡδοναὶ, ἀπαγωγοὶ μὲν ἡδονῆς, ἀπαγωγοὶ δὲ λύπης γίνονται. συγγινομένη γὰρ τῇ δόξῃ τῆς ψυχῆς ἡ δύναμις τῆς ἐπῳδῆς ἔθελξε, καὶ ἔπεισε, καὶ μετέστησε γοητείᾳ. γοητείας δὲ, καὶ μαγείας δισσαὶ τέχναι εὕρηνται, αἵ εἰσι ψυχῆς ἁμαρτήματα, καὶ δόξης ἀπατήματα. ὅσοι δὲ ὅσους περὶ ὅσων, καὶ ἔπεισαν καὶ πείθουσι, ψευδῆ λόγον πλάσαντες; εἰ μὲν γὰρ πάντες περὶ πάντων εἶχον τῶν παροιχομένων μνήμην, τῶν τε παρόντων, τῶν τε μελλόντων πρόνοιαν, οὐκ ἂν ὁμοίως ὅμοιος ὢν ὁ λόγος καὶ τανῦν γε, οὔτε μνησθῆναι τὸ παροιχόμενον, οὔτε σκέψασθαι τὸ παρὸν, οὔτε μαντεύσασθαι τὸ μέλλον, εὐπόρως εἶχεν· ὥστε περὶ τῶν πλείστων οἱ πλεῖστοι τὴν δόξαν σύμβολον τῇ ψυχῇ παρέχονται. ἡ δὲ δόξα σφαλερὰ καὶ ἀβέβαιος οὖσα, σφαλεραῖς, καὶ ἀβεβαίοις ἀτυχίαις περιβάλλει τοὺς αὐτῇ χρωμένους. Τίς οὖν αἰτία κωλύει καὶ τὴν Ἑλένην ὁμοίως νέαν οὖσαν, ὡς περὶ βιατήριον βίᾳ ἁρπασθῆναι; τῇ γὰρ πειθοῖ ὁ νοῦς παρεσύρη. Καί τοι εἰ ἀνάγκη, ὄνειδος ἕξει μὲν οὔ, τὴν δὲ δύναμιν τὴν αὐτὴν ἔχει. λόγος γὰρ τὴν ψυχὴν ὁ πείσας ἦν, ἔπεισεν, ἠνάγκασε καὶ πείθεσθαι τοῖς λεγομένοις, καὶ συναινέσαι τοῖς ποιουμένοις. ὁ μὲν οὖν πείσας, ὡς ἀναγκάσας ἀδικεῖ, ἡ δὲ πεισθεῖσα ὡς ἀναγκασθεῖσα λόγῳ, μάτην ἀκούει κακῶς. Ὅτι δ' ἡ πειθὼ προσιοῦσα τῷ λόγῳ, τὴν

ψυ-

ψυχὴν ἐτυπώσατο ὅπως ἐβούλετο, χρὴ μαθεῖν πρῶτον μὲν τοὺς τῶν μετεωρολόγων λόγους. οἵ τινες δόξαν ἀντὶ δόξης, τὴν μὲν ἀφελόμενοι, τὴν δὲ ἐργασάμενοι, τὰ ἄδηλα, καὶ ἄπειστα φαίνεσθαι τοῖς τῆς δόξης ὄμμασιν ἐποίησαν. δεύτερον δὲ τοὺς ἀγοραίους διὰ λόγων ἀγῶνας, ἐν οἷς εἷς λόγος πολὺν ὄχλον ἔθρεψε, καὶ ἔπεισε, τέχνῃ γραφεὶς, οὐκ ἀληθείᾳ λεχθείς. τρίτον φιλοσόφων λόγων ἁμίλλας, ἐν αἷς δείκνυται καὶ γνώμης τάχος ὡς εὐμετάβολον ποιοῦν τὴν τῆς δόξης πίστιν. Τὸν αὐτὸν δὲ λόγον ἔχει ἥτε τοῦ λόγου δύναμις πρὸς τὴν τῆς ψυχῆς τάξιν, ἥτε τῶν φαρμάκων τάξις πρὸς τὴν τῶν σωμάτων φύσιν. ὥσπερ γὰρ τῶν φαρμάκων ἄλλα ἀλλαχοῦ ἐκ τοῦ σώματος ἐξάγει, καὶ τὰ μὲν νόσου, τὰ δὲ βίου παύει· οὕτω καὶ τῶν λόγων οἱ μὲν ἐλύπησαν, οἱ δὲ ἔτερψαν, οἱ δὲ ἐφόβησαν, οἱ δὲ εἰς θάρσος κατέστησαν τοὺς ἀκούοντας, οἱ δὲ πειθοῖ τινι κακῇ τὴν ψυχὴν ἐφαρμάκευσαν, καὶ ἐξεγοήτευσαν. καὶ ὅτι μὲν εἰ λόγῳ ἐπείσθη, οὐκ ἠδίκησεν, ἀλλ' ἠτύχησεν, εἴρηται. Τὴν δὲ τετάρτην αἰτίαν, τῷ τετάρτῳ λόγῳ διέξειμι. εἰ γὰρ ἔρως ἦν ὁ ταῦτα πράξας, οὐ χαλεπῶς διαφεύξεται τὴν τῆς λεγομένης γεγονέναι ἁμαρτίας αἰτίαν. καὶ γὰρ ὁρῶμεν οὐχ ἣν ἡμεῖς θέλομεν, ἀλλ' ἣν ἕκαστος ἔτυχε. διὰ δὲ τῆς ὄψεως ἡ ψυχὴ καινοῖς τρόποις τυποῦται. αὐτίκα γὰρ, ὅταν πολέμια σώματα, καὶ πολέμιον ὁπλίσῃς κόσμον χαλκοῦ, καὶ σιδήρου, τοῦ μὲν ἀλεξιτήριον, τοῦ δὲ προβλήματα, εἰ θεάσεται ἡ ὄψις, ἐταράχθη, καὶ ἐτάραξε τὴν ψυχὴν, ὥς τε πολλάκις κινδύνου μέλλοντος οὐδέπω ὄντος, φεύγουσιν ἐκπλαγέντες. ἰσχυρῶς γὰρ ἡ ἀλήθεια τοῦ νόμου διὰ τὸν φόβον εἰσῳκίσθη τὸν ἀπὸ τῆς ὄψεως, ἥτις ἐλθοῦσα ἐποίησεν ἀσμενίσαι, καὶ τοῦ καλοῦ τοῦ διὰ τὸν νόμον κρινομένου, καὶ τοῦ ἀγαθοῦ τοῦ διὰ τὴν δίκην γιγνομένου. Ἤδη δέ τινες ἰδόντες φοβερὰ, καὶ τοῦ παρόντος ἐν τῷ παρόντι φρονήματος ἐξέστησαν. οὕτως ἀπέσβεσε καὶ ἐξήλασεν ὁ φόβος

τὸ νόημα. πολλοὶ δὲ ματαίας νόσους, καὶ δεινοῖς πόνοις ἐξευρίσκουσι μανίας ἀφελέσθαι. ἅπας εἰκόνας τῷ ὁρωμένων παραγμάτων ἡ ὄψις ἀνέφηλεν ἐν τῷ φρονήματι. καὶ τὰ μὲν δεινότατα πολλὰ μὲν ἀφαλείπται, ὅμοια δ' ὄζει τὰ ἀφανισθέντα, οἷά περ τὰ λειπόμενα. ἀλλὰ μὲν οἱ ζωγράφοι, ἔτταν ἐκ πολλῶν χρωμάτων, καὶ σωμάτων ἓν σῶμα, καὶ χρῶμα τελείως ἀπεργάσωνται, πρέπουσι τὴν ὄψιν. ἡ δὲ τῶν ἀνδριάντων ποίησις, καὶ ἡ τῶν ἀγαλμάτων ἐργασία, ὅσον ἡδέως παρέχετο τοῖς ὁρῶσιν ὄψιν· ἔτω τὰ μὲν λυπεῖν, τὰ δὲ τερπνὰ πέφυκεν ὁρᾶν. πολλὰ δὲ πολλοῖς πολλῶν ἔρωτες, καὶ πόθον ἐνεργάζεται τῷ παραγμάτων. Εἰ ἓν τῷ τῶ Ἀλεξάνδρω σώματι, τὸ τῆς Ἑλένης ὁρᾶν κάλλος παρεθυμίαν καὶ ἄμιλλαν ἔρωτος τῇ ψυχῇ παρέδωκε, τί θαυμαστόν; ὃς ἐν μιᾷ Θεὸς Θεῶν θέαν δύναμιν κρατεῖ, πῶς ἂν ὁ πᾶσαν ἐπὶ πᾶσιν ἀπώσασθαι, καὶ ἀμύνασθαι δύναιτο; ἃ δ' ἐστὶν ἀνθρώπων νόσημα, καὶ ψυχῆς ἀγώνισμα, οὐχ ὡς ἁμάρτημα μεμπτέον, ἀλλ' ὡς ἀνίκητον κρατητέον. ἦλθε δὲ, ἦλθε ψυχῆς ἀγαθίμασιν, ἀγαθίμοις βουλήμασι, καὶ ἔρωτος ἀνάγκαις, ἃ τύχης ἄδηλα πάθεσιν. Πῶς ἂν οὖν δίκαιον ἡγήσασθαι τὸν τῆς Ἑλένης μοιχὸν; ὅτις εἴτ' ἐρασθεῖσα, εἴτε λόγῳ πεισθεῖσα, εἴτε βίᾳ ἁρπασθεῖσα, εἴτε θεᾶς ἀνάγκῃ ἀνάγκασθεῖσα ἐπράξε, πάντως ἀφαιρεῖται τὴν αἰτίαν. Λοιδορεῖν τῷ λόγῳ δύσκλειαν γυναικός. ἐνέμεινα τῷ νόμῳ, ἂν ἐθέμην ἐπ' ἀρχῇ τῷ λόγῳ. ἐπειράθην παῦσαι μοῖραν ἀδικίαν καὶ δόξης ἁμάρτημα. ἐβουλήθην γράψαι τὸν λόγον, Ἑλένης μὲν ἐγκώμιον, ἐμὸν δὲ παίγνιον.

ΕΚ-

ΕΚ ΤΩΝ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ

ΔΗΜΗΓΟΡΙΑ

Κερκυραίων, μέτων παρ' Αθηναίων βοήθειαν παρὰ Κορινθίους.

Δεῖται, ὦ Ἀθηναῖοι, καὶ μέτε ἀργείας μεγάλης, μήτε ξυμμαχίας παρασφαλουμένης ἴσοντας ἀφ' ὧν τὰς πόλεις ὠφελείας (ὥσπερ καὶ ἡμεῖς νῦν) δεησομένας, ἀναδιδάξαι πρῶτον, μάλιστα μέν, εἰς καὶ ξύμφορα δόξαντες, εἰ δὲ μή, ὅτι γε οὐκ ἀπεικότα. ἔπειτα δὲ, ὡς καὶ τοῖς χρεὼν βέβαιον ἔξουσιν. εἰ δὲ πάντων μηδὲν σαφὲς κατανοήσουσι, μὴ ὀργίζεσθαι, ἢν ἀτυχῶσι. Κερκυραῖοι δὲ περὶ τῆς ξυμμαχίας τῆς αἰτήσεως, καὶ ταῦτα πιστεύοντες ὀκνηρὰ ὑμῖν παρέξεσθαι, ἀπέστειλαν ἡμᾶς. ἐτύχομεν δὲ τὸ αὐτὸ δὴ τοῦτο καὶ πρός τε ὑμᾶς ἐς τοῖς χρεὼν ἡμῖν ἄλογον, καὶ ἐς τὰ ἡμέτερα αὐτοῖς, ἐν τῷ παρόντι ἀξύμφορον. ξύμμαχοί τε γὰρ ἐσμὸς ἂν ἐν τῷ πρὸ τοῦ χρόνῳ ἑκάστοις ξυμμένοι, νῦν ἄλλων τῶν δεησομένων ἥκομεν. καὶ ἅμα ἐς τὸν παρόντα πόλεμον Κορινθίων ἔρημοι διὰ ταῦτα κατέστημεν. καὶ ἐφύλασσεν ἢ δόκησα ἡμῶν πρότερον σωφροσύνη, τὸ μὴ ἐν ἄλλοτε ξυμμαχίᾳ τῇ τῶν πέλας γνώμῃ ξυγκινδυνεύειν, νῦν ἀβουλία καὶ ἀσθένεια φανερύμενη. τοῖς μὲν ἐν ξυμμαχίαν, αὐτοὶ καταμόνας ἀπεστέλλεσθε Κορίνθιοι· ἔπειδὴ δὲ μείζονι παρασκευῇ ἐπὶ Πελοποννήσου, καὶ τῆς ἀλ-

λης

λης Ἑλλάδος ὑφ' ἡμᾶς ὥρμηται, καὶ ἡμεῖς ἀδυνατοι ὁρᾶτε ὄντες τῇ οἰκείᾳ μόναν δυνάμει ἀφελῆσθαι, καὶ ἅμα μέγας ὁ κίνδυνος, εἰ ἐσόμεθα ὑπ' αὐτοὺς, ὡς ἄγκη καὶ ὑμῶν, καὶ ἄλλα πάντα ἐπικουρίας δεῖσθαι. καὶ ξυγγιγνώμη, εἰ μὴ μετὰ κακίας, δόξης δὲ μᾶλλον ἁμαρτίᾳ, τῇ τοιάδε παραγγελούσῃ ἐκποτία τολμῶμεν. ἔξεστιν δὲ ὑμῖν πεδομένοις καλὴ ἡ ξυντυχία καὶ πολλὰ τῆς ἡμετέρας κρείσσων εἶναι, ὅτι ἀδικουμένοις, καὶ οὐκ ἑτέρως βλάπτουσι, τῷ ἐπικινδύνῳ πολεμήσεσθε. ἔπειτα, περὶ τοῦ μεγίστου κινδύνου δοξάσαντες, ὡς ἂν μάλιστα μετ' ἀσφαλείας μαρτυρίᾳ τῷ κρείσσονι καταστήσεσθε. ναυτικόν τε παρέχεσθαι, πλεῖ τῇ πεζῷ, πλεῖστον. καὶ σκέψασθε τίς ἀφαιρεῖται ἀσφαλέστερα, ἢ τίς τοῖς πολεμίοις λυπηροτέρα, εἰ ἐν ὑμεῖς αὐτοὶ τοῦ πολλῶν χρημάτων καὶ κτήσεως ἐπιμήσασθε δυνάμει ὑμῖν περιγενέσθαι, ἄνευ πάσης αὐτοκράτορος αὐθ' κινδύνου καὶ δαπάνης ἰδιώτου ἑαυτῷ, καὶ προσέτι φέρουσα, ἐς ἐμὲ τῆς πολλῆς, ἀρετῇ, οἷς δὲ ἐπαμυνεῖτε, χρέων, ὑμῖν δ' ἀφοῖς, ἐχυρὰ, ἃ ἐν τῷ παντὶ χρόνῳ ὀλίγοις δὴ ἅμα πᾶσι ξυμβῆναι. καὶ ὀλίγοι ξυμμαχίας δεόμενοι, οἷς βεβαλῶν καὶ, ἀσφάλειαν καὶ κόσμον μὴ ἧσσον διδόντες, ἢ λαμβάνοντες. τὸν δὲ πόλεμον δι' ὃν περ χρήσιμοι ὦ εἰμὶ, εἴτις ὑμῶν μὴ οἴεται ἔσεσθαι, γνώμης ἁμαρτάνει, καὶ οὐκ ἀπεσταλκεν τῆς Λακεδαιμονίων φόβῳ τῷ ὑμετέρῳ πολεμησείοντας, καὶ τοὺς Κορινθίους δυναμένους παρ' αὐτοῖς, καὶ ὑμῖν ἐχθροὺς ὄντας, καὶ προκαταλαμβάνοντες ὑμᾶς νῦν ἐς τὸν ὑμέτερον ἐπιχείρησιν, ἵνα μὴ τῇ κοινῇ ἔχθρᾳ κατ' αὐτῶν μετ' ἀλλήλων σῶμεν, μηδὲ δυοῖν φθάσαι ἁμάρτωσιν, ἢ κακῶσαι ἡμᾶς, ἢ σφᾶς αὐτοὺς βεβαιώσασθαι. ὑμέτερον δέ γ' ἔν ἔργον προστίθησι, τῷ μὲν, διδόντων, ὑμῶν δὲ δεξαμένων τὸν ξυμμαχίαν, καὶ προσβαλέσθαι αὐτοῖς βέλτιον, ἢ ἀντεπιβαλέσθαι. ὧν δὲ λέγουσι, εἰς ἃ δίκαιον

ἐστὶ

τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν, ὡς πᾶσα ἀποικία εὖ μὲν πάσχουσα, τιμᾷ τὴν μητρόπολιν· ἀδικουμένη δὲ, ἀλλοτριοῦται. οὐ γὰρ ἐπὶ τῷ δοῦλοι, ἀλλ' ἐπὶ τῷ ὅμοιοι τοῖς λειπομένοις εἶναι ἐκπέμπονται. ὡς δὲ ἠδίκουν, σαφές ἐστι. προκληθέντες γὰρ περὶ Ἐπιδάμνου ἐς κρίσιν, πολέμῳ μᾶλλον, ἢ τῷ ἴσῳ, ἠβουλήθησαν τὰ ἐγκλήματα μετελθεῖν. καὶ ὑμῖν ἔστω τι τεκμήριον ἃ πρὸς ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσιν, ὥστε ἀπάτῃ τε μὴ παράγεσθαι ὑπ' αὐτῶν, δεομένοις τε ἐκ τοῦ εὐθέος μὴ ὑπουργεῖν. Ὁ γὰρ ἐλαχίστας τὰς μεταμελείας ἐκ τοῦ χαρίζεσθαι τοῖς ἐναντίοις λαμβάνων, ἀσφαλέστατος ἂν διατελοίη. λύσετε δὲ οὐδὲ τὰς Λακεδαιμονίων σπονδὰς δεχόμενοι ἡμᾶς, μηδετέρων ὄντας ξυμμάχους. εἴρηται γὰρ ἐν αὐταῖς, τῶν Ἑλληνίδων πόλεων ἥτις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι παρ' ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν. καὶ δεινὸν, εἰ τοῖσδε μὲν ἀπό τε τῶν ἐνσπόνδων ἔσται πληροῦν τὰς ναῦς, καὶ προσέτι καὶ ἐκ τῆς ἄλλης Ἑλλάδος, καὶ οὐχ ἥκιστα ἀπὸ τῶν ὑμετέρων ὑπηκόων, ἡμᾶς δὲ, ἀπὸ τῆς προκειμένης τε ξυμμαχίας εἴρξουσι, καὶ ἀπὸ τῆς ἄλλοθέν ποθεν ὠφελείας, εἶτα ἐν ἀδικήματι θήσονται, πεισθέντων ὑμῶν ἃ δεόμεθα. πολὺ δὲ ἐν πλείονι αἰτίᾳ ἡμεῖς μὴ πείσαντες ὑμᾶς, ἕξομεν. ἡμᾶς μὲν γὰρ κινδυνεύοντας, καὶ οὐκ ἐχθροὺς ὄντας, ἀπώσεσθε· τῶν δὲ οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων, καὶ ἐπιόντων γενήσεσθε, ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας ἀρχῆς δύναμιν προσλαβεῖν περιόψεσθε, ἣν οὐ δίκαιον, ἀλλ' ἢ κἀκείνων κωλύειν τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους, ἢ καὶ ἡμῖν πέμπειν καθ' ὅτι ἂν πεισθῆτε ὠφέλειαν, μάλιστα δὲ ἀπὸ τοῦ προφανοῦς δεξαμένους, βοηθεῖν. Πολλὰ δὲ, ὥσπερ ἐν ἀρχῇ ὑπείπομεν, τὰ ξυμφέροντα ἀποδείκνυμεν. καὶ μέγιστον, ὅτι οἵ τε αὐτοὶ πολέμιοι ἡμῖν ἦσαν (ὅπερ σαφεστάτη πίστις) καὶ οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας βλάψαι, καὶ ναυτικῆς καὶ οὐκ

ἠπει-

πειρώτιδος τῆς ξυμμαχίας διδομένης, ἐχ ὁμοία ἡ ἀλλοτρίωσις, ἀλλὰ μάλιστα μὲν εἰ δυνάσθε, μηδενὶ ἄλλον ἐᾶν κεκτῆσθαι ναῦς. εἰ δὲ μή, ὅστις ὀχυρώτατος, τοῦτον φίλον ἔχειν. καὶ ὅπως τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖται δὲ μὴ δι' αὐτὰ πεισθόμενος, τὰς σπονδὰς λύσῃ, γνώτω τὸ μὲν δεδιὸς αὐτῶ ἰσχὺν ἔχον, τὰς ἐναντίας μᾶλλον φοβῆσον· τὸ δὲ θάρσος μὴ δεξαμένοις, αὐθαιρέτους ὄντας τοὺς ἐχθροὺς, ἀδεέστερον ἐπιέναι. καὶ ἅμα καὶ περὶ τῆς Κερκύρας καὶ τοῦτο πλέον, ἢ καὶ τῶν Ἀθηναίων βουλόμενος· καὶ ἃ πρὸ τοῦ ἐποιήσατε αὐτοῖς φαύλως, ὅταν ἐς τὸν μέλοντα, καὶ ὅσον οὔπω παρόντα πόλεμον, ταῦτα πεποιηκότων, ἐνδοιάζῃ χρεὼν φαύλων λαβεῖν, ὃ μὴ μεγίστων κακῶν ἀπηλλάγητε, καὶ πολεμεῖται. τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας καλῶς ἔχοντα κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν ἐᾶσαι Πελοποννησίοις ἐπελθεῖν, τό, τε ἐνθένδε πρὸς ταῦτα ὠφελῆσαι, καὶ ἐς πόλλα ξυμφοράσασθαι ἔξει. ῥᾳθυμίᾳ δ' ὧν κεφαλαίῳ τοῖς τε ξύμπασι, καὶ καθ' ἕκαστον τῷ δ' ἂν μὴ παρέχειν ἡμᾶς μάθοιτε. τοῖς μὲν ὄντως λόγῳ ἀξιοῦσι Ἕλλησιν ταυτὶ, τὸ παρ' ἡμῖν, καὶ τὸ ἡμέτερον, καὶ τὸ Κορινθίων, πάντων δ' οἱ ὠφελήσετε, τὸ δίκαιον ἐς τὸ αὐτὸ ἐλθεῖν, καὶ Κορίνθιοι ἡμᾶς προσαπολήψονται, Κερκυραίους τε καὶ Πελοποννησίους ἅμα ναυμαχήσετε. δέξασθαι δὲ ἡμᾶς, ἔξεστε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ἡμετέραις ἀγωνίζεσθαι. Τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι μετ' αὐτοὺς τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΟΡΙΝΘΙΩΝ.

Ἀναγκαῖον, Κερκυραίων τῶν δὲ οὐ μόνον περὶ τοῦ δέξασθαι σφᾶς, τὸν λόγον ποιησαμένων, ἀλλ' ὡς καὶ ἡμεῖς τε ἀδικοῦμεν, καὶ αὐτοὶ οὐκ εἰκότως πολεμοῦνται, μνησθέντας πρῶτον καὶ ἡμᾶς περὶ ἀμφοτέρων, οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι, ἵνα τὴν ἀφ' ἡμῶν τε ἀξίωσιν ἀσφαλέστερον προειδῆτε, καὶ τὴν τῶν δὲ χρείαν μὴ ἀλογίστως ἀπώσησθε. φασὶ δὲ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι· τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν, ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τὰ δικήματα, οὐδὲ μάρτυρα ἔχειν, οὔτε παρακαλοῦντες αἰσχύνεσθαι. καὶ ἡ πόλις αὐτῶν, ἅμα αὐτάρκη θέσιν κειμένη, παρέχει αὐτοὺς δικαστὰς, ὧν βλάπτουσί τινας μᾶλλον, ἢ καὶ ξυνθήκας γίγνεσθαι, διὰ τὸ ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέοντας, μάλιστα τοὺς ἄλλους ἀνάγκῃ καταίροντας δέχεσθαι. κἂν τούτῳ τὸ εὐπρεπὲς ἄστονδον, οὐχ ἵνα μὴ ξυναδικῶσιν ἑτέροις προβέβληνται, ἀλλ' ὅπως καταμόνας ἀδικῶσι, καὶ ὅπως ἐν ᾧ μὲν ἂν κρατῶσι, βιάζωνται. οὗ δ' ἂν λάθωσι, πλέον ἔχωσιν. ἢν δέ πουτι προσλάβωσιν, ἀναισχυντῶσι. καί τοι εἰ ἦσαν ἄνδρες, ὥς πέρφασιν, ἀγαθοὶ, ὅσῳ ἀληπτότεροι ἦσαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν διδοῦσι, καὶ δεχομένοις τὰ δίκαια, δεικνύναι. ἀλλ' οὔτε πρὸς τοὺς ἄλλους, οὔτε ἐς ἡμᾶς τοιοῖδέ εἰσιν. ἄποικοι δ' ὄντες, ἀφεστᾶσί τε διαπαντὸς, καὶ νῦν πολεμοῦσι, λέγοντες, ὡς οὐκ ἐπὶ τῷ κακῶς πάσχειν ἐκπεμφθείησαν. ἡμεῖς δὲ οὐδ' αὐτοὶ φαμὲν ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ ἡγεμόνες τε εἶναι, καὶ τὰ εἰκότα θαυμάζεσθαι. αἱ γοῦν ἄλλαι ἀποικίαι, τιμῶσιν ἡμᾶς. καὶ μάλιστα ὑπὸ ἀποίκων στεργόμεθα. καὶ δῆλον ὅτι εἰ τοῖς πλείοσιν ἀρέσκοντες

ἐσ-

ἐυμῷ, τοῖς δ' αὖ μόνοις ἂν ὀρθῶς ἀπαρέσκοιμι. καὶ δ' ἂν παρρησιάζοιμι διαφερόντως, μὴ καὶ διαφθείρωμι τὸ ἀδικεῖσθαι. καλὸν δ' ἴσως ἐστὶ καὶ ἡμαρτανόμενον, τοῖς δὲ μὴ, εἶξαι τῇ ἡμετέρᾳ ὀργῇ, ἥμιστα δὲ, αἰσχρὸν βιάσασθαι τὴν τῶν πολλῶν ἀνάγκην· ὕβρει δὲ καὶ ἐξουσίᾳ πλείστῃ, πολλὰ ἐς ἡμᾶς ἄλλοι τε ἡμαρτήκασι, καὶ Ἐπίδαμνον ἡμετέραν οὖσαν, ἀκουσίως μὲν, ἐπιστείλαντες. ἐλθόντων δὲ ἡμῶν ἐπὶ τιμωρίᾳ, ἑλόντες βίᾳ, ἔχουσι· καὶ φασὶ δίκῃ πρότερον ἐθελῆσαι πείθεσθαι, ὕστερον δὲ τὸν πρῶτον καὶ ἐπὶ τῷ ἀσφαλεῖ προκαλεσάμενον λέγειν τι, δοκεῖν δεῖν πρεῖν, ἀλλὰ τὸν ἐς ἴσον τε ἔργα ὁμοίως, καὶ τὰς λόγους πρὸν διαγωνίζεσθαι πειθοῖ. ὅτου δ' ἕνεκα πρὸν πολιορκεῖν τὸ χωρίον, ἀλλ' ἐπειδὴ ἤγήσαντο ἡμᾶς ἐπιβουλεύεσθαι, τότε καὶ τὸ δίκαιον τῆς δίκης παρέχοντα· καὶ δοῦλοι ἥκουσιν, οὐ τοῦτο μόνον αὐτοὶ ἁμαρτόντες, ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντες ἐπ' ξυμμαχεῖν, ἀλλ' ἐπανορθοῦν. καὶ διαφθορᾶς ὄντος ἡμῖν, δέχεσθαι σφᾶς, ἐς χρόνῳ ὅτε ἀσφαλέσατοι ἦσαν, τότε προυτιμᾶτο· καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα, ἔστιν δ' ἐπιβουλεύσατ', μηδ' ἐν ᾧ ὑμεῖς τῆς τε δυνάμεως αὐτῶν τότε ἐπιλαβόντες, τῆς ὠφελείας νῦν μεταδώσετε· καὶ τῶν ἁμαρτημάτων δοτέον μόνοις, τῆς αὐτῶν αἰτίας τὸ ἴσον ἔχειν. πάλαι δὲ κοινώσαντας καὶ δυνάμεως, κοινὰ καὶ τὰ δοτέον ἔχειν· ἐγκλημάτων δὲ μόνων ἀμετόχους ὄντας τῆς μὴ ταὐτὰ πράξεις τούτων, μὴ κοινωνεῖν· οὓς μὲν ἂν αὐτοί τε μὴ προσποιῶνται τῆς τῶν δικαίων κεφαλαίων ἐς ὑμᾶς ἐρχόμεθα, καὶ οἵδε βίαιοι καὶ πολεμιέστατοι εἰσὶ, διδάσκουσι· οὓς δὲ ἂν αὖ δικαίως αὐτοὺς δέχησθε, μαθεῖν χρή· οὐ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς ὄφελος παρ' ὁποτέρους τις τῆς ἀμφοῖν πόλεως βέλεται ἐλθεῖν, ἐν τοῖς ὅπλ' βλάβη ἑτέρων ἴσον ἢ ξυμφορὰν ἔχειν· ἀλλ' ὅς τις μὴ ἄλλων ἑαυτὸν ἀποστερῶν, ἀσφαλείας δεῖται· καὶ ἔστις μὴ τοῖς δεξαμένοις, ἐπιφέρουσι, πόλεμον

αὖτ'

αὐτ' εἰρήνης ποιήσει. ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν, πάθοιτε ἄν. οὐ γὰρ τοῖς δὲ μόνον ὑπήκοροι ἂν γένοισθε, ἀλλὰ καὶ ἡμῖν αὐτὶ ἐνσπόνδων, πολέμιοι, ἀνάγκη γὰρ, εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους, καίτοι δίκαιοί γ' ἐστὲ, μάλιστα μὲν ἐκποδὼν στῆναι ἀμφοτέροις. εἰ δὲ μὴ, τοὐναντίον, ὅπῃ τούτους μεθ' ἡμῶν ἰέναι. (Κορινθίοις μέν γε ἔνσπονδοί ἐστε. Κερκυραίοις δὲ, οὐδὲ δι' ἀνακωχῆς πώποτ' ἐγένεσθε.) καὶ τὸν νόμον μὴ καθιστάναι, ὥστε τοὺς ἑτέρων ἀφισταμένους δέχεσθαι· οὐδὲ γὰρ ἡμεῖς, Σαμίων ἀποστάντων, ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων Πελοποννησίων δίχα ἐψηφισμένων, εἰ χρὴ αὐτοῖς ἀμύνειν. φανερῶς δὲ ἀντείπομεν, τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν· εἰ γὰρ τοὺς κακόντι δρῶντας δεχόμενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόσεισι, καὶ τὸν νόμον ἐφ' ὑμῖν αὐτοῖς μᾶλλον, ἢ ἐφ' ἡμῖν θήσετε. δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν ἱκανὰ, καὶ τοὺς Ἑλλήνων νόμους· παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε, ἣν οὐκ ἐχθροὶ ὄντες, ὥστε βλάπτειν, οὐδ' αὖ φίλοι, ὥστ' ὀπιχρῆσθαι, ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι φαμὲν χρῆναι· νεῶν γὰρ μακρῶν σπανίσαντές ποτε πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον, παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ ἡ εὐεργεσία αὕτη τε, καὶ ἡ ἐς Σαμίους, τὸ δι' ἡμᾶς Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέσχεν ὑμῖν Αἰγινητῶν μὲν ἐπικράτησιν, Σαμίων δὲ κόλασιν· καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο, οἷς μάλιστα ἄνθρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες, τῶν ἁπάντων ἀπρίοπτοί εἰσι παρὰ τὸ νικᾶν. φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἣν καὶ πρότερον ἐχθρὸς ᾖ, πολέμιόν τε τὸν ἀνθιστάντα, ἣν καὶ τύχῃ φίλος ὤν, ἐπεὶ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται, φιλονεικίας ἕνεκα τῆς αὐτίκα. ὧν ἐνθυμηθέντες, καὶ νεώτερός τις παρὰ πρεσβυτέρου αὐτὰ μαθὼν, ἀξιούτω τοῖς ὁμοίοις

ὑμᾶς

ὑμᾶς ἀμυνάσθαι. καὶ μὴ νομίσητε δίκαια εἶναι πρὸς λέγεσθαι, ξύμφορα δὲ, ἐν πολεμίοις, ἄλλα εἶναι. Τό, τε γὰρ ξύμφορον, ὧν ἂν αὖτις ἐλάχιστα ἁμαρτάνοι, μάλιστα ἕπεται· καὶ τὸ μέλλον τοῦ πολέμου (ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι, κελεύουσιν ἀδικεῖν) ἐν ἀφανεῖ ἔτι κεῖται. καὶ οὐκ ἄξιον ἐστὶ παρασκευὰς αὐτῷ, φανερὰν ἔχθραν ἤδη, καὶ ἐ μέλλουσαν πρὸς Κορινθίους κτήσασθαι. πῶς δὲ ὑπαρχόντως πρότερον δῆθ' Ἑλληνίδος φιλίας, σαφῶς ἀφελεῖν μᾶλλον. Ἢ δὲ παλαιὰ χρεὼν καιρὸν ἔχουσα, καὶ ἐλάσσων ἦ, δυνατὰ μεῖζον ἐγκλῆμα λῦσαι· καὶ οὐ ναυτικὴ ξυμμαχίαν μεγάλην δεδεμένη, πάντῃ ὠφέλιμος. Τὸ δὲ μὴ ἀδικεῖν τοὺς ὁμοίους, ἀκινδυνότερα δικαιώματα, ἢ τῷ αὐτίκα φανερῷ ὑποπτεύσαντας, δεῖ κινδυνεύειν τὸ πλέον ἔχειν. ὑμεῖς δὲ καθαπτωσάμενοι οὐ τῇ Λακεδαίμονι αὐτοὶ προσκαλεῖσθε, καὶ σφετέραν ξυμμαχίαν αὐτόν τινα πολλάζειν, καὶ παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦσθαι νομίζεσθαι· καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ ὠφελήσαντες, τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι. τὸ δ' ἴσον ἀνταποδοῦναι, γνόντες τῶν ἐκείνου εἶναι τὸν καιρὸν, ἐν ᾧ ὑ, τε ὑπάρχων, φίλος μάλιστα, καὶ ὁ πάσχων, ἐχθρός. καὶ Κερκυραίους τε μὴς δέ, μήτε ξυμμάχους δέχεσθε βίᾳ ἡμῶν, μήτε ἀμύνετε αὐτοῖς ἀδικοῦσι. καὶ τάδε ποιοῦντες, καὶ προσήκοντά τε δράσετε, καὶ τὸ ἄριστα βουλεύσεσθαι ἐν ὑμῖν αὐτοῖς. Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

ΕΚ ΤΩΝ ΤΟΥ ΞΕΝΟΦΩΝΤΟΣ;

Κύρου τῆ ἑρμῆ Δημηγορία, ὅτε ἐπίσατο τὴν τῶν Βαβυλωνίων ἀρχήν.

Ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς μεγίστη χάρις, ὅτι ἔδοσαν ἡμῖν τυχεῖν ὧν ἐνομίζομεν ἀξιοι εἶναι. νυνὶ μὲν γὰρ δὴ ἔχομεν καὶ γῆν πολλὴν καὶ ἀγαθὴν καὶ οἵτινες ταύτην ἐργαζόμενοι θρέψουσιν ἡμᾶς. ἔχομεν δὲ καὶ οἰκίας, καὶ ἐν ταύταις κατασκευάς· καὶ μηδείς γε ὑμῶν ἔχων ταῦτα, νομιζέτω ἀλλοτρία ἔχειν· νόμος γὰρ ἐν πᾶσι ἀνθρώποις αἰεί δός ἐστιν, ὅταν πολεμίντων πόλις ἁλῶ, τῶν ἁλόντων εἶναι καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει καὶ τὰ χρήματα· ἐκείνων ἀδικία γε ἔξεστι ὅ, τι ἂν ἔχοιτε, ἀλλὰ φιλανθρωπίᾳ ἂν ἀφαιρήσεσθε ἕως τι ἐᾶτε ἔχειν αὐτούς. τὸ μέντοι ἐκ τῶνδε ὅπως ἐγὼ γιγνώσκω, ὅτι εἰ μὲν ἡδόμεθα ὑπὸ ῥᾳδιουργίαις καὶ τῶν κακῶν ἀνθρώπων ἡδυπαθείαις (οἱ νομίζουσι τὸ μὲν πονεῖν ἀθλιώτατον, τὸ δὲ ἁπλῶς βιοτεύειν ἡδυπαθέως) ταχὺ ὑμᾶς φημι ὀλίγοι ἀξίους ἡμῖν αὐτοῖς ἔσεσθαι, καὶ ταχὺ πάντων τῶν ἀγαθῶν στερήσεσθαι· ὁ γὰρ τοῦ ἀγαθοῦ ἀνδρὸς φθονεῖσθαι, τοῦτο ἄρκει, ὥστε καὶ διαπολεῖν ὁντινας ἀγαθούς, ὧν μήτις αὐτῶν ἀφ' ἑτέρας ὑπερωλῆται· ἀλλὰ ὥσπερ καὶ αἱ ἄλλαι τέχναι ἀμεληθεῖσαι, μείονος ἀξίαι γίνονται, καὶ τὰ σώματα γε αὐτὰ εὖ ἔχοντα, ὁπόταν τις αὐτὰ ἀνῇ ὑπὸ ῥᾳδιουργίαν, πονήρως πάλιν ἔχει· οὕτω καὶ ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια, καὶ ἡ ἀλκή, ὁπόταν τις αὐτῶν ἀνῇ τὰς ἄσκησιν, εἰς τοὐναντίον πορείαν πάλιν τρέπεται. ἀνάγκη δεῖ μάλιστα, ὑφ' ὅτῳ τὸ αὐτίκα ἡδὺ προῖσάμε-

αὐτούς. μέγα μὲν γάρ, οἶμαι, ἔργον καὶ τὸ ἀρχὴν κατα-
τοράξαι, πολὺ δ' ἔτι μεῖζον, τὸ λαβόντα διασώσασθαι. τὸ
μὲν γὰρ λαβεῖν, πολλάκις τῷ τόλμαν μόνον παρασχομένῳ ἐ-
γένετο. τὸ δὲ λαβόντα κατέχειν, οὐκέτι τοῦτο ἄνευ σωφροσύ-
νης, οὐδ' ἄνευ ἐγκρατείας, οὐδ' ἄνευ πολλῆς ἐπιμελείας γί-
γνεται. ἃ χρὴ γιγνώσκοντας, νῦν πολὺ μᾶλλον ἀσκεῖν τὴν
ἀρετὴν ἢ πρὶν τάδε τἀγαθὰ κτήσασθαι· εὖ εἰδόντας, ὅτι ὅταν
πλεῖστά τις ἔχῃ, τότε πλεῖστοι καὶ φθονοῦσι καὶ ἐπιβουλεύουσι
καὶ πολέμιοι γίγνονται· ἄλλως τε κἂν παρ' ἀκόντων τά τε
κτήματα καὶ τὴν θεραπείαν ὥσπερ ἡμεῖς, ἔχῃ. τοὺς μὲν οὖν
Θεοὺς οἴεσθαι χρὴ σὺν ἡμῖν ἔσεσθαι. οὐ γὰρ ἐπιβουλεύσαντες
ἀδίκως ταῦτα ἔχομεν, ἀλλ' ἐπιβουλευθέντες ἐτιμωρησάμε-
θα. τὸ μέντοι μετὰ τοῦτο κράτιστον ἡμῖν αὐτοῖς παρασκευα-
στέον· τοῦτο δέ ἐστι, τὸ βελτίονας ὄντας τῶν ἀρχομένων, ἄρ-
χειν ἀξιοῦν. θάλπους μὲν οὖν καὶ ψύχους, καὶ σίτων καὶ ποτῶν,
καὶ πόνων καὶ ὕπνου ἀνάγκη καὶ τοῖς δούλοις μεταδιδόναι. μετα-
διδόντας γε μέντοι πειρᾶσθαι δεῖ ἐν τούτοις τορῶτον βελτίο-
νας αὐτῶν φαίνεσθαι. πολεμικῆς δ' ἐπιστήμης καὶ μελέτης παν-
τάπασιν οὐ μεταδοτέον τούτοις, οὕς τινας ἐργάτας τε ἡμετέρους
καὶ δασμοφόρους βουλόμεθα κτήσασθαι. ἀλλ' αὐτοὺς δεῖ τούτοις
τοῖς ἀσκήμασι πλεονεκτεῖν, γιγνώσκοντας ὅτι ἐλευθερίας
ταῦτα ὄργανα καὶ εὐδαιμονίας οἱ Θεοὶ τοῖς ἀνθρώποις ἀπέ-
δειξαν. καὶ ὥσπερ γε ἐκείνους τὰ ὅπλα ἀφῃρήμεθα, οὕτως ἡ-
μᾶς αὐτοὺς δεῖ μὴ τῶν ὅπλων πότ' ἐρήμους γίγνεσθαι. εὖ εἰ-
δότας ὅτι τοῖς ἀεὶ ἐγγυτάτω τῶν ὅπλων οὖσι, τούτοις καὶ οἰ-
κειότατά ἐστιν ἃ ἂν βούλωνται. εἰ δέ τις τοιαῦτα ἐννοεῖται,
τί δῆτα ἡμῖν ὄφελος καταπορᾶξαι ἃ ἐπεθυμοῦμεν; εἰ ἔτι
δεήσει καρτερεῖν καὶ πεινῶντας καὶ διψῶντας καὶ ἐπιμελομένους
καὶ πονοῦντας; ἐκεῖνο δεῖ καταμαθεῖν, ὅτι τοσούτῳ τἀγαθὰ
μᾶλλον εὐφραίνει, ὅσῳ ἂν μᾶλλον προπονήσας τις ἐπ' αὐ-
τὰ ἀπίοι. (οἱ γὰρ πόνοι ὄψον τοῖς ἀγαθοῖς.) ἄνευ δὲ τοῦ

δεό-

δεόμενον τυγχάνειν τινός, ἐδεῖτο ἔτω πολυτελῶς κοσμεῖσθαι
θεὶν αὖ ὡς θ' ἥδιον εἶναι. εἰ δὲ ὧν μὴ μάλιστα ἄνθρωποι
δέονται, ταῦτα συμπαρεσκεύακεν, ὡς
δεῖ θυμεῖσιν, ὁ δαίμων ἡμῖν ταῦτα συμπαρεσκεύακεν, ὡς
δ' αὖ ἥδιστα ταῦτα φαίνοιτ', αὐτός τις αὐτῷ ταῦτα κοσμή-
σειεν, ὁ πλοῦτος ὥσπερ τοσούτῳ πλουσιώτερος ἐνδιέτε-
ρων βίᾳ, ὅσῳ πλείοσιν τῶν ἡδέων σίτων τρέφεται, καὶ δι-
ψήσας τῶν ἡδίστων ποτῶν ἀπολαύσεται, καὶ δεηθεὶς ἀναπαύ-
σεως, ἥδιστα ἀναπαύσεται· ὧν ἐγὼ φημι χρῆναι νῦν
δεῖσθαι ἡμᾶς εἰς ἀνδραγαθίαν, ὅπως τῶν τε ἀγαθῶν ἡ
ἄφθονον καὶ ἥδιστον ἀπολαύσωμεν; καὶ ὅπως τὸ πάντων χα-
λεπώτατον ἄπειροι ἐσόμεθα. ἐγὼ γὰρ τὸ μὴ λαβεῖν τὰ ἀγα-
θὰ, ἅπερ καλεπὸν, ὥσπερ τὸ λαβόντα σεσῶσθαι· λυ-
πηρόν. ἐννοήσατε δὲ καὶ ἐκεῖνο, τίνα τροφὴν ἔχοντες ἂν
προσελόμεθα καὶ ἡδονὰς ἢ πρόσθεν ἐθέλομεν; πόρρω ὅτι ἀρ-
χομεν; ἀλλ' ἐν δήπου τοῖς ἄρχουσι τῶν ἀρχομένων ποιμένες
κρείττονα εἶναι; ἔπειτα τῇ δαιμονίᾳ φύσει τις μηχανὴ
δουλεύειν; ἀλλ' ὅτι ἐπεὶ κεκτήμεθα δῆλον, πῶς πολλὰ
ποιμῶ, ὦ ποιμένες οὗτοι; καὶ τί τροφὴν, αὐτὸν ὄντα πο-
λεμικὸν, πολεμίας οὖσαν ἢ βλαπτέσθαι ἄλλως κολάζειν; ἐν-
θυμεῖσθε δ' ἔτι καὶ τοῦτο, ὅτι ξένων μὲν παρεσκευάσμεθα
πολλοὺς καὶ τῶν ἡμετέρων οἴκων φύλακας καὶ τῶν σωμάτων·
αἰσχρὸν δὲ πῶς ἂν εἴη, εἰ δὴ ἄλλους μὲν δορυφόρους τῆς
σωτηρίας οἰησόμεθα χρῆναι τυγχάνειν, αὐτοὶ δὲ ἡμῖν αὐ-
τοῖς οὐ δορυφορήσομεν; καὶ μὴν οὔτε δεῖ εἰδέναι, ὅτι οὐκ ἔστιν
ἄλλη φυλακὴ τοιαύτη, οἵα αὐτόν τινα καμὸν πάγαθὸν ὑπάρ-
χειν· τοῦτο γὰρ δεῖ συμπαρομαρτεῖν. τῇ δ' ἀρετῇ ἐρήμῃ
δὲ ἄλλο καλῶς ἔχειν ἔδοξ' ἀφορᾶν· τί οὖν φημι χρῆναι
ποιεῖν, καὶ τῷ τὴν ἀρετὴν ἀσκεῖν, καὶ τῷ τὴν μελέτην
ποιεῖσθαι; ἔδοξ' καινὸν, ὦ ἄνδρες, ἐρῶ· ἀλλ' ὥς περ ἐν
Πέρσαις ὅτι τῆς ἀρχείας οἱ ὁμότιμοι δέχονται, ὅπου καὶ

ἡμᾶς φημι χρῆναι ἐνθάδε ὄντας, τοὺς ὁμοτίμους πάντας, ἅπερ καὶ ἐκεῖ ἐπιτηδεύειν, καὶ ὑμᾶς γε ἐμὲ ὁρῶντας κατανοεῖν παρόντας, εἰ ἐπιμελόμενος ὧν δεῖ διάξω· ἐγώ τε ὑμᾶς κατανοεῖν θεάσομαι, καὶ οὓς ἂν ὁρῶ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἐπιτηδεύοντας, τούτους τιμήσω. καὶ τοὺς παῖδας δὲ οἳ ἂν ἡμῖν γίγνωνται, ἐνθάδε παιδεύομεν· αὐτοὶ γὰρ βελτίονες ἐσόμεθα, βουλόμενοι τοῖς παισὶν ὡς βέλτιστα παραδείγματα ἡμᾶς αὐτοὺς παρέχειν. οἵτε παῖδες οὐδ' ἂν εἰ βούλοιντο ῥᾳδίως πονηροὶ γένοιντο, αἰσχρὸν μὲν μηδὲν μήτε ὁρῶντες, μήτε ἀκούοντες, ἐν δὲ καλοῖς κἀγαθοῖς ἐπιτηδεύμασι διημερεύοντες.

Κύρου Δημηγορία μέλλοντος ἀποθανεῖν.

ΠΑῖδες ἐμοὶ, καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· (ἐκ πολλῶν τοῦτο σαφῶς γιγνώσκω·) ὑμᾶς δὲ χρὴ, ὅταν τελευτήσω, ὥσπερ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. ἐγὼ γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι· ἐπείτε ἥβησα, τὰ ἐν νεανίσκοις, τέλειός τε ἀνὴρ γενόμενος, τὰ ἐν ἀνδράσι. σὺν τῷ χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν. ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ἠσθόμην τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον, καὶ οὔτ' ἐπιχειρήσας, οὔτ' ἐπιθυμήσας οἶδα ὅτι ἠτύχησα. καὶ τοὺς μὲν φίλους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας. καὶ τὴν πατρίδα πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ, νῦν προτετιμημένην καταλείπω. ὧν τ' ἐκτησάμην οὐδὲν οἶδα ὅ, τι οὐ διεσωσάμην. καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως ὥσπερ ἠυχόμην· φόβος δέ μοι συμπαρομαρτεῖν μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι, ἢ ἀκούσαιμι, ἢ πάθοιμι χαλεπὸν,

λεπὸν, οὐκ εἴα τελέως μέγα φρονεῖν, οὐδ' εὐφραίνεσθαι ἐκπεπταμένως. νῦν δ' ἢν τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὕσπερ ἔδοσάν μοι οἱ Θεοὶ γενέσθαι. καταλείπω δὲ πατρίδα καὶ φίλους εὐδαιμονοῦντας· ὥς τε πῶς οὐκ ἂν ἐγὼ δικαίως μακαριζόμενος τὸν ἀεὶ χρόνον μνήμνης τυγχάνοιμι; δεῖ δὲ καὶ τὴν Βασιλείαν μὲ ἤδη σαφηνίσαντα καταλιπεῖν, ὡς ἂν μὴ ἀμφίλογος γενομένη, πράγματα ὑμῖν παρέχῃ. ἐγὼ οὖν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ προβουλεύειν καὶ προηγεῖσθαι ἐφ' ὅ,τι ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ, καὶ πλειόνων κατὰ τὸ εἰκὸς ἐμπείρῳ. ἐπαιδεύθην δὲ καὶ αὐτὸς οὕτως ὑπὸ τῆς δὲ τῆς ἐμῆς τε καὶ ὑμετέρας πατρίδος, τοῖς πρεσβυτέροις, οὐ μόνον ἀδελφοῖς, ἀλλὰ καὶ πολίταις, καὶ ὁδῶν καὶ θάκων καὶ λόγων ὑπείκειν. καὶ ὑμᾶς δὲ, ὦ παῖδες, οὕτως ἐξ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτιμᾶν, τῶν δὲ νεωτέρων προτετιμῆσθαι. ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννομα λέγοντος ἐμοῦ, οὕτως ἀποδέχεσθε. καὶ σὺ μὲν, ὦ Καμβύση, τὴν Βασιλείαν ἔχε, Θεῶν τε διδόντων καὶ ἐμοῦ, ὅσον ἐν ἐμοί. σοὶ δὲ ὦ Ταναοξάρη, σατράπην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων, καὶ τρίτων Καδουσίων. ταῦτα δέ σοι διδοὺς, νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δέ σοι ἀλυποτέραν. ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσῃ οὐχ ὁρῶ, ἀλλὰ πάντα σοὶ τὰ δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρέσται, τὸ δὲ δυσκαταπρακτοτέρων ἐρᾶν, καὶ τὸ πολλὰ μεριμνᾶν, καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν, κεντριζόμενον ὑπὸ τῆς πρὸς τὰ μὲν ἔργα φιλονεικίας, καὶ τὸ ἐπιβουλεύειν καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασιλεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρτεῖν· ἃ, σάφ' ἴσθι, τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχει. οἶσθα μὲν οὖν καὶ σὺ ὦ Καμβύση, ὅτι

ἢ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῖσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· (πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τἄλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεσθαι.) ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ, ἡ δὲ κτῆσις αὐτῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ συμφύλακας τῆς βασιλείας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου, ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι, καὶ σύσσιτοι ἀποσκηνόων. οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φυντες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα, καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; μὴ οὖν ἃ οἱ Θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς, μάταια ποτὲ ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα, καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ ὑμετέρα φιλία. ἑαυτοῦτοι κήδεται ὁ προνοῶν ἀδελφοῦ. τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν οὕτω καλὸν, ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δὴ ἄνδρα μέγα δυνάμενον οὕτως, ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν, ἀδελφοῦ μεγάλου ὄντος, οὕτως ὡς τὸν ἀδελφόν; μήτε οὖν θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω, μήτε προθυμότερον παρέστω. οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε ἀγαθὰ, οὔτε δεινὰ, ἢ σοί. ἐννόει δὲ καὶ τάδε. τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν, ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν, ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάντων κάλλιον προτιμᾷν, ἢ τὸν ἀδελφόν; μόνου τοι, ὦ Καμβύση, πρώτου ὄντος ἀδελφοῦ παρ' ἀδελφῷ, οὐδὲ φθόνος πρὸς τῶν ἄλλων ἀφικνεῖται. ἀλλὰ πρὸς Θεῶν πατρῴων, παῖδες, τιμᾶτε

ἀλλή-

ἀλλήλους, εἴτι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν. οὐ γὰρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι, ὡς οὐδὲν ἔσομαι ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω. οὐδὲ γὰρ νῦν τοι τὴν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ' οἷς διεπράττετο, τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς οὔπω κατενοήσατε οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν, οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι; τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν; οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην, ὡς ἡ ψυχὴ ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ· ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν· ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ ἡ ψυχὴ, ζῶντα παρέχεται. οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχὴ, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. διαλυομένου δὲ ἀνθρώπου, δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον, πλὴν τῆς ψυχῆς. αὕτη δὲ μόνη οὔτε παροῦσα, οὔτε ἀπιοῦσα ὁρᾶται. ἐννοήσατε δὲ (ἔφη) ὅτι ἐγγύτερον μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου. ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται, καὶ τότε τι τῶν μελλόντων προορᾷ. τότε γὰρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται. εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα ὥσπερ ἐγὼ οἴομαι, καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδούμενοι, ποιεῖτε ἃ ἐγὼ δέομαι. εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει, ἀλλὰ Θεούς γε τοὺς ἀεὶ ὄντας, καὶ πάντ' ἐφορῶντας, καὶ πάντα δυναμένους, οἳ καὶ τὴν τῶν ὅλων τήνδε τάξιν συνέχουσιν ἀκριβῆ καὶ ἀκήρατον καὶ ἀναμάρτητον, καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι, μήτε ἀσεβὲς μηδὲν, μηδὲ

ἀνόσιον, μήτε ποιήσητε, μήτε βουλεύσητε. μὴ μέντοι Θεοὺς, καὶ ἀνθρώπων τὸ πᾶν γένος τὸ ἀεὶ ἐπιγιγνόμενον αἰδεῖσθε. οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ Θεοὶ ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα. ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώποις ἀναδείξει, εἰ δὲ ἐς ἀλλήλους ἀδικόν τι φρονήσετε, ἐκ πάντων ἀνθρώπων τὸ ἀξιόπιστον εἶναι ἀποβαλεῖτε· οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ προσήκοντα. εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω οἵους χρὴ πρὸς ἀλλήλους εἶναι· εἰ δὲ μὴ, καὶ παρὰ τῶν προγεγενημένων μανθάνετε. αὕτη γὰρ ἀρίστη διδασκαλία. οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται φίλοι μὲν γονεῖς παισὶ, φίλοι δὲ ἀδελφοῖς· ἤδη δέ τινες τούτων καὶ ἐναντία ἀλλήλοις ἔπραξαν. ὁποτέροις ἂν οὖν αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ αἱρούμενοι, ὀρθῶς ἂν βουλεύοισθε, καὶ τούτων μὲν ἴσως ἤδη ἅλις. τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε, μήτε ἐν ἀργύρῳ, μηδὲ ἐν ἄλλῳ μηδενί. ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. τί γὰρ τούτου μακαριώτερον, τοῦ γῇ μιχθῆναι, ἢ πάντα μὲν τὰ καλὰ, πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; ἐγὼ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους. ἀλλὰ γὰρ ἤδη (ἔφη) ἐκλιπεῖν μοι φαίνεται ἡ ψυχὴ, ὅθεν περ, ὡς ἔοικε, πᾶσιν ἄρχεται ἀπολιποῦσα. εἴτις οὖν ὑμῶν, δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασθαι, ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι προσιδεῖν ἐθέλει, προσίτω. ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦμαι ὑμᾶς ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν σῶμα ἰδέτω, μηδ' αὐτοὶ ὑμεῖς. Πέρσας μέντοι πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε, συνησθησομένους ἐμοὶ, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν πα-

θεῖν,

θεῖν, μήτε ἢν μετὰ τοῦ θείου γένωμαι, μήτε ἢν μηδὲν ἔτι ὦ. ὁπόσοι δ' ἂν ἔλθωσι, τούτους εὖ ποιήσαντες, ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομίζεται, ἀποπέμπετε. καὶ τοῦτο, ἔφη, μέμνησθέ μου τελευταῖον· Τοὺς φίλους εὐεργετοῦντες, καὶ τοὺς ἐχθροὺς δυνήσεσθε κολάζειν. καὶ χαίρετε ὦ φίλοι παῖδες, καὶ τῇ μητρὶ ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ· καὶ πάντες δὲ οἱ παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε. Ταῦτ' εἰπὼν, καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐτελεύτησεν.

ΘΟΥ-

ΘΟΥΚΥΔΙΔΟΥ

ΞΥΓΓΡΑΦΑΙ.

ΠΑΡΑΚΕΛΕΥΣΙΣ ΠΑΓΟΝΔΟΥ

ΕΠΙ ΤΟΥΣ ΒΟΙΩΤΟΥΣ.

Χρὴν μὲν, ὦ ἄνδρες Βοιωτοὶ, μήδ' εἰς ἐπίνοιάν τινα ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων, ὡς οὐκ εἰκὸς ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτοὺς, διὰ μάχης ἐλθεῖν. τὴν γὰρ Βοιωτίαν ἐκ τῆς ὁμόρου ἐλθόντες, τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν. καὶ εἰσὶ δήπου πολέμιοι, ἐν ᾧτε ἂν χωρίῳ καταληφθῶσι, καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. Νυνὶ δ' εἴτῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω. οὐ γὰρ τὸ προμηθὲς οἷς ἂν ἄλλος ἐπίῃ, περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν, καὶ ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ δὲ πλείονος ὀρεγόμενος, ἑκών τινι ἐπέρχεται· πάτριόν τε ὑμῖν, στρατὸν ἀλλόφυλον ἐπελθόντα, καὶ ἐν τῇ οἰκείᾳ, καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι. ἀθηναίους δὲ, καὶ προσέτι ὁμόρους ὄντας, πολλῷ μάλιστα δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται. καὶ πρὸς τούτοις γε δὴ, οἳ καὶ μὴ τοὺς ἐγγὺς, ἀλλὰ καὶ τοὺς ἄπωθεν πειρῶνται δουλοῦσθαι. πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; Παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας, καὶ τῆς ἄλλης ἑλλάδος τὸ πολὺ, ὡς αὐτοῖς διάκειται. καὶ

γνῶ-

γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅλων τὰς μάχας ποιοῦνται· ἡμῖν δὲ ἐς πᾶσαν, ἢν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται· εἰσελθόντες γὰρ, βίᾳ τὰ ἡμέτερα ἕξουσι. τοσούτῳ ἐπικινδυνωτέραν ἑτέρων τὴν παροίκησιν τῶν δὲ ἔχομεν. Εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας (ὥσπερ Ἀθηναῖοι νῦν) ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα, καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον, ἀδιέστερον ἐπιστρατεύειν· τὸν δὲ ἔξων ὅρων προαπαιτοῦντα, καὶ, ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα, ἧσσον ἑτοίμως κατέχειν. Πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούς δε. νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτοὺς, ὅτε τὴν γῆν, ἡμῶν στασιαζόντων, κατέχον, πολλὴν ἄδειαν ἐν τῇ Βοιωτίᾳ μέχρι τοῦ δὲ κατεστήσαμεν. Ὧν χρὴ μνησθέντας ἡμᾶς, τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι μὴ αἰσχύναι τὰς προσηκούσας ἀρετάς· πιστεύσαντες δὲ τῷ θεῷ πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες, νέμονται, καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖς δε, καὶ δεῖξαι ὅτι ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν· οἷς δὲ γενναῖον τήν τε αὐτῶν αἰεὶ ἐλευθεροῦν μάχῃ, καὶ τῶν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀναγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασι.

ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΚΕΛΕΥΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται. καὶ ὑπόμνησιν μᾶλλον ἔχει, ἢ ἐπικέλευσιν. Παραστῇ δὲ μηδενὶ ὑμῶν, ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσόνδε κίνδυνον ἀναῤῥιπτοῦμεν· ἐν γὰρ τῇ * τούτων, ὑπὲρ τῆς ὑμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μήποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶν δὲ ἵππου ἐσβάλωσιν· ἐν δὲ μιᾷ μάχῃ τὴν δέ τε προσκτᾶσθαι, καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. Χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ τοὺς δὲ μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον.

ΤΕΛΟΣ,

10367

ΠΙ-

ΠΙΝΑΞ

Τῶν ἐν τῷ γ'. Τόμῳ Περιεχομένων.

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Παραίνεσις πρὸς τὸς Νέους, ὅπως ἂν ὠφελοῖντο λόγων Ἑλληνικῶν. 5
Τοῦ αὐτοῦ πρὸς Μεθυόντων. 23

ΙΣΟΚΡΑΤΟΥΣ.

Πρὸς Δημόνικον παραίνεσις. 37
Πρὸς Νικοκλέα ἢ Βασιλείας. 48
Εἰς Εὐαγόραν Ἐγκώμιον. 59
Τοῦ αὐτοῦ Λόγος Πλαταϊκός. 76

ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ.

Παιδείδος ἐγκώμιον. 90
Τοῦ αὐτοῦ τυραννοκτόνος. 94
Τοῦ αὐτοῦ Ἀποκηρυττόμενος. 105
Περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν τῇ διαβολῇ. 122

ΛΥΣΙΟΥ.

Ὑπὲρ τοῦ Ἐρατοσθένους. 135

Κατὰ τοῦ Ἐρατοσθένους τοῦ τυράννου. 144
Ἐπιτάφιος εἰς τοὺς Κορινθίων βοηθούς. 163

ΔΗΜΟΣΘΕΝΟΥΣ.

Ὀλυνθιακὸς, α'. 181
Ὀλυνθιακὸς, β'. 188
Ὀλυνθιακὸς, γ'. 196
Κατὰ Φιλίππου, α'. 205
Κατὰ Φιλίππου, γ'. 218

ΠΛΟΥΤΑΡΧΟΥ.

Περὶ Παίδων ἀγωγῆς. 236
Περὶ τοῦ Ἀκούειν. 259
Περὶ Πολυπραγμοσύνης. 279

ΛΙΒΑΝΙΟΥ.

Πρεσβευτικὸς, α'. ὑπὲρ Ἑλένης. 294
Πρεσβευτικὸς, β'. 301
Τοῦ αὐτοῦ Ἀποκηρυττόμενος. 328
Περὶ τοῦ φυνόντος λάλῳ γυναικί. 340

ΣΥΝΕΣΙΟΥ.

Περὶ Βασιλείας. [illegible]

ΘΕΜΙΣΤΙΟΥ.

Περὶ Φιλίας. 390

ΔΙΩ-

ΠΙΝΑΞ. 463

ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Διογένης, ἢ περὶ Ἀρετῆς. 410

ΜΑΞΙΜΟΥ ΤΟΥ ΤΥΡΙΟΥ.

Περὶ τοῦ τίς ὁ Θεὸς καὶ Πλάτωνος. 418

ΑΡΙΣΤΕΙΔΟΥ.

Εἰς Ἐπαμεινώνδαν ὑπομνηστικός. 428
Μονῳδία ὑπὲρ Σμύρνης. 433

ΓΟΡΓΙΟΥ ΛΕΟΝΤΙΝΟΥ.

Ἔλεγχος ἐγκωμίου. 436
Ὑπὲρ τῆς τοῦ Θουκυδίδου Δημηγορίας. 441
Ὑπὲρ τῆς τοῦ Ξενοφῶντος Δημηγορίας. 449

ΘΟΥΚΥΔΙΔΟΥ.

Παραπλήσιος Παγώνδα ὑπὲρ τῶν Βοιωτῶν. 457
Παραπλήσιος Ἱπποκράτης. 460

Liber.

ΤΕΛΟΣ.

10767